10446

# ΣΤΟΙΧΕΙΑ

ΤΗΣ

## ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΗΣ

ΥΠΟ

Φ. ΙΑΚΩΒΣΙΟΥ.

ΜΕΘΑΡΜΟΣΘΕΝΤΑ ΜΕΝ

ΥΠΟ

Θ. ΦΑΡΜΑΚΙΔΟΥ,

ΚΤΛ.

Νῦν δὲ μετατυπωθέντα δαπάνῃ τοῦ Ἰονίου Κράτους, εἰς χρῆσιν τῶν δευτερευόντων σχολείων τοῦ αὐτοῦ, κατὰ δοκιμασίαν τῶν τῆς δημοσίας παιδείας Ἐπιμελητῶν.

---

## ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

Περίοδος Τρίτη.

10446

ΚΕΡΚΥΡΑΙ

ΕΝ ΤΗΙ ΤΥΠΟΓΡΑΦΙΑΙ ΤΗΣ ΚΥΒΕΡΝΗΣΕΩΣ.

1829.

# ΑΤΤΙΚΑ.

Η

# ΕΚΛΟΓΑΙ

ΕΚ ΤΩΝ

ΙϚΟΡΙΚΩΝ ΚΑΙ ΡΗΤΟΡΩΝ

ΤΩΝ ΕΛΛΗΝΩΝ

εἰς τὴν

ΙϚΟΡΙΑΝ ΤΩΝ ΑΘΗΝΩΝ

συντείνουσαι.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΠΥΡΟΥ Δ. ΜΑ...
Αὐξ. Ἀριθ. Βιβλίων
10424[illegible]

# ΠΡΟΟΙΜΙΟΝ
## τοῦ
## Συγγραφέως.

10446

Η τρίτη περίοδος αὕτη τῶν Στοιχείων τῆς Ἑλληνικῆς γλώσσης στρέφεται κυρίως περὶ τὴν ἱστορίαν τῶν Ἀθηνῶν· ἡ λέξις ὅμως ἱστορία ἐκλαμβάνεται ἐνταῦθα κατὰ τὴν πλατυτέραν της ἔννοιαν, καθ' ἣν σιμὰ τῶν πολιτικῶν συμβάντων σημαίνει καὶ τὴν γνῶσιν τῶν ἠθῶν καὶ τοῦ χαρακτῆρος ἑνὸς ἔθνους.

Εἰς τὴν διάταξιν αὐτῆς εἶχα τὴν κυριωτέραν μου προσοχὴν εἰς δύο πράγματα, εἰς τὸ πραγματικὸν καὶ εἰς τὸ λεκτικόν· καὶ κατὰ τὰ δύο ἔχει ἡ περίοδος αὕτη ἄμεσον συνάφειαν μὲ τὴν προηγουμένην δευτέραν περίοδον. Διότι ἀφ' οὗ ἐκεῖ ἱκανὸς ἀριθμὸς ἀνεκδότων ἐκ τῶν βίων ἐπισήμων Ἑλλήνων, τὰ κυριώτερα μέρη τῆς Ἑλληνικῆς μυθολογίας ἐν διηγήμασι καὶ διαλόγοις, καὶ τελευταῖον ἡ γεωγραφικὴ τοῦ παλαιοῦ κόσμου σύνοψις ἔκαμαν τὸν μαθητὴν νὰ συνειθίσῃ βαθμηδὸν εἰς ἀνάγνωσιν σπουδαιοτέραν, καὶ τὸν ἐπλούτισαν ἐν ταὐτῷ μὲ πολλὰς ἀναγκαίας εἰδήσεις τοῦ Ἑλληνικοῦ κόσμου, εἰσάγεται οὗτος ἐνταῦθα εἰς αὐτὰ τὰ ἅγια τῆς ἱστορίας, πλὴν πάλιν προχωρῶν ἐκ τῶν εὐκολωτέρων καὶ ἡδυτέρων εἰς τὰ δυσκολώτερα καὶ στρυφνότερα.

Αν ἤθελα νὰ διατρέξω ὅλον τὸν λαβύρινθον τῆς τε Ἑλληνικῆς καὶ τῆς τῶν βαρβάρων ἱστορίας, δὲν ἤθελα

δυσκολευθῇ νὰ εὕρῃ μέσα εἰς τὴν πληθὺν τῶν ἱστορικῶν καὶ ἐμπορίων τῆς Ἑλλάδος θελκτικώτερα κομμάτια παρ' ὅσα ἐμπεριέχονται εἰς τὸν τόμον τοῦτον. Ἐπειδὴ ὅμως καὶ δὲν μοὶ ἄρεσε τοιοῦτόν τι ποικίλον μίγμα ἀπὸ ἑτεροειδῆ λάφυρα, εἰς τὸ ὁποῖον ἡ πρὸς τὸ ἡδὺ ἐπιθυμία ἤθελεν εἶναι ἡ μόνη κινοῦσα ἀρχὴ (principium), διὰ τοῦτο ἀπεφάσισα νὰ περιορισθῶ εἰς μόνην τῆς Ἀττικῆς τὴν ἱστορίαν, ἐπειδὴ αὕτη καὶ γνωστὴ περισσότερον ἀπὸ συγγραφεῖς Ἕλληνας, καὶ ὡς ἐπὶ τὸ πλεῖστον Ἀττικούς, εἶναι, καὶ σχέσιν καὶ σύνδεσμον στενώτατον μὲ ὅλα τὰ ἄλλα μέρη τῆς παλαιᾶς ἱστορίας καὶ φιλολογίας ἔχει. Μὲ αὐτὸ ἐστοχάσθην προσέτι ὅτι δὲν παραβαίνω καὶ τὴν ἀρχήν, τὴν ὁποίαν παρέλαβον εἰς τὸ προοίμιον τῆς πρώτης περιόδου, ὅτι δηλ. διὰ νὰ κινήσωμεν τὴν φιλομάθειαν τῶν νέων πρέπει νὰ παρέχωμεν εἰς αὐτοὺς ἀντικείμενα ποικίλα, πλὴν διὰ νὰ τοὺς ἐνασχολῶμεν καὶ μὲ ὠφέλειάν των, χρεία νὰ ἑνώσωμεν τὰ ἑτεροειδῆ στοιχεῖα κατὰ πάντα τρόπον ὑπὸ ἓν τέλος καὶ ὑπὸ ἕνα σκοπόν.

Ἴσως προσμένουσί τινες κατὰ τὴν διάταξιν ταύτην τοῦ βιβλίου νὰ εὕρωσι χρονολογικήν τινα τῶν περιεχομένων τάξιν. Τοιαύτην ἐπιθυμίαν ἔτρεφον καὶ ἐγὼ κατ' ἀρχάς, πλὴν τὴν παραίτησα εὐθύς· διότι καὶ ἂν ὑπῆρχε δυνατὴ τοιαύτη τις διάταξις (ἡ ὁποία ὅμως εἶναι ἀδύνατος τῷ ὄντι, ἂν θελήσῃ τις νὰ τὴν ἐκτελέσῃ μὲ ἀκρίβειαν), τὰ κακά της ὅμως ἤθελαν εἶναι πολὺ μεγαλλίτερα παρὰ τὰ καλά· καὶ τὸ μέγιστον κακὸν ἤθελεν εἶναι, ὅτι ἀποσπάσματα ἀπὸ τόσον ἑτεροειδεῖς συγγραφεῖς ἤθελαν κεῖσθαι ἀτάκτως ἀλλήλοις ἐπεῤῥιμμένα. Καὶ ἂν τοῦτο ἀπὸ τὸ ἓν μέρος συνέβαλλεν εἰς τὸ πρα-



γματικόν, ἔβλαπτεν ὅμως ἀπὸ τὸ ἄλλο τὸ λεκτικόν. Εἰς τοῦτο δέ, ἀφ' οὗ κάμῃ τις τὰς πρώτας ἐφόδους εἰς τὴν γλῶσσαν, δὲν γίνεται ἄλλο τι περισσότερον ἐμπόδιον, ὅσον τὸ ἄστατον ἀπὸ ἕνα εἰς ἄλλον συγγραφέα πήδημα, πρὸς τὸ ὁποῖον μάλιστα ἡ νεολαία αὐτὴ καθ' ἑαυτὴν κλίνει. Κανεὶς δὲν πρέπει νὰ ὀνομάζῃ ἑαυτὸν φιλολόγον (καὶ φιλολόγος εἰς κάποιαν ἔννοιαν ὀφείλει νὰ ἦναι πᾶς πεπαιδευμένος ἄνθρωπος), ὅς τις δὲν αἰσθάνεται, μήτε διακρίνει τὸν ἴδιον χαρακτῆρα ἑνὸς συγγραφέως. Πλὴν αὐτὸ τὸ αἴσθημα διαλύεται, ὅταν ῥίψῃ τις τρόπον τινὰ ἑαυτὸν μέσα εἰς τὸ πλῆθος (τῶν συγγραφέων), καὶ δὲν παρατηρήσῃ ἕνα μόνον πολὺν καιρόν, διὰ νὰ ἠμπορέσῃ νὰ τὸν ἀναγνωρίσῃ πάλιν. Διὰ τοῦτο εἶναι καὶ καλλίτερον νὰ ἀναγινώσκῃ τις ἕνα καὶ τὸν αὐτὸν συγγραφέα δεκάκις, παρὰ δέκα συγγραφεῖς, ἅπαξ μόνον τὸν καθένα.

Ἄρχεται δὲ ἡ συλλογὴ αὕτη ἀπὸ ἐπιτομὰς τῶν βιογραφιῶν τοῦ Πλουτάρχου, αἱ ὁποῖαι, κατ' ἐμὴν κρίσιν, εἶναι ἡ ἁρμοδιωτέρα εἰσαγωγὴ εἰς τὴν κυρίως ἱστορίαν. Εἰς αὐτὰς εὑρίσκει τις προσέτι ἐν συντόμῳ καὶ τὰ ἀξιολογώτερα καὶ πλέον ἀξιοσημείωτα τῆς τῶν Ἀθηναίων ἱστορίας, καὶ πολλοὺς τῶν πλέον ὀνομαστῶν ἀνδρῶν εἰς χρονολογικὴν τάξιν ἅπαντα, ὅσοι ἠμποροῦσι νὰ χρησιμεύσωσιν εἰς χαρακτηρισμὸν τοῦ αἰῶνός των· καὶ ἐν ἑνὶ λόγῳ εἰς αὐτὰς διατρέχει πρῶτον ὁ ἀναγνώστης ὅλην τὴν ἱστορίαν τῆς τῶν Ἀθηναίων δημοκρατίας, ἀπὸ τὸν πρῶτόν της νομοθέτην ἕως τοῦ ἐσχάτου καὶ μεγάλου αὐτῆς ὑπερασπιστοῦ. Τὸ δὲ ἐπιπροχάδην τοῦτο τῆς ἱστορίας σχεδίασμα θέλει ἀναπληρωθῇ παρὰ μέρος ἐν τοῖς ἀκολούθοις· ὥστε τὰ πλέον μεγάλα συμβάντα, τῶν

ὁποίων εἰς τὰ δεκατρία πρῶτα Τμήματα μνεία γίνεται, μὲ τὴν πρόοδον τοῦ βιβλίου σαφηνίζονται ὡς ἐπὶ τὸ πλεῖστον πλατύτερον, καὶ περιστατικώτερον ἱστοροῦνται. Ὅτι δὲ τὸ αὐτὸ συμβὰν πολλάκις ἱστορεῖται, δὲν ἠμπορεῖ τις νὰ τὸ μεμφθῇ· διότι τοῦτο ἔγινεν ἐπιταυτοῦ καὶ μὲ σκοπόν.

Τὸν περισσότερον τόπον τοῦ τόμου τούτου περιέχουσιν ἐπιτομαὶ ἐκ τοῦ Θουκυδίδου καὶ Ἡροδότου, καὶ δι᾽ ἄλλα αἴτια, κατ᾽ ἐξοχὴν δὲ, ὅτι ἕκαστος τούτων εἶναι ὁ μόνος καὶ ἐπιφανέστερος εἰς τὸ εἶδός του. Ἡ ἀφελὴς τοῦ Ξενοφῶντος χάρις γίνεται φανερὰ καὶ ἂν τις ὀλίγην ἀνάγνωσιν αὐτοῦ ἔχῃ· ἀλλὰ διὰ νὰ καταλάβῃ καλῶς τὸ σπουδαῖον καὶ τὴν ἀξίαν τοῦ Θουκυδίδου πρέπει νὰ ἐξοδεύσῃ τις εἰς αὐτὸν πολὺν καιρόν. Ἐν ᾧ δὲ οἱ Ἀττικοὶ ἱστορικοὶ καὶ ῥήτορες, ἂν καὶ διαφέρωσιν μεταξύ των ἐσωτερικῶς, σώζουσιν ὅμως ἕνα κοινὸν ἐθνικὸν χαρακτῆρα, ὁ Ἡρόδοτος ὑπάρχει μόνος αὐτὸς τὸ παράδειγμα τῆς Ἰωνικῆς φράσεως. Ὅθεν διὰ τοῦτο μάλιστα ἔπρεπε καὶ αἱ ἐξ αὐτοῦ ἐπιτομαὶ νὰ ἦναι καὶ μακρότεραι καὶ περισσότεραι, ὡς τοῦ μόνου, ὅς τις ἔπρεπε νὰ ἀντεξετασθῇ πρὸς τὸ πλῆθος τῶν Ἀττικῶν συγγραφέων. Ἐν ταυτῷ δὲ ἐνόμιζον, ὅτι δι᾽ αὐτῶν ἠμπόρουν μάλιστα νὰ προξενήσω εἰς τοὺς νέους ἀναγνώστας καὶ ἡδονὴν μεγαλλιτέραν καὶ διατριβήν. Πρὸς τούτοις ἀπὸ τὰς ἐνταῦθα κοινωθείσας ἐπιτομὰς βλέπει τις ἐναργῶς καὶ τὸν τρόπον τῆς διηγήσεώς του καθόλου, καὶ τὴν χαρίεσσαν περιπλοκὴν τῶν διαφόρων ὑποθέσεων, μὲ τὴν ὁποίαν ὁδηγεῖ τοὺς ἀναγνώστας του, χωρὶς νὰ κουρασθῶσιν, δι᾽ ὅλης τῆς ἱστορίας. Εἶμαι βέβαιος, ὅτι εἰς πνεύματα ἔξυπνα θέλει



ἀνάψει ὁ ἔρως πρὸς τὴν ἀνάγνωσιν τοῦ ὅλου καὶ αὔξησιν τῆς ἡδονῆς, τὴν ὁποίαν ἐπροξένησαν εἰς αὐτοὺς αἱ ἐν τῷ τέλει τοῦ βιβλίου ἐπιτομαί.

Διὰ τί δὲ αἱ ἐκ τοῦ Ἡροδότου ἐπιτομαὶ αὗται ἐτέθησαν εἰς τὸ τέλος καὶ μετὰ τοὺς ῥήτορας, γίνεται ἐκ τῶν εἰρημένων ἱκανῶς δῆλον. Ἔτι δὲ ὡς πάντη διάφορος τῶν Ἀττικῶν συγγραφέων δὲν ἠμπόρει νὰ ἀναμιχθῇ μὲ αὐτούς. Ἀλλὰ δὲν ἔπρεπε τάχα, ἴσως εἴπῃ τις, ὡς παλαιότερος καὶ ἀφελέστερος συγγραφεὺς νὰ ἐπέχῃ καὶ τὸν πρῶτον τόπον; βέβαια, ἂν ἡ παροῦσα συλλογὴ ἦτον ἓν καθ᾽ ἑαυτὸ ὑπάρχον ἱστορικὸν σύγγραμμα, καὶ ὄχι ἐξακολούθησις ἑνὸς στοιχειώδους βιβλίου, τὸ ὁποῖον δὲν διδάσκει ἄλλην παρὰ τὴν Ἀττικὴν, ἢ μίαν μὲ τὴν Ἀττικὴν πολλὰ ὁμοίαν γλῶσσαν.

Τὸ μέρος τῶν ῥητόρων ἄρχεται ἀπὸ τὸν ἐπιτάφιον λόγον τοῦ Λυσίου. Μοὶ εἶναι γνωστὸν, ὅτι τὸν λόγον τοῦτον ὑπολαμβάνουσι τῶν φιλολόγων τινὲς ὡς νόθον· πλὴν ἡ κρίσις αὐτὴ δὲν μοὶ φαίνεται διόλου ἀποφασιστική. Ἐὰν εἰς τὴν φράσιν διαφέρει τῶν ἄλλων τοῦ Λυσίου λόγων, διαφέρει ὅμως καὶ εἰς τὴν ὑπόθεσιν καὶ τὸν σκοπόν· καὶ τὸ λίαν ἐπιτετηδευμένον καὶ ἐπιδεικτικὸν αὐτοῦ τοῦ λόγου ἐξηγεῖται μάλιστα ἐκ τούτου, ὅτι ὁ Λυσίας εἰς τὸν λόγον αὐτὸν ἐβγῆκεν ἔξω τῆς συνειθισμένης σφαίρας, καὶ ἀπήτει παρ᾽ ἑαυτοῦ πρᾶγμα, τὸ ὁποῖον τῷ ἦτον πάντη ξένον· ὡς πρὸς τὸν σκοπόν μου δὲ ὁ λόγος οὗτος ἦτον πολλὰ οἰκεῖος· καθότι καὶ τὰ πλέον ἀξιομνημόνευτα συμβάντα τῶν Ἀθηναίων κατὰ τὸ πλεῖστον μέρος διαλαμβάνει, καὶ ὡς μία ῥητορικὴ ἱστορία τῶν μεγάλων αὐτῶν πράξεων εἶναι πολλὰ ἐπιτηδεία εἰς τὴν ἀπὸ τῶν ἱστορικῶν εἰς τοὺς ῥήτορας μετάβασιν.

Μετὰ τὸν Λυσίαν ἕπεται ἀμέσως ὁ χαρίεις Ἰσοκράτης, ὁ ὁποῖος, καθὼς διὰ τῆς μακρᾶς του ζωῆς συνῆψε τὸν ἀνώτατον βαθμὸν τῆς δόξης τῶν Ἀθηναίων μὲ τὴν πτῶσιν αὐτῆς, οὕτω καὶ εἰς τοὺς λόγους του ἀντιτάττει τὴν λαμπρότητα τῶν προτέρων χρόνων χωρὶς διακοπῆς μὲ τὴν ἀμαυρότητα τῶν ὑστέρων. Ὁ Δημοσθένης τελειώνει καὶ τὸ μέρος τοῦτο τῶν ῥητόρων πρεπωδέστατα. Εἰς τὴν ἱστορίαν τῆς ζωῆς αὐτοῦ φαίνεται ἡ πτῶσις τῶν Ἀθηνῶν· ἀλλ' ἡ ἰσχὺς καὶ ἡ τόλμη τῶν λόγων του ἀγγέλλουσιν εἰς ποῖον ὕψος ἦτον τὸ ἔθνος τοῦτο καὶ εἰς τὸν καιρὸν τῆς πτώσεώς του αὐτῆς. Αἱ ἐξ αὐτοῦ ἐπιτομαὶ ἔγιναν φειδομένως· διότι τὸ μέγεθος αὐτοῦ καὶ ὁ σπουδαῖος χαρακτὴρ εἶναι τοιούτου βαθμοῦ, ὥστε ἡ νεολαία μήτε νὰ τὸν καταλάβῃ ἐντελῶς ἠμπορεῖ, μήτε ἡδονὴν εἰς τὴν ἀνάγνωσίν του νὰ δοκιμάσῃ.

Τὸ κείμενον τῶν ἐκλογῶν τούτων εἶναι κατὰ τὰς καλλιστέρας Ἐκδόσεις· εἴς τινα μέρη ὅμως μετεβλήθη καὶ διωρθώθη. Ἐδῶ κ' ἐκεῖ ἐσημειώθησαν καὶ αἱ παραλλαγαὶ ἀπὸ τοῦ συνήθους κειμένου ἐπὶ ταὐτοῦ, διὰ νὰ λάβωσι μάλιστα ἀφορμὴν οἱ διδάσκαλοι, τοῦ νὰ κάμωσι τοὺς μαθητάς των, ὅταν τὸ κρίνωσιν εὔλογον, προσεκτικοὺς εἰς τὴν κριτικήν. Διὰ τοῦτο καὶ αἱ διάφοροι γραφαὶ ἐσημειώθησαν εἰς τοιαύτας περικοπάς, αἱ ὁποῖαι διωρθώθησαν εἰς τὰς νεωτέρας Ἐκδόσεις· κάμνω δὲ ταύτην τὴν σημείωσιν ἐπίτηδες, διὰ νὰ προλάβω τὴν ὑποψίαν, ὅτι τάχα σφετερίζομαι τοὺς κόπους τῶν ἄλλων. Εἰς τὸν Ξενοφῶντα μετεχειρίσθην κατ' ἐξοχὴν τὴν Ἔκδοσιν τοῦ Σνεϊδέρου (Schneider), παραβαλὼν μὲ αὐτὴν τὴν τοῦ Βεΐσκη (Weiske)· εἰς δὲ τὸν Ἰσοκράτην, τὴν τοῦ Αὐγήρου (Auger) καὶ τοῦ Λαγγίου (Lange)· εἰς τὸν Θουκυδίδην, τὴν παρὰ τοῦ Βεκκίου (Beck) τελειωθεῖσαν τοῦ Γοττλεβέρου καὶ Βαουέρου (Gottleber, Bauer)· εἰς τὸν Λυσίαν, τὴν τοῦ Ταϋλώρου καὶ Ρεϊσκίου (Taylor, Reiske)· εἰς τὸν περὶ εἰρήνης λόγον τοῦ Δημοσθένους, τὴν τοῦ Βεκκίου (ἐν Λειψίᾳ, 1799 8.), καὶ εἰς τὸν Ἡρόδοτον, τὴν τοῦ Βεσσελιγγίου (Wesseling) καὶ τὴν τοῦ Ρεϊζίου (Reiz) καὶ Σχαιφέρου (Schaefer). Εἰς τὸν Ἰσοκράτην μετεχειρίσθην καὶ τινας διορθώσεις τοῦ κυρίου Ματθία. Οὗτος διώρθωσε καὶ τὸ τοῦ Ξενοφῶντος σελ. 74 §. 8. συῤῥύησαν, μεταβαλὼν εἰς τὸ συῤῥυείησαν.

Λεξικὸν δὲν προσετέθη εἰς τὸν τόμον τοῦτον ὡς περιττόν· διότι ὁ μαθητής, προχωρῶν εἰς τὴν σπουδὴν τῆς Ἑλληνικῆς γλώσσης, πρέπει νὰ συνειθίσῃ ἑαυτὸν νὰ μεταχειρίζηται λεξικὸν ἐκτεταμένον· διὸ καὶ προϋποτέθη, ὅτι οἱ ἀναγνῶσται τῆς Χρηστομαθείας ταύτης ἔχουσιν ἀνὰ χεῖρας τὸ λεξικὸν τοῦ Σνεϊδέρου (*) ἢ τὴν ἐπιτομὴν τούτου παρὰ τοῦ Ριεμέρου (Riemer). Εἰς αὐτὰ ἀναφέρομαι καὶ εἰς τὰς σημειώσεις· καὶ ὅ,τι εἰς τὰ λεξικὰ ἐκεῖνα ἐξηγεῖται, τὸ παρέδραμον ὡς ἐπὶ τὸ πλεῖστον εἰς αὐτάς.

Ἐκτὸς τούτων προϋποθέτω, ὅτι ὁ μαθητής, ἐν ᾧ μετέρχεται τὸ βιβλίον τοῦτο, ἔχει ἀνὰ χεῖρας δύο γραμματικὰ βοηθήματα, τὴν τοῦ Βουτμάνου Γραμματικὴν (*), καὶ μάλιστα τὴν νεωτάτην, εἰς τὸ συντακτικὸν μέρος

---

(*) Τὸ Λεξικὸν τοῦτο μετέφρασεν, ἐπλούτισε καὶ ἐξέδωκεν ὁ σοφὸς Ἀρχιμανδρίτης Ἄνθιμος Γαζῆς, διὰ τὸ ὁποῖον τὸ γένος πρέπει νὰ ὁμολογῇ εἰς αὐτὸν ἀπείρους τὰς χάριτας.

(*) Τὴν Γραμματικὴν ταύτην μετέφρασε καὶ ἐξέδωκε κατ' 1812 ἐν Βιέννῃ ὁ κύριος Στέφανος Οἰκονόμου εἰς χρῆσιν τ

μεγάλως πλουτισθεῖσαν Ἔκδοσιν τοῦ 1805, καὶ τοῦ Βιγέρου τὸ περὶ ἰδιωμάτων τῆς Ἑλληνικῆς γλώσσης μετὰ τῶν σημειώσεων τοῦ Ἑρμάννου, ἐν Λειψίᾳ 1802 (**). Τὰ βιβλία αὐτὰ δὲν ἠμποροῦσι νὰ λείψωσιν ἀπὸ κανέναν, ὅς τις θέλει νὰ μάθῃ τὴν Ἑλληνικὴν γλῶσσαν μὲ βάσιν. Ἐνταῦθα ἀναφέρομαι εἰς αὐτὰ σχεδὸν εἰς πᾶσαν σελίδα, καὶ διὰ τούτου ἀποφεύγω τὰς εἰς ἄλλα βιβλία ἀναφορὰς, τὰ ὁποῖα δὲν δύνανται νὰ ἔχωσιν ἀνὰ χεῖρας οἱ νέοι.

Αἱ σημειώσεις ὡς τόσον τοῦ στοιχειώδους τούτου βιβλίου δὲν διατείνομαι, ὅτι εἶναι ἄξιαι νὰ ἐπέχωσι τάξιν Ὑπομνήματος ἐκτεταμένου, καὶ διὰ πεπαιδευμένους γεγραμμένου, τὸ ὁποῖον ὡς πρὸς τὸν σκοπὸν τούτου τοῦ βιβλίου εἰς χρῆσιν τῶν σχολείων ἤθελεν εἶναι διόλου ἀνοίκειον. Αὐταὶ ἐκεῖνα μόνον περιέχουσιν, ὅσων ὁ μαθητὴς προπαρασκευαζόμενος δὲν εὑρίσκει οὔτε νὰ εὕρῃ ἠμπορεῖ σαφήνισιν εἰς τὰ λεξικά του· ἐνταυτῷ δὲ κάμνουσιν αὐτὸν προσεκτικὸν εἰς ὅσα συνειθίζει νὰ παρατρέχῃ· καὶ τοιαῦτα εἶναι κατ' ἐξοχὴν, ὡς ἐγὼ φρονῶ, οἱ κανόνες τῆς συντάξεως. Διὰ τοῦτο καὶ εἰς περιόδους σκοτεινὰς ἢ ἀμφιβόλους ἐσημειώθη ἡ φυσικὴ σύνταξις, καὶ μετάφρασις ἐνίοτε καὶ λέξεων ἐν μέρει καὶ φράσεων πρὸς βοήθειαν ἔγινε. Τὸ τελευταῖον δὲ τοῦτο γίνεται, ὅσον προβαίνει

---

τὴν Σμύρνην φιλολογικοῦ Γυμνασίου. ὠφέλιμον ἦτον ἡ γραμματικὴ αὕτη, ἂν καὶ μετεφράσθη εἰς χρῆσιν τοῦ ῥηθέντος Γυμνασίου, νὰ εἰσαχθῇ καὶ εἰς τὰ λοιπὰ τῆς Ἑλλάδος σχολεῖα ὡς ἡ καλλιωτέρα τῶν ὅσας ἔχομεν. Καλὸν δὲ ἤθελεν εἶναι ἂν ὁ κύριος Στέφανος ἔκαμνε καὶ ἐπιτομὴν αὐτῆς εἰς χρῆσιν τῶν ἀρχαρίων νέων.

(**) Εὐχῆς ἔργον ἦτον ἡ μετάφρασις τοῦ βιβλίου τούτου, τὸ ὁποῖον πολλοὶ τῶν ἡμετέρων, καὶ μάλιστα τῶν κατ' ἐξοχὴν καλῶν λεγομένων Γραμματικῶν, ἀγνοοῦσιν.



τὸ βιβλίον, φειδομενεστέρως καὶ σπανιωτέρως, καὶ, ὡς ἐλπίζω, εἰς κανὲν μέρος τόσον συνεχῶς, ὥστε διὰ τῶν μεγάλων βοηθημάτων νὰ χωλοῦται ἡ ἐπιμέλεια καὶ ἡ προσοχὴ τοῦ μαθητοῦ.

Ἐὰν ἐν γένει τὰ διδακτικὰ βιβλία πρέπει νὰ ἔχωσι σημειώσεις, εἴς τινας ἠμπορεῖ νὰ φανῇ ἀμφίβολον· κατ' ἐμὴν γνώμην ὅμως αἱ σημειώσεις εἶναι ὠφέλιμοι, ἐὰν μόνον γράφωνται εἰς τὸν δέοντα τρόπον· οὗτος δὲ συνίσταται εἰς τὸ ἑξῆς· ἐὰν αἱ σημειώσεις δὲν βοηθῶσι τὴν ἀμέλειαν τοῦ μαθητοῦ, ἀλλὰ μάλιστα ἐγείρωσιν αὐτὸν εἰς τὸ σκέπτεσθαι, καὶ δὲν λύωσιν, οὕτως εἰπεῖν, τὸν κόμβον, ἀλλὰ μόνον τὰς ἄκρας δεικνύωσιν, ἀπ' ὅπου οὗτος ἠμπορεῖ νὰ λυθῇ. Ἀξίωμα τὴν σήμερον ἀρκετὰ γνωστὸν μεταξὺ τῶν σοφῶν διδασκάλων εἶναι, ὅτι ἡ ἐξήγησις τῶν παλαιῶν εἰς τὰς δημοσίους παραδόσεις πρέπει νὰ ἦναι ὡς ἐπὶ τὸ πλεῖστον δοκιμὴ τῶν μαθητῶν· διότι τὸ πᾶν εἰς τὴν σπουδὴν εἶναι ἡ κατ' ἰδίαν καὶ κατ' οἰκίαν ἐπιμέλεια· εἰς δὲ τὸ σχολεῖον μόνον τὰ ἀποτελέσματα αὐτῆς πρέπει νὰ δεικνύωνται καὶ νὰ διορθώνωνται. Ἡ προπαρασκευὴ δὲν ἠμπορεῖ νὰ ἀφεθῇ παντάπασιν ἀπὸ τοὺς μαθητάς· αὐτὴ εἶναι τὸ κεφάλαιον, καὶ χωρὶς αὐτῆς ἡ ἐπανάληψις πολλὰ ὀλίγον ὄφελος φέρει. Διότι ὁ σκοπὸς τῆς τῶν νέων διδασκαλίας εἰς τὰς παλαιὰς γλώσσας καὶ τὴν φιλολογίαν (Humanitas) δὲν εἶναι τὸ νὰ ἐντυπωθῇ τι εἰς τὴν μνήμην, καὶ τοῦτο μάλιστα, καθὼς τὸ θέλει ὁ διδάσκαλος, ἀλλὰ τοῦ νοὸς ἡ δύναμις νὰ ἐγερθῇ καὶ νὰ ἐνδυναμωθῇ. Ἐὰν ὅμως ἡ προπαρασκευὴ ἀφεθῇ ὅλως εἰς τὸν μαθητὴν μόνον, καὶ δὲν συγχωρηθῇ εἰς αὐτὸν πρὸς τοῦτο κανὲν ἄλλο βοηθητικὸν μέσον παρὰ τὸ λεξικόν του καὶ μία γραμματική, τὴν

ὁποίαν ἀκόμη δὲν ἔμαθεν νὰ μεταχειρίζεται, καὶ ἡ ὁποία μόνον ὀλίγας τινὰς δυσκολίας ἠμπορεῖ νὰ τῷ ἐξομαλίσῃ, ἐὰν τοῦτο, λέγω, γένῃ, τότε ἀφεύκτως ὁ μαθητὴς θέλει εὐχαριστηθῇ εἰς τὴν ζήτησιν μόνον τῶν εἰς αὐτὸν ἀγνώστων λέξεων, ἤ, ἐάν τις ἀπαιτήσῃ ἀπ' αὐτὸν καὶ περισσότερον, θέλει καταφεύγει κρυφίως ἤτοι εἰς μετάφρασίν τινα, ἢ εἰς ἄλλο τι καλλίτερον ἐξηγητικὸν βοήθημα. Ἀλλ' ὅ,τι γίνεται κρυφίως καὶ μὲ τρόπον ἀνωφελῆ, διὰ τί νὰ μὴ γίνηται φανερῶς καὶ ὠφελίμως; Δὲν ἤθελεν εἶναι καλλίτερον νὰ βοηθῶμεν τὴν προπαρασκευὴν τοῦ νέου μὲ μερικὰς σημειώσεις, καὶ ἐπὶ παραδόσεως νὰ ἀπαιτῶμεν ἀπ' αὐτὸν λόγον εἰς ἐκεῖνα, εἰς τὰ ὁποῖα αἱ σημειώσεις τῷ ἔδειξαν τὸν δρόμον; Κατὰ τοῦτον τὸν τρόπον ἐλευθεροῦται ὁ μαθητὴς ἀπὸ ἀνωφελεῖς καὶ σκληροὺς κόπους, οἱ ὁποῖοι ὡς ἐπὶ τὸ πλεῖστον τελευτῶσιν εἰς παντελῆ ἀργίαν, προφυλάττεται ἀπὸ σφάλματα, τὰ ὁποῖα πολλάκις ῥιζόνονται στερεώτερα παρὰ αἱ κατόπιν γινόμεναι διορθώσεις· ἐμποδίζεται ἀπὸ τὴν χρῆσιν ἀχρήστων καὶ ἀνωφελῶν μέσων, καὶ οὕτω κατ' ὀλίγον ἐνισχυόμενος συνειθίζει νὰ μὴν ἔχῃ χρείαν βοηθημάτων, ἀλλὰ νὰ ἐλπίζῃ εἰς τὰς ἰδίας αὐτοῦ μόνον δυνάμεις.

Πρὸς τούτοις καὶ εἰς τὴν ἐπανάληψιν ὠφελοῦσι πολὺ τὸν ἀρχάριον αἱ πρόσφοροι σημειώσεις. Καὶ αὐτὸς ὁ προσεκτικώτατος παρακούει ἐνίοτε πολλὰ τῶν ὅσα ἤτοι ὁ διδάσκαλός του λέγει, ἢ οἱ συμμαθηταί του ἀποκρίνονται. Ἐὰν δὲ θελήσῃ νὰ βοηθήσῃ τὴν προσοχήν του καὶ τὸ μνημονικὸν δι' ἀπογραφῆς τῶν λεγομένων, θέλει πέσει εἰς ἄλλο ἐλάττωμα, διότι πολλὰ μὲν θέλει σημειόνει χωρὶς ἐκλογῆς, πολλὰ δὲ θέλει παραλάβει ἐσφαλμένως. Τὸ κακὸν δὲ τοῦτο ἠμπόρει νὰ διορθωθῇ, ἐὰν ὁ διδάσκαλος ὑπαγορεύῃ



τὴν ἐξήγησιν· πλὴν τότε τὸ θανατηφόρον τοῦ νοὸς βοήθημα τοῦτο θέλει εἶναι χειρότερον παρὰ τὸ κακὸν αὐτό. Ἐὰν δὲ ὁ μαθητὴς εὑρίσκῃ εἰς τὰς σημειώσεις τὰ ἀναγκαιότερα, οὕτως ἔχει ἀνὰ χεῖρας ὁδηγίαν τινά, εἰς τὴν ὁποίαν ἠμπορεῖ εὐκόλως νὰ ἀνάξῃ τὰς παρατηρήσεις τοῦ διδασκάλου του. Αἱ σημειώσεις αὐταὶ θέλουσι γενῇ εἰς αὐτὸν αὐτὸ τὸ κείμενον εἰς ὑπόμνημα, τὸ ὁποῖον ἐντυπόνεται εἰς αὐτὸν εὐκόλως καὶ βεβαίως, ἐπειδὴ τὰ στοιχεῖα αὐτοῦ ἔχει πρὸ ὀφθαλμῶν του.

Ἐὰν δὲ αἱ σημειώσεις τοῦ στοιχειώδους βιβλίου τούτου εἶναι ἁρμόδιοι εἰς τοιαύτην χρῆσιν, θέλουσι κρίνει ἄλλοι· ἐγὼ τοῦτο μόνον ἠμπορῶ νὰ φανερώσω εἰς ποῖον σκοπὸν αὐταὶ ἀποβλέπουσι. Πλὴν δὲν ἐπιτυχαίνει πάντοτε ἡ πρώτη βολή. Προσέτι μήτε ὅρια ἀκριβῆ ἠμποροῦσι νὰ τεθῶσιν εἰς ἀντικείμενα τοιαῦτα· καὶ ὅ,τι εἰς ἐμὲ ἐφαίνετο ἀναγκαῖον, εἰς ἄλλους θέλει φανῇ ἄχρηστον· ἄλλοι θέλουσιν εἰπεῖ ὅτι λείπουσιν ἐκεῖ ἐξηγήσεις, ὅπου ἐγὼ δὲν εὕρισκον κάμμίαν δυσκολίαν. Ὅθεν δὲν φιλονεικῶ μὲ κανένα περὶ τοῦ μᾶλλον ἢ ἧττον· κάλλιστος εἰς τοῦτο διδάσκαλος ἡ χρῆσις καὶ ἡ πεῖρα.

# Σύνοψις χρονολογική των συμβεβηκότων.

| Ὀλυμπ. | ἔτ. π. Χρ. | α'. Περίοδος μυθική. |
| --- | --- | --- |
| | | Ὁ Κέκροψ φέρει ἀποικίαν ἐκ τῆς Αἰγύπτου εἰς τὴν Ἀττικήν. |
| | | Ὁ Θησεὺς συνοικίζει τοὺς κατοίκους τῆς Ἀττικῆς εἰς μίαν πολιτείαν. |
| | | Πόλεμος τῶν ἑπτὰ ἐπὶ Θήβας. ΚΓ'. §. 8. |
| | | Οἱ Ἀθηναῖοι συμμαχοῦσι τῷ Ἀδράστῳ κατὰ τῶν Θηβῶν. ΚΓ'. §. 8—11. |
| | | Εἰσβολὴ καὶ ἧττα τῶν Ἀμαζόνων ἐν τῇ Ἀττικῇ. ΛΓ'. §. 4—7. |
| | 1168 | Οἱ Ἀθηναῖοι ὑπερασπίζουσι τοὺς παῖδας τοῦ Ἡρακλέους ἐναντίον τοῦ Εὐρυσθέως. ΚΓ'. §. 12—15. |
| | 1090 | Οἱ Πελασγοὶ διώκονται ἐκ τῆς Ἀττικῆς. ΛΕ'. §. 15. καὶ ἑξ. |
| | | Κατάλυσις τῆς βασιλικῆς ἀξίας μετὰ τὸν θάνατον τοῦ Κόδρου. |

## β'. Ιστορία τῶν Αθηνῶν ἕως τῆς ἐν Μαραθῶνι μάχης.

| Ολυμπ. | ἔτ. π. Χρ. | |
|---|---|---|
| Ζ'. α'. | 752 | Αρχοντες ἐν Αθήναις ἐπὶ δέκα ἔτη. |
| ΚΔ'. α'. | 683 | Η ἀξία τοῦ ἄρχοντος κατ' ἔτος. |
| ΛΕ'. γ'. | 638 | Σόλωνος γένεσις. |
| ΜΒ'. α'. | 612 | Ο Κύλων πειρᾶται ἵνα τυραννεύσῃ τῶν Αθηνῶν. ΛΓ'. §. 18. |
| | | Διὰ τοῦ Σόλωνος γίνονται οἱ Αθηναῖοι τῆς Σαλαμῖνος κύριοι. Α'. |
| Μϛ'. γ'. | 594 | Ο Σόλων τίθησι τοῖς Αθηναίοις νόμους. |
| | | Ο Σόλων ἔρχεται πρὸς Κροῖσον, βασιλέα τῆς Λυδίας. ΛΑ'. |
| ΝΕ'. α'. | 560 | Ο Πεισίστρατος γίνεται βίᾳ τῶν Αθηνῶν τύραννος. ΛΒ'. |
| — | — | Ο Κῦρος, θεμελιωτὴς τῆς Περσικῆς μοναρχίας. |
| ΝΕ'. γ'. | 558 | Σόλωνος θάνατος. |
| ΞΓ'. β'. | 528 | Ο Πεισίστρατος ἀποθνήσκει. Διαδέχονται αὐτὸν οἱ υἱοὶ αὐτοῦ Ιππίας καὶ Ιππαρχος. |
| ΞΔ'. δ'. | 521 | Δαρεῖος, βασιλεὺς τῶν Περσῶν. |
| Ξϛ'. γ'. | 514 | Αρμόδιος καὶ Αριστογείτων κτείνουσι τὸν Ιππαρχον. ΛΓ'. |
| ΞΖ'. γ'. | 510 | Ιππίας διώκεται ἐκ τῶν Αθηνῶν βοηθείᾳ τῶν Λακεδαιμονίων. ΛΓ'. §. 9—13. |
| — | — | Κλεισθένης διαιρεῖ τὸν δῆμον εἰς δέκα φυλάς. ΛΓ'. §. 14. |
| | | Ταραχαὶ ἐν Ιωνίᾳ. |
| ΞΘ'. α'. | 504 | Αρισταγόρας ὁ Μιλήσιος πείθει τοὺς Αθηναίους βοηθῆσαι τοῖς Ιωσιν. ΛΓ'. §. 55. |
| | | Οἱ Ιωνες καὶ Αθηναῖοι καίουσι τὰς Σάρδεις. ΛΓ'. §. 64. |
| Ο'. α'. | 500 | Ο ποιητὴς Αἰσχύλος ἀκμάζει. |



## γ'. Απὸ τοῦ πρώτου Περσικοῦ πολέμου ἕως τῆς ἐν Αἰγὸς ποταμοῖς μάχης.

| Ολυμπ. | ἔτ. π. Χρ. | |
|---|---|---|
| ΟΒ'. β'. | 490 | Δαρεῖος, ἐπειδὴ ἔδοξεν αὐτῷ τοὺς Αθηναίους τιμωρήσασθαι, πέμπει ναυτικὸν κατὰ τῆς Αττικῆς. ΛΔ'. §. 1. |
| | | Μάχη ἐν Μαραθῶνι. ΚΓ'. §. 18—23. Λ'. |
| ΟΒ'. δ'. | 489 | Μιλτιάδης προσβάλλει τὴν Πάρον χωρὶς ἐκβάσεως. ΛΕ'. §. 2. καὶ ἑξ. |
| ΟΓ'. γ'. | 485 | Ξέρξης ἀναβαίνει ἐπὶ τὸν θρόνον τῆς Περσίας. |
| ΟΔ'. δ'. | 480 | Δεύτερος Περσικὸς πόλεμος. Ο Ξέρξης διαβαίνει μετὰ τοῦ στρατοῦ αὐτοῦ τὸν Ελλήσποντον. ΚΓ'. §. 26. |
| ΟΕ'. α'. | 479 | Η ἐν Θερμοπύλαις μάχη. ΚΓ'. §. 26. |
| | | Οἱ Αθηναῖοι καταλείπουσι τὰς Αθήνας. Δ'. §. 10. ΚΓ'. §. 28. |
| | | Οἱ Πέρσαι δῃώσαντες τὴν Αττικὴν κατέσχον καὶ τὴν ἀκρόπολιν. Λϛ'. §. 3. 9. |
| | | Μάχη ἐν Αρτεμισίῳ. Δ'. §. 1—6. |
| | | Μάχη ἐν Σαλαμῖνι. Δ'. §. 7—43. ΚΓ'. §. 28—33. ΛΖ'. |
| ΟΕ'. β'. | 478 | Μάχη ἐν Πλαταιαῖς. ΚΓ', §. 35. καὶ ἐν Μυκάλῃ. ΙΗ'. §. 1. |
| | | Αἱ Αθῆναι ἀνακτίζονται καὶ περιτειχίζονται. ΙΗ'. §. 3 — 16. |
| | | Θεμιστοκλῆς πείθει τοὺς Αθηναίους οἰκοδομῆσαι τὸν Πειραιᾶ. ΙΗ'. §. 21—24. |
| ΟΖ'. α'. | 471 | Θεμιστοκλῆς ἐξοστρακίζεται, καὶ καταφεύγει εἰς τὴν Περσίαν. ΙΘ'. |
| | | Ο Κίμων λαμβάνει τὴν Ηιόνα πόλιν, ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ. Ε'. §. 9—12. ΙΗ'. §. 36. |

| Ὀλυμπ. | ἔτ. π. Χρ. | |
|---|---|---|
| ΟΖ'. γ'. | 470 | Ὁ Κίμων νικᾷ τοὺς Πέρσας ἐπ' Εὐρυμέδοντι ποταμῷ πεζῇ τε καὶ ναυσίν. Ε'. §. 18—29. ΙΓ'. §. 40. |
| | | Ὁ Σοφοκλῆς ἀκμάζει. |
| ΟΗ'. β'. | 465 | Ἀρταξέρξης ὁ Μακρόχειρ διαδέχεται τὸν Ξέρξην. |
| ΟΘ'. δ'. | 461 | Ὁ Κίμων πέμπεται τοῖς Λακεδαιμονίοις ἐπὶ τῆς πολιορκίας τῆς Ἰθώμης βοηθήσων. ΙΓ'. §. 45. |
| | | Ἰθώμης ἅλωσις. ΙΓ'. §. 48. |
| | | Οἱ Ἀθηναῖοι πέμπουσι βοήθειαν τῷ Ἰνάρῳ ἐν Αἰγύπτῳ. ΙΓ'. §. 51. 64. |
| | | Πόλεμος Ἀθηναίων πρὸς Αἰγινήτας. ΙΓ'. §. 52. ΚΓ'. §. 39. |
| Π'. β'. | 459 | Μυρωνίδης νικᾷ τοὺς Κορινθίους. ΙΓ'. §. 53—56. ΚΓ'. §. 38—40. |
| ΠΒ'. α'. | 452 | Πενταετεῖς σπονδαὶ Ἀθηναίων πρὸς Πελοποννησίους. ΙΓ'. §. 72. |
| | | Κίμωνος ἐκστρατεία ἐπὶ Κύπρον. ΙΓ'. §. 72. |
| ΠΒ'. δ'. | 449 | Ὁ τῶν Περσῶν βασιλεὺς συντίθεται τοῖς Ἕλλησι τὴν περιβόητον εἰρήνην. Ε. §. 28. ΚΔ'. §. 9. |
| | | Κίμωνος θάνατος. ΙΓ'. §. 72. Θεμιστοκλέους θάνατος. ΙΘ'. |
| ΠΓ'. γ'. | 446 | Ἡ Εὔβοια ἀποστᾶσα ἀπὸ τῶν Ἀθηναίων καταστρέφεται ὑπὸ τοῦ Περικλέους ΙΓ'. 76. 77. 78. |
| — | 445 | Οἱ Ἀθηναῖοι σπονδὰς ποιοῦνται πρὸς Λακεδαιμονίους τριακοντούτεις. ΙΓ'. §. 79. |
| ΠΔ'. α'. | 444 | Ὁ Ἡρόδοτος ἀναγινώσκει τὴν ἱστορίαν αὐτοῦ. |
| | | Περικλῆς ὑποτάσσει τὴν Σάμον. ΙΓ'. §. 80—86. |
| ΠΔ'. γ'. | 442 | Ὁ Εὐριπίδης ἀκμάζει. |
| | | Προπαρασκευὴ πρὸς τὸν Πελοποννησιακὸν πόλεμον. ΙΓ'. 87—90. |



| Ὀλυμπ. | ἔτ. π. Χρ. | |
|---|---|---|
| Πς'. α'. | 436 | Ἰσοκράτους τοῦ ῥήτορος γένεσις. |
| ΠΖ'. α'. | 431 | Ἀρχὴ τοῦ Πελοποννησιακοῦ πολέμου. Β'. |
| ΠΖ'. β'. | 430 | Λοιμὸς ἐν Ἀθήναις. ΚΑ'. |
| — | 429 | Περικλέους θάνατος. Θ'. |
| ΠΗ'. δ'. | 425 | Ξέρξης ὁ Β'. διαδέχεται τὸν Ἀρταξέρξην. |
| ΠΘ'. α'. | 424 | Τοῦτον διαδέχεται Δαρεῖος ὁ Νόθος. |
| ϞΑ'. α'. | 416 | Ὁ Ἀλκιβιάδης νικᾷ νίκην λαμπρὰν ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν. ς'. §. 19. |
| — | — | Οἱ Ἀθηναῖοι πέμπουσι ναυτικὸν εἰς Σικελίαν. ΚΒ'. §. 1—26. |
| ϞΑ'. δ'. | 412 | Καὶ ἡττῶνται ἐκεῖ ἧτταν παντελῆ. ΚΒ'. §. 22—54. |
| ϞΒ'. α'. β'. | 411 | Ταραχαὶ καὶ μεταβολαὶ τοῦ πολιτικοῦ τῶν Ἀθηνῶν συστήματος. |
| ϞΓ'. γ'. | 405 | Οἱ Ἀθηναῖοι νικῶνται ἐν Αἰγὸς ποταμοῖς. |

## δ'. Ἕως τῆς ἐν Χαιρωνείᾳ μάχης.

| | | |
|---|---|---|
| — δ'. | 404 | Ἀρταξέρξης ὁ Μνήμων διαδέχεται τὸν Δαρεῖον. |
| | | Ὁ Λύσανδρος ἀναγκάζει τοὺς Ἀθηναίους παραδοῦναι τὴν πόλιν καὶ ἄτιμον εἰρήνην ποιήσασθαι. Γ'. §. 1—17. ΙΔ'. §. 1—12. |
| | | Οἱ Σπαρτιᾶται καθίστανται ἡγεμόνες τῆς Ἑλλάδος. ΚΓ'. §. 43. 44. |
| ϞΔ'. α'. | 403 | Διοίκησις τῶν τριάκοντα τυράννων ἐν Ἀθήναις. ΙΕ'. |
| | | Θηραμένης ἀποκτείνεται. ΙΕ'. §. 16—29. |
| | | Ἐπιχειρήματα τοῦ Θρασυβούλου καὶ τῶν φυγάδων ἐναντίον τῶν τυράννων. Ις'. |
| ϞΔ'. β'. | 402 | Τῶν τυράννων ἐκλιπόντων τὰς Ἀθήνας αἱροῦνται οἱ Ἀθηναῖοι ἀντ' αὐτῶν δέκα ἄνδρας. Ις'. 33. ΙΖ'. 1. |

| Ὀλυμπ. | ἔτ. π. Χρ. | |
|---|---|---|
| | | Κάθοδος τῶν φυγάδων. Ἀμνηστία. ΙΖ', 26.—35. ΚΓ'. §. 45—49. |
| — δ'. | 400 | Ἐπιχείρημα τοῦ νεωτέρου Κύρου κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀρταξέρξου. ΚΔ'. §. 12.— |
| ϞΕ'. α'. | 399 | Σωκράτους καταδίκη. |
| Ϟϛ'. γ'. | 394 | Κόνων νικᾷ τοὺς Λακεδαιμονίους ἐν Κνίδῳ. ΚΔ'. §. 13. |
| | | Κορινθιακὸς πόλεμος. Ἰφικράτης. ΚΓ', §. 50. |
| ϞΖ'. β'. | 391 | Θάνατος τοῦ ἱστορικοῦ Θουκυδίδου. |
| ϞΗ'. β'. | 387 | Εἰρήνη τοῦ Ἀνταλκίδου. ΚΔ'. §. 10. 13. |
| | | Αἱ Ἀθῆναι ἀνακτῶνται τὴν ἡγεμονίαν τῆς θαλάσσης. |
| ΡΒ'. β'. | 371 | Ἧττα τῶν Σπαρτιατῶν ἐν Λεύκτροις, ΚΔ'. §. 8. |
| ΡΔ'. β'. | 362 | Μάχη ἐν Μαντινείᾳ. |
| — γ'. | 361 | Ὦχος διαδέχεται Ἀρταξέρξην τὸν Μνήμονα. |
| ΡΕ'. α'. | 360 | Φίλιππος παραλαμβάνει τὴν βασιλείαν τῶν Μακεδόνων. |
| — γ'. | 358 | Πόλεμος τῶν συμμάχων πρὸς Ἀθηναίους. ΚΖ'. |
| — δ'. | 356 | Ἀρχὴ τοῦ ἱεροῦ πολέμου. ΙΓ'. §. 5. |
| ΡΖ'. δ'. | 349 | Φίλιππος λαμβάνει τὴν Ὄλυνθον. Δημοσθένης. |
| ΡΗ'. β'. | 346 | Φίλιππος ποιεῖται εἰρήνην πρὸς Ἀθηναίους. ΙΓ'. §. 7—9. ΚΗ'. |
| | | Ὁ Φίλιππος καταλύει τὸν ἱερὸν πόλεμον. ΚΗ'. |
| | | Ὁ Φίλιππος λαμβάνει χώραν ἐν τῷ συνεδρίῳ τῶν Ἀμφικτυόνων. ΚΗ'. |
| ΡΙ'. γ'. | 338 | Αἱ πολιτεῖαι τῆς Ἑλλάδος συμμαχοῦσι κατὰ Φιλίππου. ΙΓ'. §. 12—18. |
| | | Ἧττα τῶν Ἑλλήνων ἐν Χαιρωνείᾳ. ΙΓ', 19. 20. |



| Ὀλυμπ. | ἔτ. π. Χρ. | * * * |
|---|---|---|
| ΡΙΑ'. α'. | 336 | Ἀλέξανδρος διαδέχεται τὸν πατέρα αὐτοῦ Φίλιππον. |
| ΡΙΔ'. α'. | 323 | Ὁ Ἀλέξανδρος ἀποθνήσκει. |
| β'. | | Ὁ Ἀντίπατρος εἰσάγει τὴν ἀριστοκρατίαν εἰς τὰς Ἀθήνας. |
| — γ'. | 322 | Ὁ Δημοσθένης καταδικάζεται εἰς θάνατον καὶ ἀποθνήσκει φαρμάκῳ. ΙΓ'. §. 22—28. |
| | | Ὁ Πολυσπέρχων παραλαμβάνει τὴν ἐπιτροπίαν τοῦ βασιλέως τῆς Μακεδονίας. |

# Πίναξ τῶν ἐν τῷ δευτέρῳ τόμῳ περιεχομένων.

## Α'. Ἐκ τοῦ Πλουτάρχου.

Α'. Διὰ τοῦ Σόλωνος κυριεύουσιν οἱ Ἀθηναῖοι τὴν Σαλαμῖνα. . . . . . . . . Σελ. 1
Β. Χαρακτηριστικά τινα τοῦ Ἀριστείδου ἐκ τοῦ βίου αὐτοῦ . . . . . . . . . 4
Γ'. Θεμιστοκλῆς. . . . . . . . . . . 10
Δ'. Συμβάντα τινὰ τοῦ δευτέρου Περσικοῦ πολέμου. . . . . . . . . . . 13
Ε'. Κίμων. . . . . . . . . . . 27
Ϛ'. Χαρακτηριστικά τινα τοῦ Ἀλκιβιάδου ἐκ τοῦ βίου αὐτοῦ . . . . . . . . 30
Ζ'. Ἀλκιβιάδου θάνατος. . . . . . . . 36
Η'. Περικλῆς. Ἀρχὴ τοῦ Πελοποννησιακοῦ πολέμου. . . . . . . . . . . 39
Θ'. Περικλέους θάνατος. . . . . . . . 41
Ι'. Τέλος τοῦ Πελοποννησιακοῦ πολέμου . . 43
ΙΑ'. Φωκίων. . . . . . . . . . . 47
ΙΒ'. Φωκίωνος καταδίκη καὶ θάνατος. . . . 52
ΙΓ'. Δημοσθένης. . . . . . . . . . 57

## Β'. Ἐκ τοῦ Ξενοφῶντος.

ΙΔ'. Τύχαι τῶν Ἀθηνῶν μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ἧτταν. . . . . . . . . 67



ΙΕ'. Διοίκησις τῶν τριάκοντα τυράννων. Θηραμένους θάνατος . . . . . . . . Σελ. 72
ΙϚ'. Ἐπιχειρήματα τῶν φυγάδων . . . . . 80
ΙΖ'. Ἐλευθέρωσις τῶν Ἀθηνῶν. Κήρυξις τῆς Ἀμνηστίας. . . . . . . . . . 90

## Γ'. Ἐκ τοῦ Θουκυδίδου.

ΙΗ'. Αἰτίαι τῆς αὐξήσεως τῆς δυνάμεως τῶν Ἀθηνῶν, καὶ σχέσεις τῆς πολιτείας ταύτης πρὸς τὴν Λακεδαίμονα μετὰ τὸν δεύτερον κατὰ τῶν Περσῶν πόλεμον, ἕως ὅτου ἐκηρύχθη ὁ Πελοποννησιακὸς πόλεμος. . 99
ΙΘ'. Τελευταῖαι τύχαι τοῦ Θεμιστοκλέους . . 131
Κ'. Δημόσιος ἐνταφιασμὸς τῶν κατ' ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου ἀποθανόντων Ἀθηναίων. . . . . . . . . . 137
ΚΑ'. Λοιμὸς ἐν Ἀθήναις . . . . . . . 138
ΚΒ'. Ἀποσπάσματά τινα ἐκ τῆς ἱστορίας τοῦ κατὰ τῆς Σικελίας ἐπιχειρήματος τῶν Ἀθηναίων . . . . . . . . . 149

## Δ'. Ἐκ τῶν Ῥητόρων.

ΚΓ'. Λυσίου λόγος ἐπιτάφιος ἐπὶ τῶν ἐν τῷ πολέμῳ ὑπὲρ τῶν Κορινθίων ἀποθανόντων . . . . . . . . . . 176
ΚΔ'. Ἐκ τοῦ Παναθηναϊκοῦ λόγου τοῦ Ἰσοκράτους. Σύγκρισις τῶν Ἀθηνῶν μετὰ τῆς Σπάρτης. . . . . . . . . . 207
ΚΕ'. Ἐπιῤῥοὴ τοῦ Ἀρείου πάγου εἰς τὰ ἀρχαῖα

ἤθη, καὶ εἰς ὅλην τὴν κατάστασιν τῆς πολιτείας. . . . . . . . . . . Σελ. 216
ΚϚ′. Η δημοκρατία προτιμᾶται τῆς ὀλιγαρχίας· ἀποδεικνύεται δὲ τοῦτο ἐκ τῆς ἱστορίας τῶν Αθηνῶν. . . . . . . . . 225
ΚΖ′. Εκ τοῦ περὶ εἰρήνης λόγου τοῦ Ισοκράτους. 230
ΚΗ′. Δημοσθένους λόγος περὶ εἰρήνης . . . 236
ΚΘ′. Πνεῦμα καὶ χαρακτὴρ τῶν ἀρχαίων Αθηναίων, παραβαλλόμενα πρὸς τὰ τῶν νεωτέρων ἐπὶ Φιλίππου. . . . . . . 249
Λ′. Σύγκρισις τῆς ἀρχαίας καταστάσεως τῆς δημοκρατίας τῶν Αθηναίων πρὸς τὴν κατάστασιν αὐτῆς ἐπὶ τῶν χρόνων τοῦ Δημοσθένους. . . . . . . . . . . 254

Ε′. Εκ τῶν τοῦ Ηροδότου Μουσῶν.

ΛΑ′. Σόλωνος ἀποδημίαι καὶ διατριβὴ παρὰ τῷ Κροίσῳ . . . . . . . . . . 263
ΛΒ′. Τυραννία τοῦ Πεισιστράτου. . . . . . 271
ΛΓ′. Αἱ Αθῆναι ὑπὸ τοῖς Πεισιστρατίδαις, καὶ μετὰ τὴν ἀποδίωξιν αὐτῶν μέχρι τοῦ πρώτου Περσικοῦ πολέμου. . . . . 278
ΛΔ′. Η ἐν Μαραθῶνι μάχη. . . . . . . . 303
ΛΕ′. Τὰ πλησίον ἐπακόλουθα τῆς ἐν Μαραθῶνι μάχης. Τύχη τοῦ Μιλτιάδου . . . . 315
ΛϚ′. Τὰ πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας τοῖς Ελλησι διαπεπραγμένα. Αθηνῶν ἅλωσις. 326
ΛΖ′. Η ἐν Σαλαμῖνι μάχη. . . . . . . . 336

---

# Α′.

## Διὰ τοῦ Σόλωνος κυριεύουσιν οἱ Αθηναῖοι τὴν Σαλαμῖνα.

(Πλούταρχ. Σόλων. κεφ. 8.)

1. Επεὶ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν ἄστει περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες ἐξέκαμον, καὶ νόμον ἔθεντο, μήτε γράψαι τινά, μήτ' εἰπεῖν αὖθις, ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν ἀδοξίαν ὁ Σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένους ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαῤῥοῦντας ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν διεδόθη παρακινητικῶς

---

§. 1. ἄστει) ἄστυ, ὅταν ἦναι λόγος περὶ τῶν πραγμάτων τῆς Αττικῆς, εἶναι αἱ Αθῆναι. — Σαλαμίς) νῆσος ἐν τῷ Σαρωνικῷ κόλπῳ, ἐξ ἴσου σχεδὸν ἀπέχουσα ἀπὸ τὰς Αθήνας καὶ τὰ Μέγαρα. — πόλεμον πολεμ.) καθὼς καὶ ἐν ἀριθμ. ΙΗ′. 73. « τὸν ἱερὸν πόλεμον ἐστράτευσαν ». Ἰδ. Γραμ. Βουτ. §. ΡΙΗ′. 6′. — ἐξέκαμον) Μνασάλκ. Επίγραμ. ιγ′. « δολιχὰν ἐκπονέουσα τρίβον ». — ἔθεντο.) Γραμ. Βουτ. §. ΡΚΒ′. δ′. Σημ. β′. — γράψαι . . . εἰπεῖν.) μήτε ἐγγράφως, μήτε διὰ στόματος νὰ προβάλῃ τις. — ὡς χρή) συχνάκις τίθεται ἡ Οριστικὴ εἰς τὸν πλάγιον λόγον (ἢ διηγηματικόν). Ἰδ. ἀριθμ. Γ′. 3. ΚΓ′. 18. — ἀρχῆς) προφάσεως. — ὁρῶν.) πρὸς Μετοχ. Γραμ. Βουτ. §. ΡΛΑ′. 6′. α′. Παράβαλ. καὶ ἀριθμ. Β′. 20. ΙΗ′. 5. — ἔχειν) μετὰ ἐπιῤῥήμ. Γραμ. Βουτ §. ΡΛϚ′. σελ. 503. π. 468. γ. Παράβ. ἀριθμ. Β′. 4. Ε′. 26. Ζ′. 8.

ἔχειν αὐτόν. 2. Ἐλεγεῖα δὲ κρύφα συνθεὶς καὶ μελετήσας, ὥςε λέγειν ἀπὸ ςόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. 3. Ὄχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον, ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐςιν ἀρχή.

αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

4. Τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται, καὶ ςίχων ἑκατόν ἐςι χαριέντως πάνυ πεποιημένον. Τότε δὲ ᾀσθέντος αὐτοῦ, καὶ τῶν φίλων τοῦ Σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιςα δὲ τοῦ Πεισιςράτου τοῖς πολίταις ἐγκελευομένου καὶ παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον αὖθις ἥπτοντο τοῦ πολέμου, προςησάμενοι τὸν Σόλωνα. 5. Τὰ μὲν οὖν δημώδη τῶν λεγομένων τοιαῦτ' ἐςιν, ὅτι πλεύσας ἐπὶ Κωλιάδα μετὰ

§. 2. ἀπὸ ςόμ.) Παράβ. ἀριθμ. Η΄. §. 1. Κατὰ τὸν αὐτὸν τρόπον εἶναι ἐν χρήσει ἡ Ἀπὸ καὶ εἰς ἄλλας φράσεις. Πλούταρ. ἐν βίῳ Μαρίου. κεφ. 43. «οὕτοι πολλοὺς μὲν ἀπὸ φωνῆς, πολλοὺς δ' ἀπὸ νεύματος ἀνῄρουν.» — ἐξεπήδ.) Πλούταρχ. ἐν βίῳ Κάτων. Ν. κη. » ὁ δὲ Μέτελλος . . . . . . . αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγοράν». — πιλίον) ὡς νὰ ἐπέςρεψεν ἀπὸ κανὲν ταξείδιον. Περὶ τῆς Συντάξ. τοῦ Μέσου μετὰ τῆς Αἰτιατικ. Ἰδ. Γραμ. Βουτ. §. ΡΚΒ΄. γ΄.

§. 3. κήρ. λίθ.) τόπος ὑψηλὸς, βῆμα, ἀπ' ἄνωθεν τοῦ ὁποίου ὡμίλουν οἱ κήρυκες. — ἐν ᾠδῇ.) ᾄδων. — κόσμον ἐπ.) περιφραςικῶς, ἀντὶ, ἔπη κοσμίως συντεθέντα. — ᾠδὴν θέμ.) ἀντὶ, ᾄδων. — ἀντ' ἀγορῆς.) τουτέςιν, ἀντὶ τῶν πεζῶν λόγων, οἷς ἐν ἀγορᾷ χρῶνται.

§. 4. προςησάμ.) κηρύξαντες τὸν Σόλωνα ςρατηγόν των. Γραμ. Βουτ. §. ΡΚΗ΄. δ΄. ε΄.

§. 5. Τὰ μὲν) ἀναφέρεται πρὸς τὸ «ἄλλοι δὲ» ἐν §. 7. — τὰ δημ. τῶν λ.) τουτέςι, τὰ ὑπὸ τῶν πλείςων λεγόμενα. — Κωλιάδ.) ἀκρωτήριον τῆς Ἀττικῆς ἡ Κωλιὰς, ὅπου καὶ ναὸς τῆς Δήμητρος, ἀντικρὺ τῆς Σαλαμῖνος. — καταλαβὼν) εὑρών. — κελεύσ.) ὁ Μέλ. ἐκφράζει τὸν σκοπὸν, τὸ τέλος. Γραμ. Βουτ. §. ΡΑΑ΄. γ΄. σελ. 454. π. 490. ν. — τὴν ταχίςην) Ἰδ. Βιγέρον, Περὶ Ἰδιωτισμῶν, σελ. 11. Σημ. 15.



τοῦ Πεισιςράτου, καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιςὸν εἰς τὴν Σαλαμῖνα, προσποιούμενον αὐτόμολον εἶναι, κελεύσοντα τοὺς Μεγαρεῖς, εἰ βούλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν γυναῖκας, ἐπὶ Κωλιάδα μετ' αὐτοῦ πλεῖν τὴν ταχίςην. 6. Ὡς δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν τῷ πλοίῳ, καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων τοὺς μηδέπω γενειῶντας ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένους, καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ παίζειν καὶ χορεύειν προςέταξε πρὸς τῇ θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν οἱ πολέμιοι, καὶ γένηται τὸ πλοῖον ὑποχείριον. 7. Οὕτω δὴ τούτων πραττομένων, ὑπαχθέντες οἱ Μεγαρεῖς τῇ ὄψει, ἐξεπήδων ὡς ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλους· ὥςε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τοὺς Ἀθηναίους. Ἄλλοι δὲ ἄλλον τινὰ τρόπον γενέσθαι τὴν κατάληψιν λέγουσι.

---

§. 6. τῶν δὲ νεωτ.) ἡ Σύνταξις, προςέταξε τοὺς μηδέπω γεν. τῶν νεωτέρων . . παίζειν καὶ χορ. — μέχρις ἂν ἀποβ.) Γραμ. Βουτ. §. ΡΚϚ΄. ι΄. Παράβ. ἀριθμ. Ι΄. §. 1.

§. 7. ἐξεπ. ὡς ἐπ.) ὡς νομίζοντες ἐπὶ γυναῖκας ἐκπηδῶν. Παράβ. ἀριθμ. Η΄. 1. Θ΄. 2. — ὥςε) τὸ πλῆρες, ὥςε τῶν νέων ἐν ταύτῃ τῇ ἁμίλλῃ, ἐν τούτῳ τῷ θορύβῳ, ὁρμησάντων ἐπ' αὐτούς. — τὴν νῆσον.) Σαλαμῖνα. — ἔχειν) καταλαβεῖν.

## Β'.

## Χαρακτηριστικά τινα τοῦ Αριστείδου ἐκ τοῦ βίου αὐτοῦ.

(Πλούταρχ. Αριστείδ. κεφ. 1).

1. Αριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Αντιοχίδος, τὸν δὲ δῆμον Αλωπεκῆθεν. 2. Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν, ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος, καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γεγενημένας. 3. Πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος χωρίον τε Φαληροῖ φησὶ γινώσκειν Αριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται, καὶ ἄλλα τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἀγείρει, οὐ μάλα πιθανά. —

(κεφ. 3.) 4. Θαυμαστή τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς ἡ εὐστάθεια, μήτε ταῖς

---

§. 1. φυλῆς) οἱ κάτοικοι τῆς Αττικῆς ἦσαν διῃρημένοι εἰς δέκα φυλάς, καὶ αὐταὶ πάλιν κατὰ τοὺς τόπους, τοὺς ὁποίους ἐκατοίκουν, εἰς 174 δήμους. — τὸν δῆμον) Γραμ. Βουτ. §. ΡΗΙ'. ι'. — Αλωπεκῆθεν.) Γραμ. Βουτ. §. ΡΓ'. ά. Ο δῆμος οὗτος ὠνομάζετο Αλωπέκη.

§. 2. οἱ μὲν) συνέχεται μὲ τὸ « πρὸς δὲ τοῦτον . . . §. 3. » — ὡς) μετὰ γενικῆς Απολύτου μετὰ τὰ αἰσθήσεων σημαντικά, ἀφηγηματικά, κ. τ. λ. ῥήματα, ἀντὶ Αἰτιατικ. μετὰ Απαρεμφ. Γραμ. Βουτ. §. ΡΑΒ', Σημ. δ'. Βιγέρ. σελ 559. Παράβ. ἀριθμ. Ε'. 2.

§. 3. Φαληρεὺς Δημ.) Ρήτωρ περίφημος καὶ Πολιτικὸς ἐπὶ τῶν πρώτων διαδόχων τοῦ Αλεξάνδρου. — Φαληροῖ) εἰς Φάληρον, δῆμον τῆς Αττικῆς.

§. 4. ἐπαιρ) ἀριθμ. ΚΓ'. 11. » οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες ». — πρός . . . ἔχοντος) Πλούταρχ. ἐν βίῳ Γ. Γράκχου 16. » οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον ». Παράβ. ἀριθμ. Α'. §. 1. — χρημάτων . . . δόξης) αἱ γενικαὶ



τιμαῖς ἐπαιρομένου, πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πράως ἔχοντος, καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτόν, οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. 5. Οθεν τῶν εἰς Αμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων Ιαμβείων ἐν τῷ θεάτρῳ λεγομένων,

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα·

πάντες ἀπέβλεψαν εἰς Αριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

(κεφ. 4.) 6. Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι. 7. Λέγεται γοῦν ποτε διώκων ἐχθρὸν ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ

---

αὗται ἐκφράζουσι πλησιέστερόν τινα προσδιορισμὸν τῶν ἐν τῷ » προῖκα » καὶ » ἀμισθί » περιεχομένων ἐννοιῶν, ἀντὶ » ἄνευ χρημάτων, ἤ, μισθοῦ, καὶ δόξης ». Σύμφωνοι εἶναι καὶ αἱ φράσεις » ἄπεπλος φαρέων ». Εὐριπ. Φοιν ». ἄλυπος ἄτης » Σοφοκλ. Ηλέκτρ. » ἄπαις τέκνων ». Ξενοφ.

§. 5. Αἰσχ.) Ιδ. Αισχύλ. Επτὰ ἐπὶ Θήβ. 596. Αμφιάραος, μάντις σοφός, ὅστις ἐστράτευσε κατὰ τῶν Θηβῶν μετὰ τοῦ Αδράστου. — βαθεῖαν) ὁ νοῦς τοῦ Αμφιαράου παραβάλλεται μὲ ἓν βαθέως γεωργημένον, καὶ διὰ τοῦτο εὔφορον χωράφιον. — καρπούμ.) τουτέστιν, ἔχων καρποφόρον βαθ. ἄλ. — ὡς) Γραμ. Βουτ. §. ΡΑΒ'. Σημ. δ'. — τῆς ἀρετῆς) σοφίας ἄνευ ἀλαζονείας.

§. 6. ἰσχυρότ. ἦν ἀντιβῆναι πρός . . . .) τουτέστι, τῶν δικαίων ἕνεκα δυνατὸς ἦν καὶ ἔχθρας ἀμνημονεῖν, καὶ εὐνοίᾳ μὴ χαρίζεσθαι.

§. 7. οὐ βουλομ.) ἀπὸ μέγα πρὸς τὸν Αριστείδην, τὸν ἐνάγοντα, σέβας. — τὴν ψῆφον.) τὴν μικρὰν πέτραν, τὴν ὁποίαν ἐμεταχειρίζοντο, ὅτε ἔδιδον γνώμην περί τινος, — τῷ κρινομένῳ) τῷ ἑαυτοῦ ἐχθρῷ, ὃν ἐδίωκεν. — ὅπως ἀκουσθ.) Ιδ. Γραμ. Βουτ. §. ΡΚϛ'. β'. περὶ τῆς Συντάξεως τῶν Εγκλίσεων. Παράβ. ἀριθμ. Γ'. §. 2.

βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτόν, ἀναπηδήσας τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων.

8. Πάλιν δὲ κρίνων ἰδιώταις δυσί, τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκώς, λέγ', ὦ 'γαθέ, ἔφη, μᾶλλον εἴ τι σέ κακὸν πεποίηκε· σοὶ γάρ, οὐκ ἐμαυτῷ δικάζω.

(κεφ. 6) 9. Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε, διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. 10. Ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τοῦ Δικαίου· ὃ τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταί, καὶ Κεραυνοί, καὶ Νικάτορες, ἔνιοι δ' Ἀετοὶ καὶ Ἱέρακες ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς

§. 8. τυγχ. λελυπ.) Ιδ. Γραμ. Βουτ. §. ΡΛΑ'. θ'. ιβ'. σελ. 452. π. 420. ν. Παράβ. ἀριθμ. ς'. 18. Ζ'. 10. Θ'. 2.

§. 9. αἴσθ. παρ.) τουτέστιν, οἱ πολλοὶ μάλιστα ᾐσθάνοντο. — διὰ τὸ ὑπάρχειν.) Γραμ. Βουτ. §. ΡΚΖ'. δ'.

§. 10. δημοτικὸς) ὁ πολίτης τινὸς δημοκρατίας, ἐναντίον τῷ «βασιλικωτάτῳ», — ὃ) τοῦτο, ὅ. — Πολιορ.) Δίων Χρυσόστ. Λόγ. ξδ'. σελ. 338. » Τί δὲ δεῖ λέγειν τοὺς διαδεξαμένους τὴν βασιλείαν (Ἀλεξάνδρου), ἢ τοὺς ἐπ' ἐκείνοις γενομένους, καὶ τὰ ἀλαζονικὰ αὐτῶν ὀνόματα, κεραυνούς, καὶ πολιορκητάς, καὶ ἀετούς, καὶ θεούς.» Δημήτριον ἐννοεῖ τὸν Πολιορκητήν, υἱὸν τοῦ Ἀντιγόνου, Πτολεμαῖον τὸν Κεραυνόν, βασιλέα τῆς Μακεδονίας, Σέλευκον τον Νικάτορα, βασιλέα τῆς Συρίας, Πύρρον τὸν Ἀετόν, βασιλέα τῆς Ἠπείρου, καὶ Ἀντίοχον τὸν Ἱέρακα, τὸν ἀδελφὸν Σελεύκου τοῦ Καλλινίκου. — ἔχαιρον πρός.) Πλούταρχ. Περὶ ἀδολεσχ. κεφ. 15 » χαίρεις λαλῶν καὶ φλυαρῶν ». Γραμ. Βουτ. §. ΡΛΑ'. ϛ'. η'. σελ. 451. π. 419. ν. — τὴν ἀπὸ) παρομοίαν χρῆσιν τῆς περιφραζούσης Ἀπὸ Ιδ. §. 18. ἀριθμ. Γ'. 5. Δ'. 15.



βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες.

(κεφ. 7.) 11. Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη, τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν, ὕστερον φθονεῖσθαι. Ὁ γὰρ δῆμος, ἐπὶ τῇ νίκῃ μέγα φρονῶν, ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. Καὶ συνελθόντες εἰς ἄστυ πανταχόθεν ἐξοστρακίζουσι τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι. 12. Μοχθηρίας γὰρ οὐκ ἦν ζημία ὁ ἐξοστρακισμός, ἀλλ' ἐκαλεῖτο μὲν δι' εὐπρέπειαν ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλασις.

13. Γραφομένων οὖν τότε τῶν ὀστράκων, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων, παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψει. Τοῦ δὲ θαυμάσαντος καὶ πυθομένου, μή τι κακὸν αὐτῷ Ἀριστείδης πεποίηκεν. Οὐδέν, εἶπεν, οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν Δίκαιον ἀκούων. Ταῦτ' ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι μὲν οὐδέν, ἐγ-

§. 11. νίκῃ) κατὰ τῶν Περσῶν δηλ. — τοῖς . . . ἔχουσι) τουτέστι, τοῖς ὀνόματι καὶ δόξῃ ὑπερέχουσιν. — ὄνομα) τουτέστι, τὸν τῆς δόξης φθόνον τῷ τοῦ φόβου τυρ. ὀνόματι καλύπτουσι καὶ περιπέττουσι. Παράβ. ἀριθμ. ΣΤ'. 26.

§. 12. δι' εὐπρ.) τουτέστιν, εὐπρεπεῖ ὀνόματι. — κόλασις) περιορισμός.

§. 13. τῶν ὀστρ.) κομμάτια κεραμίδας, ἢ ἄλλου τινὸς τοιούτου, ἐπὶ τῶν ὁποίων ἔγραφον οἱ ψηφοφοροῦντες πολῖται τὴν ἀπόφασίν των. — λέγεται) συντάσσεται μὲ Ὀνομαστικ. καὶ Αἰτιατικ. Παράβ. ἀριθμ. ΙΓ'. 1. — ὅπως ἐγγράψει) ὄχι » ἐγγράψῃ ». Ιδ. Γραμ. Βουτ. §. ΡΚϛ'. δ'. Παράβ. ς'. 13. ΙΛ'. 12. — μή τι) Γραμ. Βουτ. §. ΡΛΔ'. Σημ. θ'. σελ. 479. π. 446. ν. — ἀκούσαντα . . . ἐγγράψαι) ἐξαρτᾶται ἀκόμη ἀπὸ τοῦ, λέγεται

γράψαι δὲ τοὔνομα καὶ ἀποδοῦναι. 14. Τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανόν, ηὔξατο μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

* * *

(κεφ. 24.) 15. Οἱ Ἕλληνες ἐτέλουν μέν τινα καὶ Λακεδαιμονίων ἡγουμένων ἀποφορὰν εἰς τὸν πόλεμον, ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον ᾐτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξαν αὐτῷ χώραν τε καὶ προσόδους ἐπισκεψάμενον ὁρίσαι κατ' ἀξίαν ἑκάστῳ καὶ δύναμιν. 16. Ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος γενόμενος, καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων ποιησάμενος. 17. Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον, εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες, ὕμνουν, καὶ μάλιστα μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος, εἶτ' αὖθις τριπλασιασθέντος.

§. 14. ὃς ἀναγκάσει) εἰς πλάγιον λόγον τίθεται πολλάκις ὁ Μέλ. τῆς Οριστικῆς. Παράβ. ἀριθμ. ΙΗ'. 58. » σκέψασθαι, ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. » ἀριθμ. ΚΒ'. 16. » οἱ δὲ ἐσκόπουν, ὅτῳ τρόπῳ ἄριστα προσοίσονται». ἀριθμ. ΚΓ'. 13. » οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται». §. 19, » ὡς πολεμήσουσι».

§. 15. ἡγουμ.) ὅτε εἶχεν ἀκόμη τὴν ἡγεμονίαν τῶν Ἑλληνικῶν πολιτειῶν ἡ Σπάρτη, καὶ τὴν ἀρχιστρατηγίαν εἰς τὸν πόλεμον. — ᾐτήσαντο) Ἰδ. ἐκτενέστερον περὶ τούτου ἀριθμ. Ε'. 7. 8. — ἑκάστῳ) ἑκάστῃ τῶν πόλεων.

§. 17. τὸν ἐπὶ Κρ. βίον) ὃν ὡς εὐποτμόν τινα καὶ πάντων ἀγαθῶν μεστὸν ὕμνουν καὶ ἐθαύμαζον. — διπλασ.) τοῦ φόρου δηλ.



* * *

(κεφ. 25.) 18. Ἀριστείδης, εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν ἑαυτοῦ πατρίδα, αὐτὸς ἐνέμεινε τῇ πενίᾳ, καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε· δῆλον δ' ἐκεῖθεν. 19. Καλλίας ὁ δᾳδοῦχος ἦν αὐτῷ γένει προσήκων· τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες, ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν, εἶπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς· Ἀριστείδην, ἔφησαν, ἴστε, τὸν Λυσιμάχου, θαυμαζόμενον ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν, ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον εἰς τὸ δημόσιον; ἆρ' οὐκ εἰκός ἐστι τὸν ῥιγοῦντα φανερῶς καὶ πεινᾶν οἴκοι, καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν ὄντα, πλουσιώτατος ὢν Ἀθηναίων, περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον, πολλὰ κεχρημένος τῷ ἀνδρί, καὶ πολλάκις αὐτοῦ τῆς

§. 18. τὸ ἄρχειν) διότι δι' αὐτοῦ μάλιστα μετέβη ἡ ἡγεμονία εἰς τὰς Ἀθήνας. — τὴν ἀπὸ) Ἰδ. §. 10. — ἀγαπῶν διετέλ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΑ'. 6'. ι'. σελ. 452. π. 420. ν. Παράβ. ἀριθμ. ΙΓ'. 20, ΚΑ'. 11.

§. 19. ὁ δᾳδοῦχος) ἓν τῶν πρώτων ἱερατικῶν ἀξιωμάτων εἰς τὰ Ἐλευσίνια μυστήρια. — θανάτου) Παράβ. ἀριθμ. ΙΕ'. 2. Γραμ. Βουτ. §. ΡΙΘ'. δ'. γ'. σελ. 417. π. 384. ν. — περὶ ὧν) περὶ τοῦ κυρίως ἀντικειμένου τῆς κατηγορίας, τῷ ὁποίῳ ἀντίκειται τὸ », ἔξωθεν », δηλ. περίστασις μὴ εὑρισκομένη εἰς τὴν ὑπόθεσιν. — ἴστε.) μετὰ Μετοχ. Γραμ. Βουτ. ΡΛΑ'. 6'. β. — πῶς . . ἔχειν) Ἰδ. ἀριθμ. Α'. §. 1. — ῥιγοῦντα.) τουτέστι, τὸν τοιοῦτο τριβώνιον ἀμπεχόμενον. — περιορᾷ) πρὸς Μετοχ. Παράβ. ἀριθμ. Ζ'. 5. » οὔτε νῦν περιόψεται Λακεδαιμονίους ὑβρίζοντας. » ἀριθμ. ΚΓ'. 34. Κς'. 7. — ἀπολελαυκ.) μετὰ Γενικ. Γραμ. Βουτ. §. ΡΙΘ'. γ'. β. δ. σελ. 416. π. 383. ν.

παρ' ὑμῖν δυνάμεως ἀπολελαυκώς. 20. Ο δὲ Καλλίας, ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας, ἐκάλει τὸν Αριστείδην, ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστὰς, ὅτι, πολλάκις αὐτοῦ πολλὰ καὶ διδόντος καὶ δεομένου λαβεῖν, οὐκ ἐθέλησεν, ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ τὴν πενίαν μέγα φρονεῖν ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει. Ταῦτα τοῦ Αριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος, οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον, ὡς Αριστείδης, εἶναι βουλόμενος, ἢ πλουτεῖν ὡς Καλλίας.

---

# Γ'.

## Θεμιστοκλῆς.

(Πλούταρχ. Θεμιστ. κεφ. 3)

1. Λέγεται ὁ Θεμιστοκλῆς, Νεοκλέους υἱός, οὕτω παράφορος πρὸς δόξαν εἶναι, καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστής, ὥστε, νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης, καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ τοὺς

§. 20. διδόντος) φανερόνει τὴν θέλησιν μόνον χωρὶς ἐκβάσεως. Παράβ. ἀριθμ. Ε'. 2. — ὡς μᾶλλον) ἡ Σύνταξ. ὡς αὐτῷ μᾶλλον προσήκει μέγα φρονεῖν διὰ τὴν πενίαν, ἢ Καλλίᾳ διὰ πλ.

§. 1. τοὺς βαρβ.) τουτέστι, τοὺς Πέρσας. — ὥστε . . . σύννους ὁρᾶσθ.) περὶ τῆς Ονομαστικ. μετὰ Απαρεμφ. Ιδ. Γραμ. Βουτ. §. ΡΚΘ', δ'. σελ. 444. π. 413. ν. — ὡς . . οὐκ ἔφη.) Γραμ. Βουτ. §. ΡΚϛ' γ'. Παράβ. ἀριθμ. Θ'. 1. ΙΑ'. 4.



πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ τοῦ Μιλτιάδου τρόπαιον. 2. Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δ' ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ελλάδος ἤλειφεν ἀεί, καὶ τὴν πόλιν ἤσκει, πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον.

(κεφ. 4.) 3. Καὶ πρῶτον μὲν τὴν Λαυριωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρίων μετάλλων ἔθος ἐχόντων Αθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. 4. Ηκμαζε γὰρ οὗτος ἐν τῇ Ελλάδι μάλιστα, καὶ κατεῖχον οἱ Αἰγινῆται πλήθει νεῶν τὴν θάλασσαν. Ηι καὶ ῥᾷον Θεμιστοκλῆς συνέπεισεν, οὐ Δαρεῖον, οὐδὲ Πέρσας (μακρὰν γὰρ ἦσαν οὗτοι, καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. Εκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις,

§. 2. ἤλειφεν) ὥς τις ἀθλητής, ὁ ὁποῖος ἐν τῇ παλαίστρᾳ γυμναζόμενος ἀλείφεται.

§. 3. Λαυριωτικ.) Λαύριον, ὄρος τῆς Αττικῆς, ἔχον πλούσια μέταλλα ἀργύρου. — παρελθὼν) λέξις κυρία περὶ τοῦ Ρήτορος, ὅστις προέρχεται εἰς τὸ μέσον καὶ ὁμιλεῖ. — ὡς χρὴ.) Ιδ. ἀριθμ. Δ'. 1. — Αἰγιν.) Αἴγινα, νῆσος ἐν τῷ Σαρωνικῷ κόλπῳ.

§. 4. ὡς ἀφιξομ.) ἀριθμ. ΚΒ'. 38. » Καὶ εἰ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον ». — ἐπισείων) ὡς φόβητρον προδεικνύων. Κυρίως δὲ » οὐ τὸν τῶν Περσῶν φόβον ἐπισείων. » Λιβάν. Μελέτ. σελ. 707. Α. » αὐτοῖς μέγαν ἐπέσεισας φόβον. » Θουκυδ. ϛ'. σελ. 234. » προσείοντες φόβον ».

αἵ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. 5. Ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλασσαν, ὡς τὰ πεζὰ μὲν οὐδὲ τοῖς ὁμόροις ἀξιομάχους ὄντας, τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τοὺς βαρβάρους ἀμύνασθαι καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι Πλάτων, ναυβάτας καὶ θαλαττίους ἐποίησε. 6. Καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς, τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος, εἰς ὑπηρέσιον καὶ κώπην συνέστειλε τὸν τῶν Ἀθηναίων δῆμον. Ἔπραξε δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος. 7. Εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τοῦ πολιτεύματος ἔβλαψεν, ἢ μή, ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν. Ὅτι δ' ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θαλάσσης ὑπῆρξε, καὶ τὴν Ἀθηναίων πόλιν λυθεῖσαν ἔστησαν αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα, καὶ Ξέρξης αὐτὸς ἐμαρτύρησε.

---

§. 5. τὴν πόλιν) ὡς νὰ ἐγράφετο » πολίτας; » ἀκολουθεῖ μετὰ ταῦτα » ἀξιομάχους ὄντας ». — ὡς) μετὰ Μετοχ. κατὰ Αἰτιατ. Ἰδ. Γραμ. Βουτ. §. ΡΑΒ΄. Σημ. δ΄. Παράβ. ἀριθμ. Ι΄. 15. ΚΙ΄. 59. — τὰ πεζά) τῇ πεζικῇ δυνάμει. — τῇ ἀπὸ τῶν νεῶν ἀλ.) Παράβ. ἀριθμ. Β΄. 2. Η Ἀπὸ φανερόνει εἰς ταύτας τὰς περιστάσεις αἰτίαν ἢ ἀφορμὴν ἀπό τινος. Πλούταρχ. ἐν βίῳ Τιβ. Γράκχ. κεφ. 1. » λαμπρότερος πρὸς τὴν ἀπὸ τοῦ δήμου δόξαν » καὶ ἐν βίῳ Κιμ. 14 » αἱ ἀπ' ἀνθρώπων μηνύσεις ἀληθεῖς ἦσαν » αὐτόθ. 19. ὀῤῥώδει τὸν ἀπ' αὐτῶν κίνδυνον ».

§. 6. παρέσχεν) τουτέστι, διαβολῆς παρέσχε πρόφασιν. — τὸ δόρυ καὶ τὴν ἀσπ.) τὰ εὐγενῶν καὶ ἐλευθέρων ἀνδρῶν ἄξια ὄργανα. — ὑπηρέσιον.) Ἰδ. ἀριθμ. ΚΖ΄. 6. — συνέστειλε) ἐταπείνωσε. ἀριθμ. Ε΄. 18.

§. 7. τὴν ἀκρίβ.) τὴν ἐντέλειαν καὶ καθαρότητα τοῦ δημοκρατικοῦ πολιτεύματος, τὸ ὁποῖον δὲν ὑποφέρει τὴν ταπείνωσιν κἀνενὸς πολίτου. — πόλιν λυθεῖσαν) ἐπειδὴ ὅτε ἐπλησίασαν οἱ Πέρσαι, οἱ ἐγκάτοικοι ἀφῆκαν τὰς Ἀθήνας.



8. Τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος. Καὶ Μαρδόνιον ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως μᾶλλον ἢ δουλωσόμενον αὐτούς, ὡς ἐμοὶ δοκεῖ, κατέλιπεν.

---

## Δ΄.

## Θεμιστοκλῆς.

### Συμβάντα τινὰ τοῦ δευτέρου Περσικοῦ πολέμου.

(Πλούταρχ. Θεμιστοκλ. 7.)

1. Θεμιστοκλῆς, παραλαβὼν τὴν ἀρχήν, εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾷν τῷ βαρβάρῳ κατὰ θάλατταν. 2. Προσεχόντων δὲ τῶν Ἀθηναίων αὐτῷ, πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ φυλάξων. 3. Ἔνθα δὴ τῶν μὲν

---

§. 8. ἔφυγεν) ὁ Ξέρξης. — Καὶ Μαρδ.) ἡ Σύνταξ. Κ. Μ. κατέλιπεν ἐμποδὼν εἶναι. Τὸ Ἀπαρεμφ. ἐμφαίνει τὸν σκοπόν. Γραμ. Βουτ. §. ΡΚΖ΄. α΄. — δουλωσόμ.) Γραμ. Βουτ. §. ΡΛΑ΄. γ΄. σελ. 452. π. 420. ν. ἀριθμ. Λ΄. 2.

Δ΄.

§. 1. καὶ τὴν πόλ.) ἡ Σύνταξ. καὶ ἔπεισεν αὐτοὺς ἐκλιπ. τὴν πόλιν — ὡς) μετὰ Υπερθετ. Γραμ. Βουτ. §. ΡΛΔ΄. σελ. 482. π. 448. ν. Ως.

§. 2. προσεχ.) τὸν νοῦν δηλ. ἀριθμ. ΚΘ΄. 3. — Ἀρτεμίσιον) ἀκρωτήριον τῆς νήσου Εὐβοίας κατὰ τὸν μεταξὺ τοῦ Μαλιακοῦ καὶ Μαλιακοῦ κόλπου πορθμόν. — φυλάξων) §. 26. ἀριθμ. Ι΄. §. 8.

§. 3. τῶν μὲν Ἑλλήν.) ἄλλων δηλ. ἀριθμ. ΚΘ΄. 8. « πρὸς Διὸς καὶ θεῶν. » Εὐριπ. Μηδ. 1256. » ἢ Πανὸς ὀργὰς ἢ τινος θεῶν μολεῖν » — ἡγεῖσθαι) Ἰδ. ἀριθμ. Β΄. §. 15. — Εὐρυβ. καὶ Λακεδ.) πολλάκις τίθεται τὸ ὅλον πλησίον καὶ μετὰ τὸ μέρος. ἀριθμ. Ε΄. 7. « ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων ». ἀριθμ. ΙΗ΄. 83. « ᾤχετο ἐπὶ Καύνου καὶ Καρίας ». — ὑπισχν.) ἡ Σύνταξ. ὑπισχνούμ. παρέξειν τοὺς Ἕλληνας ἑκόντας πειθ. αὐτοῖς. » — ἄνδρες ἀγαθοί) περὶ τῶν ἀνδρείως πολεμούντων. ἀριθμ. ΚΓ΄. 6. 22.

Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν Εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. 4. Διόπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι, καὶ μάλιϛα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρίᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους. — — —

(κεφ. 8.) 5. Αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ ϛενὰ μάχαι κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιϛα τοὺς Ἕλληνας ὤνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν, οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων, οὔτε κραυγαὶ κομπώδεις, ἢ βάρβαροι παιᾶνες ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπιϛαμένοις εἰς χεῖρας ἰέναι, καὶ μάχεσθαι τολμῶσιν· ἀλλὰ δεῖ τῶν

---

§. 5. αἱ . . . . μάχαι) πλησίον τοῦ Ἀρτεμισίου. — κόσμοι καὶ λαμπρ.) ὁ Πλούταρχ. αἰνίττεται εἰς τὰ παρὰ τοῦ Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 399.

κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ·
οὐδ' ἑλκοποιὰ γίνεται τὰ σήματα. κ. τ. λ.

Περὶ τῆς ἐνεργείας τοῦ μὲ Ἀσιατικὴν πολυτέλειαν ϛολισμένου ϛρατεύματος τοῦ Μιθριδάτου εἰς τοὺς Ῥωμαίους λέγει Πλούταρχ. ἐν Βίῳ. Σύλ. κεφ. 16. » ἦν δὲ ἅμα καὶ τὸ κομπῶδες καὶ σοβαρὸν αὐτῶν τῆς πολυτελείας οὐκ ἀργὸν, οὐδ' ἄχρηϛον εἰς ἔκπληξιν, ἀλλ' αἵ τε μαρμαρυγαὶ τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς, αἵ τε βαφαὶ τῶν Μηδικῶν καὶ Σκυθικῶν χιτώνων ἀναμεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι, πυροειδῆ καὶ φοβερὰν . . . . προσέβαλλον ὄψιν. »



τοιούτων καταφρονοῦντας ἐπ' αὐτὰ τὰ σώματα φέρεσθαι, καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. 6. Ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν, ὅτι παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν κρηπῖδα ἐλευθερίας. Ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαῤῥεῖν. — —

(κεφ. 9) 7. Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν Φωκίδα, καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολοῦντος, οὐ προσήμυνον οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλατταν ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. 8 Μηδενὸς δ' ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων, καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε τοὺς Ἀθηναίους, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μεμονωμένους. 9. Μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι ϛρατοῦ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς

---

§. 6. οὐ κακ.) ἡ Σύνταξ. οὐ κακῶς ἔοικεν εἰπεῖν. — φαεννὰν) Δωρικῶς ἀντὶ φαεινήν. — κρηπῖδα) μὲ τὴν αὐτὴν εἰκόνα λέγει ὁ Πίνδαρ. Πυθ. Δ'. 245. « βάλλετο κρηπῖδα σοφῶν ἐπέων. » καὶ Ζ'. 3 » κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι. » Πλούταρχ. Τόμ. Β'. σελ. 484. Β. » καλὴν κρηπῖδα καὶ μόνιμον ὁμονοίας καὶ εἰρήνης καταβαλλόμενος. »

§. 8. περιεχομένων) ἔχον τὸν νοῦν εἰς τὴν Πελοπ. τρεπόντων· — ἐντὸς Ἰσθμοῦ) ἐν τῇ Πελοποννήσῳ. — εἰς θάλ. ἐκ θαλ.) ἐκ τοῦ Σαρωνικοῦ ἕως τοῦ Κορινθιακοῦ κόλπου.

§. 9. ϛρατοῦ) τῶν πολεμίων. — ἐμφῦναι.) προσκολληθῆναι. — ὡς .... ἐπιϛάμενοι) μήτε νίκην τόσον ἀκριβὴν ἐπεθύμουν, μήτε ἐγνώριζον τὸ τοιοῦτον ὡς σωτηρίαν των. — προϊεμένων) αὐτῶν. Γραμμ. Βουτ. §. ΡΛΒ'. δ'.

ναυσίν, οἱ πολλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης δεόμενοι, μήτε σωτηρίαν ἐπιςάμενοι, θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων.

(κεφ. 10) 10 Ἔνθα δὴ Θεμιςοκλῆς, ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεσθαι τὸ πλῆθος, σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς, καὶ κρατήσας τῇ γνώμῃ ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηναίων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαςον ὡς δυνατόν. 11 Κυρωθέντος δὲ τοῦ ψηφίσματος, οἱ πλεῖςοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. 12 Καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάςῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. — — —

13. Ἐκπλεούσης δὲ τῆς πόλεως, τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε, γονέας μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γυναικῶν καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. 14 Καί τοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανό-

§. 10. αὐτοῖς) ἀναφέρεται πρὸς τὸ περιληπτικὸν « πλῆθος. » Παράβ. ἀριθμ. Γ'. 5. — τοὺς ἐν ἡλικίᾳ) τοὺς ὅπλα φέρειν ἱκανούς.
§. 11. Τροιζῆνα) πόλιν τῆς Ἀργολίδος.
§. 12. καὶ τῆς ὀπ) ἡ Σύνταξ. καὶ ἐξεῖναι (ἐψηφίσαντο) τοὺς παῖδ. πανταχ. λαμβ. τῆς ὀπώρας. Περὶ τῆς Γενικ. Ἰδ. Γραμ. Βουρ. §. ΡΙΘ'. γ'. β, 4. σελ. 416. π. 383. ν. Παράβ. ἀριθμ. Ε'. 14.
§. 13. προπεμπ.) αὐτῶν, ἤ, τῶν πολιτῶν. — τὴν νῆσον) Σαλαμῖνα.
§. 14. ἔλεον εἶχον) τουτέςιν ἐκίνουν. Οὕτω καὶ « φόβον ἔχειν », φόβον ἐμπνέειν ». Πλούταρχ. ἐν βίῳ Τιβ. Γράκχ. 7. » ἡ μὲν δὴ πρᾶξις αἰτίαν εἶχε καὶ κατηγορίαν. » ἀριθμ. ΚΒ'. 21. « αἰτίαν εἶχε



μενοι τῶν πολιτῶν ἔλεον εἶχον. 15. Ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. 16. Ἐν οἷς ἱςορεῖται κύων Ξανθίππου, τοῦ Περικλέους πατρός, οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν, ἐναλέσθαι τῇ θαλάττῃ, καὶ, τῇ τριήρει παρανηχόμενος, ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα, καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς. 17. Οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν, καὶ καλούμενον Κυνὸς σῆμα, τάφον εἶναι λέγουσι.

(κεφ. 11) 18. Ταῦτα δὴ μεγάλα τοῦ Θεμιςοκλέους. Εὐρυβιάδου τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμόν, ὅπου καὶ τὸ πεζὸν ἤθροιςο τῶν Πελοποννησίων, ὁ Θεμιςοκλῆς ἀντέλεγεν. 19. Ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. 20. Τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος· Ὦ Θεμιςόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανιςαμένους ῥαπίζουσι· Ναὶ, εἶπεν ὁ Θεμιςοκλῆς, ἀλλὰ τοὺς ἀπολει-

καὶ κατηγορίαν. » καὶ ἐν βίῳ Κιμ. 8. « διαβολὴν ἔσχε. » ἀριθμ. ΚΒ'. 21. « αἰτίαν εἶχον. »
§. 15. γλυκυθ. ἀπὸ τῶν ζώων ἦν ἐπικλῶσα (τὸν θυμόν). Ἰδ. ἀριθμ. Ι'. 14. Πλούταρχ. Τόμ. Β'. σελ. 259. D. « ἐπεκλάσθη. » Ηλιόδωρ. Τόμ. Β'. σελ. 296. « εἰς ἔλεον ἐπικλασθείς. »
§. 16. τὴν ἀπ' αὐτ.) ἡ Ἀπὸ φανερόνει χωρισμόν. ἀριθμ. ΗΓ'. 39. « ἵνα μὴ ἀπ' οἴκου ὦσι. » ΚΓ'. 52. « πόῤῥω ἀπὸ τῆς αὐτῶν. »
§. 17. οὗ, καὶ τούτου τάφον εἶναι λέγουσι τὸ ἄχρι νῦν δεικν. καὶ καλούμ. Κυνὸς σῆμα.
§. 18. ταῦτα) ἅ ἐςι τὰ ἀκόλουθα. ὁ Δὴ μεταβατικός. — μαλακοῦ) ἀθύμου. — περὶ τὸν κ.) τοῦ κινδύνου ἐπιόντος. — αἴρειν) τὰς ἀγκύρας δηλ. Πλούτ. Τόμ. Β'. σελ. 204. » καὶ τὴν ἄγκυραν ἆραι κελεύσας. »
§. 19. ὅτε) καὶ τότε. ἀριθμ. Γ'. 13. ΙΒ'. 14. Ἰδ. ἐκτενέςερον περὶ τοῦ συμβάντος τούτου ἀριθμ. Λς'. 16. 17. §. 20. προεξανιςα-

φθέντας οὐ στεφανοῦσιν. 21. Ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη· πάταξον μέν, ἄκουσον δέ. 22. Θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου, καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον. 23. Εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον, ἡμεῖς τοι, εἶπεν, ὦ μοχθηρέ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουλεύειν· πόλις δ' ἡμῖν ἐστι μεγίστη τῶν Ἑλληνίδων, αἱ διακόσιαι τριήρεις, αἳ νῦν ὑμῖν παρεστᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βουλομένοις. 24. Εἰ δ' ἄπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων Ἀθηναίους καὶ πόλιν ἐλευθέραν καὶ χώραν οὐ χείρονα κεκτημένους, ἧς ἀπέβαλον. 25. Ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος, ἔννοια καὶ δέος ἔσχε τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολιπόντες οἴχωνται.

---

μένους) τουτέστι πρὸ τοῦ δέοντος. — ῥαπίζουσι) οἱ Ἀγωνοθέται εἶχαν τὸ δικαίωμα νὰ παιδεύωσι σωματικῶς τοὺς παραβάτας τῶν νόμων.

§. 22. ἀνῆγεν) ἀντὶ ἐπανῆγεν. — ἐπὶ τὸν λόγον) ἐπὶ τὴν τοῦ λόγου ὑπόθεσιν τουτέστι πάλιν ἤρξατο περὶ τῶν αὐτῶν πραγμάτων λέγειν. Ὁ Παρατατ. ἀνῆγεν φανερόνει ὅτι καὶ αὐτὸς ὁ λόγος πάλιν διεκόπη.

§. 23. τοὺς ἔχοντας) πόλιν δηλ. τὸ ὁποῖον κατὰ τὴν ἔννοιαν περιέχεται εἰς τὸ «ἄπολις.» — ἐπιστρ. τὸν λόγον) τουτέστι μᾶλλον ἐπεστραμμένα λέγων, κατὰ τὴν ἔκφρασιν τοῦ Ἡροδότου. ἀριθμ. Λϛ'. §. 24.

§. 24. δεύτερον.) Ἰδ. §. 8. — τὶς Ἑλλήν.) ἐμφαντικώτερον παρὰ τὸ οἱ Ἕλληνες πεύσονται. Ὁ Θεμιστοκλῆς ἐπαπειλεῖ, ὅτι ὁ στόλος τῶν Ἀθηναίων θέλει ἀναχωρήσει διὰ νὰ ζητήσῃ ἀλλαχοῦ νέαν πατρίδα. Σαφέστερα ὁμιλοῦντα ἱστορεῖ αὐτὸν ὁ Ἡρόδοτος Η'. 62. — ἧς ἀπέβ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΛ'. δ'.

§. 25. δέος... τῶν Ἀθηναίων) ἀντὶ δέος, μὴ οἱ Ἀθηναῖοι...



(κεφ. 12) 26. Λέγεται δ' ὑπό τινων, τὸν μὲν Θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ τῶν νεῶν, καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· διὸ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ, καὶ παρεσκευάζοντο ναυμαχήσοντες. 27. Ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος, τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος, τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλούς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἄθρους ὤφθη, τῶν δυνάμεων ὁμοῦ γενομένων, ἐξεῤῥύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων, καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμόν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. 28. Ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν, καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. 29. Ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν περὶ τὸν Σίκινον πραγματείαν. 30. Ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκινος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. 31. Ὃν ἐκπέμπει πρὸς τὸν Πέρσην

---

§. 26. ἀπὸ τοῦ κ.) §. 34. ἀριθμ. ΚΒ'. §. 27. » οἱ ἀπὸ τῶν καταστρωμάτων ἀκοντίοις ἐχρῶντο.» — τὸν μέν) μέν... δέ, ἐμφαίνει ἐνίοτε τὴν συντυχίαν δύο πράξεων· ὅτε ὁ Μὲν ἠμπορεῖ νὰ ἐξηγηθῇ διὰ τοῦ ἐν ᾧ. — γλαῦκα) μέγα σημαίνουσαν, ὡς πτηνὸν τῆς Ἀθηνᾶς.

§. 27. τὸ Φαληρ.) Ἰδ. ἀριθμ. Β'. 3. — τῶν δυνάμ.) τῆς πεζικῆς καὶ τῆς ναυτικῆς δηλ. — ἐξεῤῥ. τῶν Ἑλλ.) ἐχάθησαν ἀπὸ τὰς ψυχὰς τῶν Ἑλλήνων. — ἐπάπταινον) τὸν νοῦν ἐτρέψαντο.

§. 28. ἐδόκει) τοῖς Πελοποννησίοις.

§. 29. εἰ) ἀντὶ ὅτι. ἀριθμ. Θ'. 3. ΙΑ'. 17. ΙΕ'. 24. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΕ'. σελ. 488. π. 453. ν. Ε. — τὴν ἀπὸ) ἀριθμ. Β'. §. 10. — κατὰ π.) ἡ Κατὰ φανερόνει διαίρεσιν. Βιγέρ. σελ. 632.

§. 31. αἱρούμ. τὰ βασ.) λαμβάνων, ἐναγκαλιζόμενος, τὸ μέρος τοῦ βασιλέως. — παρεῖναι) ἐᾶν. — ἐν ᾧ) χρόνῳ.

κρύφα, κελεύσας λέγειν, ὅτι Θεμιςοκλῆς, ὁ τῶν Ἀθηναίων ςρατηγός, αἱρούμενος τὰ βασιλέως ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας, καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράσσονται τῶν πεζῶν χωρὶς ὄντες, ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. 32. Ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος ἥσθη, καὶ τέλος εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα, καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. Οὕτως οἱ Ἕλληνες ἐκινήθησαν ἀνάγκῃ πρὸς τὸν κίνδυνον.

(κεφ. 13). 33. Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆςτὸν ςόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεςόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος, ὑπὲρ τῶν καλουμένων κεράτων, χρυσοῦν δίφρον θέμενος, καὶ γραμματεῖς πολλοὺς παραςησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι κατὰ τὴν μάχην τὰ πραττόμενα.

---

§. 32. — τέλος) τέλος φαίνεται ὅτι σημαίνει ἐνταῦθα προςαγήν. — τὸν πόρον) τὸν μεταξὺ τῆς Σαλαμῖνος καὶ τῆς ξηρᾶς πορθμόν. — διαζῶσαι) ἀποτεμεῖν. Πλούταρχ. ἐν βίῳ Περικλ. 19. « τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασι... ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκῶν. » Παραβ. καὶ Ἡρόδ. Η'. 76.

§. 33. Φαν... Ἀκες.) ὁ μὲν Φανόδημος συνέγραψεν ἱςορίαν τῆς Ἀττικῆς, ὁ δὲ Ἀκεςόδωρος εἶναι ἄγνωςος. — τῶν κεράτων) κέρατα, δύο βουνὰ ἀντικρὺ τῆς Σαλαμῖνος, ἐπὶ τῶν συνόρων τῆς Μεγαρίδος καὶ τῆς Ἀττικῆς. — παραςησ.) παρ' αὐτῷ ςῆναι τάξας. Ἰδ. Γραμ. Βουτ. §. ΡΚΒ'. ε. σελ. 424. π. 391. γ.



(κεφ. 14). 34. Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

Ξέρξῃ δὲ (καὶ γὰρ οἶδα) χιλιὰς μὲν ἦν
νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'· ὧδ' ἔχει λόγος.

τῶν δ' Ἀττικῶν, ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν, ἑκάςη τοὺς ἀπὸ τοῦ καταςρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν· ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. 35. Δοκεῖ δὲ οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιςοκλῆς ἢ τὸν τόπον συνιδὼν καὶ φυλάξας, μὴ πρότερον ἀντιπρῴρους καταςῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι, τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν ςενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς, ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικάς, ταῖς τε πρύμναις ἀνεςώσας καὶ τοῖς καταςρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προςπίπτον, καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησιν ὀξέως προςφερομένοις, καὶ τῷ Θεμιςοκλεῖ προςέχουσιν, ὡς ὁρῶντι μάλιςα τὸ συμφέρον. —

---

§. 34. Ξέρξῃ) λόγοι ἑνὸς Πέρσου, ὅςτις ἐγλύτωσεν ἀπὸ τὴν μάχην. Αἰσχύλ. Πέρσ. 339. — αἱ δ' ὑπέρ.) τουτέςιν ὧν αἱ ταχυτῆτι ἔξοχοι. — λόγος) λογαριασμός. — τὸ πλῆθος) Γραμ. Βουτ. §. ΡΙΗ'. ε. Παραβ. §. 40.

§. 35. τὸν καιρὸν) τῆς μάχης. — φυλάξας) τηρήσας. — ὥραν... κατάγουσαν.) εἰς συνειθισμένην τινὰ ὥραν ἔσπρωχνε πάντοτε ὁ ἄνεμος τὰ κύματα ἀπὸ τὸ μέρος τῆς θαλάσσης διὰ τοῦ πορθμοῦ πρὸς τὴν ξηράν. — ὑψορόφους) ὑψηλάς. — πλαγίας) ὁ ἄνεμος καὶ τὰ κύματα τὰς ἔςρεφον πρὸς τὸ μέρος, ὅπουθεν οἱ Ἕλληνες ἐκτυποῦσαν εἰς τὰ πλευρά των.

(κεφ. 15) 36. Τοῦ δὲ ἀγῶνος ἤδη πολὺ προβεβηκότος, φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον, ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. 37. Ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. 38. Ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾷν ἔδοξαν ἐνόπλων ἀνδρῶν, ἀπ' Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας εἶναι, παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. 39. Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος, τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. 40. Οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος, ἐν στενῷ κατὰ μέρος προσφερομένους, καὶ περιπίπτοντας ἀλλήλοις, ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ' Ἕλλησιν, οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρίᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

§. 36. τὸ Θριάσ.) διὰ τοῦ πεδίου τούτου, τοῦ πλησίον τῆς Ἐλευσῖνος, ἐπήγαινεν ἡ πομπὴ τῶν μεμυημένων, ὅτε ἐπὶ τῆς ἑορτῆς τῶν μυστηρίων ἔφερον τὸ ἄγαλμα τοῦ Ἰάκχου ἀπὸ τὰς Ἀθήνας εἰς τὴν Ἐλευσῖνα.

§. 38. Αἰακίδας) τὸν Πηλέα καὶ Τελαμῶνα, οἱ ὁποῖοι ἐλατρεύοντο εἰς τὴν Αἴγιναν. Ἰδ. ἀριθμ. Λϛ'. 28. Ἡρόδοτ. Θ'. 64.

§. 40. ἐξισούμ.) εἰς τὸν στενὸν τόπον, ὅπου δὲν ἐδύναντο νὰ παραταχθῶσι πολλὰ καράβια, ὁ Ἑλληνικὸς στόλος ἔγινεν ἴσος μὲ τὸν Περσικόν. — ἐνάλιον ἔργ.) ναυμαχία.



(κεφ. 17) 41. Πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δὲ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. Ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοὶ, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν Θεμιστοκλέα. 42. Λακεδαιμόνιοι δὲ, εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες, Εὐρυβιάδῃ μὲν ἀνδρίας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν, θαλλοῦ στέφανον· καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο, καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. 43. Λέγεται δ', Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων, καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι, καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας. Ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

§. 41. πόλεων μέν.) ἔπρεπε νὰ ἀκολουθήσῃ ἀνδρῶν δέ· ἀντ' αὐτοῦ ὅμως ἕπεται Θεμιστοκλεῖ δέ. — ἀπὸ τοῦ βωμοῦ) τοῦ Ποσειδῶνος, ἐπάνω τοῦ ὁποίου ἐτέθησαν διπλαῖ ψῆφοι, διὰ ν' ἀποφασίσωσι περὶ τοῦ πρώτου καὶ δευτέρου ἀριστείου. Ἰδ. Ἡρόδ. Η'. 123.

§. 43. ἀπέχειν) λαβεῖν. Γραμ. Βουτ. §. ΡΚΘ'. 6'.

## Ε΄.

## Κίμων.

### (Πλούταρχ. Κίμ. κεφ. 5).

1. Κίμων ὁ Μιλτιάδου, οὔτε τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμισοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι, καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. 2. Ὅτε γὰρ τὸν δῆμον, ἐπιόντων Μήδων, Θεμισοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. 3. Ἀναθεὶς δὲ τὸν

§. 1. ἀμήχανον ὅσον) Γραμ. Βουτ, §. ΡΛς΄. σελ. 498. π. 4ίαν. Ὅσον. Τίθεται δὲ τὸ Ὅσον εἰς τὰ τοιαῦτα ἐπίθετα ἐπιτατικῶς καὶ ὄχι περιττῶς.

§. 2. ἔπειθε) νὰ πείσῃ ἐζήτει. Ιδ. Β΄. §. 10. — τὰ ὅπλα θέσθαι) νὰ παραταχθῶσιν εἰς μάχην, νὰ πολεμήσωσιν. Περὶ τῶν διαφόρων σημασιῶν τῆς φράσεως ταύτης Ιδ. Λεξικὸν Ξενοφ. Τόμ. Α΄. σελ. 287. — τῶν πολλῶν.) Ιδ. Ερμάν. εἰς Βιγίρ. σελ. 723. 96. — Κεραμ.) δρόμος, καὶ δῆμος τοῦ πρὸς τὴν δύσιν κειμένου μέρους τῶν Ἀθηνῶν ὁ Κεραμεικός. — χαλινόν) τινὲς ἀφιέρωναν εἰς τοὺς θεοὺς τὰ πράγματα, τὰ ὁποῖα δὲν ἐμεταχειρίζοντο πλέον. — διὰ χειρῶν) ἐν χερσί. ἀριθμ. ΙΔ΄. 9. » ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας. » — ὡς) μετὰ Γενικ. ἀπολ. Ιδ. ἀριθμ. Β΄. 2. Η΄. 1. Ιδ. Γραμ. Βουτ. § ΡΛΒ΄. Σημ. δ΄.

§. 3. ἀσπίδων) εἰς τὰ προαύλια τῶν ναῶν ἐκρέμαντο ἀσπίδες ἀπὸ τὰ λάφυρα τῶν ἐχθρῶν. — ἀρχή.) ἀριθμ. Α΄. 1. » τῶν νέων ὁρῶν πολλοὺς δεομένους ἀρχῆς ἐπὶ τὸν πόλεμον. » — τὴν ἰδέαν... τὴν κεφαλήν) Γραμ. Βουτ. §, ΡΗΙ΄. ε.



χαλινόν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ θεῷ, κατέβαινεν ἐπὶ θάλατταν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαῤῥεῖν γενόμενος. Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτός, ἀλλὰ μέγας, πολλῇ καὶ οὔλῃ τριχὶ κομῶν τὴν κεφαλήν. 4. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. 5. Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ, μεσὸς ὢν τοῦ Θεμι[illegible]ς, ἀνῆγε πρὸς τὰς μεγίσας ἐν τῇ πόλει τιμὰς κ[illegible]ας, εὐάρμοσον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. 6. Οὐχ ἥκισα δ' αὐτὸν ηὔξησεν Ἀρισείδης ὁ Λυσιμάχου, τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤ[illegible] καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμισοκλέους δεινότητα καὶ τόλμαν.

(κεφ. 6). 7. Ἐπεὶ δὲ Μήδων φυγόντων ἐκ τῆς Ἑλλάδος ἐπέμφθη σρατηγὸς κατὰ θάλατταν, οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις

§. 4. τοῦ Μαραθ.) τουτέσι τῶν ἐν Μαραθῶνι πραχθέντων.

§. 5. ὁρμήσ. αὐτ.) ἀριθμ. ΙΓ΄. » ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινά· » τοιοῦτον εἶναι καὶ τὸ ς΄. 22. « ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν. » καὶ ἐν βίῳ Κικ. κεφ. 5: « Κικέρων, ἐλπίδων μεσὸς ἐπὶ τὴν πολιτείαν φερόμενος. » — μεσὸς τοῦ Θεμισ.) ἐν βίῳ Γ. Γράκχ. Β΄.» τοῦ δήμου μεσοῦ γεγονότος τῶν τοιούτων πολιτευμάτων. « καὶ ἐν βίῳ Σύλ. 14.» αὐτὸς μεσὸς ὢν ἤδη τῆς τιμωρίας. »

§. 6. οὐχ ἥκισα) μάλισα. ἀριθμ. ΙΕ΄. §. 8. ΙΗ΄. 27. 31. 50. — ἐνορῶν τῷ ἤθει) ἀντὶ ὁρῶν ἐν τῷ ἤθει. — οἷον ἀντίπ.) ἡ φράσις ἀπὸ τῆς πάλης, καθ' ἣν οἱ παλαίοντες εἶναι ἴσοι κατὰ τὴν ἐπιτηδειότητα καὶ δύναμιν. — δεινότ.) ἀριθμ. Δ΄. 40.

§ 7. τὴν ἀρχὴν) τὴν ἡγεμονίαν. ἀριθμ. Β΄. 15. — Παυσ. καὶ Λακεδ.) Ιδ. ἀριθμ. Α΄. 3, — παρεῖχε θαυμ.) Δ΄. 3. » αὐτοὺς παρέ-

ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς, καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πρᾴως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. 8. Προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Αριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες.

* * *

(κεφ. 9) 9. Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως Ἠιόνα πόλιν, ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ, κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. 10. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. 11. Ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην, τὸν βασιλέως στρατηγόν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων

ξειν εἰς τὰ λοιπὰ πειθομένους. » — πολλὰ... ὑβρ.) ἀριθμ. ΙΑ΄. 3. « πολλὰ κλαῦσαι. » Ις΄. 31. « πολλὰ κατεδακρύσαμεν » — ἔλαθεν... παρελόμενος) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΑ΄. δ΄. ε. σελ. 452. π. 420. ν.

§. 11. ὅθεν) ἀφ' ὧν, ἤ, ἀφ' ὧν τόπων. — τοὺς πολιορκ.) τοὺς ἐν Ἠϊόνι κατακεκλεισμένους Πέρσας. —



καὶ τῶν χρημάτων ἑαυτόν. 12. Οὕτω δὲ λαβὼν τὴν πόλιν ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις.

(κεφ. 10) 13. Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατιᾶς, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. 14. Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας. 15. Καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μέν, ἀρκοῦν δὲ πολλοῖς ἐποιεῖτο καθ' ἡμέραν, ἐφ' ᾧ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. 16. Αὐτῷ δὲ νεανίσκοι παρείποντο δύο, ἢ τρεῖς, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια. Καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. 17. Οἱ δ' αὐτοὶ καὶ

§. 12. οἰκῆσαι) τὸ Απαρέμ. φανερόνει τὸ τέλος· Ἰδ. ἀριθμ. Λ΄. 8.

§. 13. ἃ καλ.) ἃ ἔδοξεν ὠφελῆσθαι. — τῶν πλείστων) χρημάτων δηλ.

§. 14. ἵνα... ὑπάρχῃ) ὀρθότερον ὑπάρχοι. Ἰδ. Β΄. §. 7. — λαμβ. τῆς ὀπωρ.) Ἰδ. ἀριθμ. Δ΄. 12.

§. 15 ἐφ' ᾧ) ἵνα (Ἰδ. Γραμ. Βουτ. §. ΡΛΕ΄. σελ. 489. π. 455. ν. Ἐφ' ᾧ) ἄλλοι ἀναγινώσκουσιν ἐφ' ὃ. δηλ. δεῖπνον. — μόνοις τ. δ. σχ.) ὁ Κίμων ἤθελε νὰ κάμῃ τοὺς πτωχοὺς πολίτας νὰ ἐνασχολῶνται διόλου εἰς τὰ δημόσια πράγματα, φροντίζων αὐτὸς διὰ τὴν τροφὴν αὐτῶν.

§. 16. εἴ τις συντύχοι) ἡ Εὐκτικὴ φανερόνει ὅτι πρᾶξίς τις γίνεται πολλάκις. ἀριθμ. ΙΑ΄. 7. « εἰ δὲ Φωκέων ἡγοῖτο. Ι΄. 1. « Αθηναίων εἰς ἐπιτύχοι. » ΙΑ΄. 1. « ὅτε τύχοι περιβεβλημένος. »

§. 17. τοῖς κομψοῖς τῶν π.) οἱ πτωχοὶ τῆς καλλιτέρας τάξεως, οἱ ὁποῖοι ἐντρέπoντο νὰ δεχθῶσι τι φανερῶς. — τῶν κερματ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΙΘ΄. γ΄. β΄. 4. σελ. 416. π. 383. ν.

νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας.

(κεφ. 12) 18. Τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον ἢ Κίμων. 19. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν, ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. 20. Ἦρχε μὲν τῶν βασιλικῶν νεῶν Τιθραύστης, τοῦ δὲ πεζοῦ, ὡς μὲν Ἔφορος λέγει, Φερενδάτης. Καλλισθένης δὲ Ἀριομάνδην τὸν Γωβρύου φησί, κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. 21. Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. 22. Οἱ δὲ πρῶτον μέν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν, ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. 23. Ἔργον δὲ

§. 19. ἀπηλλαγμένον) ἐκ[illegible]βλαμμένον τῆς Ἑλλάδος. — ἀπ' Ἰων. ἄχρι Παμφ.) τὸ πλεῖστον μέρος τῶν παραθαλασσίων τῆς ἐλάσσονος Ἀσίας, ἀπὸ τῆς Ἰωνίας, μιᾶς τῶν βορειοδυτικῶν ἐπαρχιῶν, ἕως τῆς Παμφυλίας, ἐπαρχίας μεσημβρινῆς.

§. 20. Ἔφορος) συγγραφεὺς ἱστορικὸς ἐπὶ τῶν χρόνων Φιλίππου καὶ Ἀλεξάνδρου. — Εὐρυμέδοντ.) ποταμὸς τῆς Παμφυλίας ὁ Εὐρυμέδων.

§. 22. βιασθεῖεν) ἀντὶ βιασθείησαν. Περὶ τῆς Συντάξεως τῶν Ἐγκλίσ. Ἰδ. ἀριθμ. Β'. 7. — Φανόδ.) Ἰδ. Λ'. 33.

§. 23. τῆς δυνάμ. ἄξ.) ἐν βίῳ Φωκίων. κεφ. 14. » καὶ πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν. » — ἐξέπιπτον)



κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον. Οἱ δὲ καταλαμβανόμενοι διεφθείροντο μετὰ τῶν νεῶν.

(κεφ. 13) 24. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλατταν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δέ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. 25. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, κρατερὰ μάχη συνέστη. Καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον· πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. 26. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινός, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν

ἐγλύτονναν. ἀριθμ. Ζ'. 10. ΚΒ'. 35. ἐν βίῳ Κλεομ. κεφ. 20. » ἐπιχειρήσας παραδύεσθαι διὰ τοῦ Λεχαίου νυκτὸς ἐξέπεσε, καί τινας ἀπέβαλε τῶν στρατιωτῶν. » αὐτ. 24. » φανεροῦ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν εὐθὺς ἐξέπιπτον. »

§. 24. μέγα μὲν) τουτέστιν οὐ μὲν ἔλαθεν αὐτόν, ὅτι μέγα τι ἦν ἔργον τὸ βιάζ. . . ὅμως δὲ ὁρῶν τοὺς στρατιώτας ἐπηρμένους (ἀριθμ. Β'. 4.) ῥώμῃ, ἧς ἤδη δεῖγμα ἔδωκαν, καὶ φρ. τοῦ κρατεῖν (τῆς νίκης) ἀπεβίβαζε, κ. τ. λ.

§. 25. δεξαμένων) τοὺς Ἕλληνας.

§. 26. Τρόπαιον) τὴν νίκην. — ἐπηγωνίσατο) ἄλλον ἔτι ἀγῶνα μετὰ τὰς νίκας ἠγωνίσατο. Ἐν βίῳ Φαβίου κεφ. 23. » τοῦτον δεύτερον θρίαμβον ἐθριάμβευσε λαμπρότερον τοῦ προτέρου Φάβιος, ὥσ-

Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον, ἐπηγωνίσατο ταῖς νίκαις, καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν, οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἤδη καὶ μετεώρως ἐχόντων. 27. Ἢ καὶ μᾶλλον ἐκπλαγέντες ἀπώλεσαν τὰς ναῦς ἁπάσας· καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν.

28. Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάττης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν.

---

περ ἀθλητὴς ἀγαθὸς ἐπαγωνιζόμενος τῷ Ἀνιζβα. » — Ὕδρ.) Ἀσίας Κύπρῳ. ὁ Ὕδρος δὲν εἶναι γνωστός. — διὰ τάχους) καί, διὰ ταχέων. ἀριθμ. ΚΓ'. 23. ἀντὶ ταχέως. — τῶν στρατηγῶν) τῶν ναῶν.

§. 28. ἔργον) μάχη. ἀριθμ. Δ'. 40. — εἰρήν.) εἰς τὴν εἰρήνην ταύτην δὲν συνήργησαν ἀμέσως αἱ νῖκαι τοῦ Κίμωνος, ἀλλὰ μετέπειτα πρόθεν. Ιδ. ἀριθμ. ΚΔ'. 9. — Κυαν.) Κυάνεαι, νῆσοι (πέτραι) κατὰ τὴν εἴσοδον τοῦ Εὐξείνου πόντου. Χελιδόνιαι, νῆσοι (πέτραι) ἀντικρὺ τῶν μεσημβρινῶν παραθαλασσίων τῆς Λυκίας.

## ϛ'.

## Χαρακτηριστικά τινα τοῦ Ἀλκιβιάδου ἐκ τοῦ βίου αὐτοῦ.

(Πλούταρχ. Ἀλκιβ. κεφ. 2.)

1 Τὸ τοῦ Ἀλκιβιάδου ἦθος πολλὰς ἀνομοιότητας πρὸς αὑτὸ καὶ μεταβολὰς ἐπεδείξατο. 2. Φύσει δὲ πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ, τὸ φιλόνεικον ἰσχυ-



ρότατον ἦν, καὶ τὸ φιλόπρωτον, ὡς δῆλόν ἐστι τοῖς παιδικοῖς ἀπομνημονεύμασιν. 3. Ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος, ὑπὲρ τοῦ μὴ πεσεῖν ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦντος, οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. 4. Ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου, καὶ εἰπόντος, δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ αἱ γυναῖκες· Οὐκ ἔγωγε, εἶπεν, ἀλλ' ὡς οἱ λέοντες.

5. Ἔτι δὲ μικρὸς ὢν ἔπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ. Τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτόν, ἅμαξα φορτίων ἐπῄει. Πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης. 6. Μὴ πειθομένου δὲ δι' ἀγροικίαν, ἀλλ' ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον, ὁ δ' Ἀλκιβιάδης, καταβαλὼν ἐπὶ τὸ στόμα πρὸ τοῦ ζεύγους, καὶ παρατείνας ἑαυτόν, ἐκέλευεν οὕτως, εἰ βούλεται, διεξελθεῖν· ὥστε τὸν μὲν ἄνθρωπον ἀνακροῦσαι τὸ ζεῦγος ὀπίσω, δείσαντα, τοὺς δ' ἰδόντας ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν.

7. Ἐπεὶ δ' εἰς τὸ μανθάνειν ἧκε, τοῖς μὲν ἄλλοις ὑπήκουε διδασκάλοις ἐπιεικῶς, τὸ δ' αὐλεῖν ἔφευγεν ὡς ἀγεννὲς καὶ ἀνελεύθερον. 8. Πλήκτρου μὲν γὰρ καὶ λύ-

---

§. 3. ὑπὲρ τοῦ μὴ π.) ἀριθμ. ΙΓ'. 4. Κϛ'. 3. Ἰσοκρ. Ἀρχίδ. 3. « πρότερον μὲν γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νῦν δὲ ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον. » — ἅμματα) τοὺς περὶ τὸν αὐτοῦ τράχηλον συμπεπλεγμένους βραχίονας τοῦ ἀντιπάλου. — οἷος ἦν) Ιδ. Ἐγχειρ. σελ. 121.

§. 5. τῇ παρόδ. τῆς ἁμ.) πάροδος, ὁ δρόμος, ὅθεν ἔπρεπε νὰ περάσῃ τὸ ἁμάξι.

§. 6. πειθομένου) τοῦ ἀνθρώπου δηλ. — καταβαλὼν) ἑαυτὸν δηλ. — οὕτως) αὐτοῦ οὕτω κειμένου.

§. 8. διαφθείρειν) ἐννοεῖται τὸ ἔλεγε. — σχήματ. μορ.) σχῆμα, ὡς πρὸς τὸ ὅλον σῶμα, μορφὴ δέ, ὡς πρὸς τὸ πρόσωπον. — αὐλ. δὲ φυσ.) ἡ Σύνταξ. ἀνθρώπου αὐλοὺς φυσῶντος τῷ στόματι τὸ πρόσωπον καὶ τοὺς συνήθεις πάνυ μόλις διαγνῶναι ἄν.

ρας χρῆσιν οὐδὲν οὔτε σχήματος, οὔτε μορφῆς ἐλευθέρῳ πρεπούσης διαφθείρειν, αὐλοῦς δὲ φυσῶντος ἀνθρώπου ςόματι καὶ τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόςωπον. 9. Ετι δὲ τὴν μὲν λύραν τῷ χρωμένῳ συμφθέγγεσθαι καὶ συνᾴδειν, τὸν δ' αὐλὸν ἐπιςομίζειν καὶ ἀποφράττειν τὸ ςόμα, ἑκάςου τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον. 10. Αὐλείτωσαν οὖν, ἔφη, Θηβαίων παῖδες· οὐ γὰρ ἴσασι διαλέγεσθαι· ἡμῖν δὲ τοῖς Αθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις Αθηνᾶ καὶ πατρῷος Απόλλων ἐςίν· ὧν ἡ μὲν ἔρριψε τὸν αὐλὸν, ὁ δὲ καὶ τὸν αὐλητὴν ἐξέδειρε. 11. Τοιαῦτα παίζων ἅμα καὶ σπουδάζων ὁ Αλκιβιάδης αὑτόν τε τοῦ μαθήματος ἀπέςησε καὶ τοὺς ἄλλους. 12. Ταχὺ γὰρ διῆλθεν ὁ λόγος εἰς τοὺς παῖδας, ὡς εὖ ποιῶν ὁ Αλκιβιάδης βδελύττοιτο τὴν αὐλητικὴν, καὶ χλευάζοι τοὺς μανθάνοντας. Οθεν ἐξέπεσε κομιδῆ τῶν ἐλευθέρων διατριβῶν, καὶ προεπηλακίσθη παντάπασιν ὁ αὐλός.

(κεφ. 7.) 13. Περικλεῖ ποτε βουλόμενος ἐντυχεῖν ἐπὶ θύρας ἦλθεν αὐτοῦ. Πυθόμενος δὲ μὴ σχολάζειν, ἀλ-

§. 9. τὴν λύρ.) ἡ λύρα ἐσυντρόφευε τὴν ᾠδὴν τοῦ ᾄδοντος. — τὸν λόγον) τὸ λέγειν.

§. 10. οὐ γὰρ) οἱ Αθηναῖοι κατηγόρουν τοὺς Θηβαίους ὡς ἀνεπιτηδείους εἰς τὰ τοῦ πνεύματος ἔργα. Ἰδ. ἀριθμ. ΚΗ΄. 1. — τὸν αὐλητὴν) τὸν Μαρσύαν, ὅς τις εὕρηκε τοὺς παρὰ τῆς Α[illegible] ῥιφθέντας αὐλοὺς, καὶ ὑπερηφανευόμενος εἰς αὐτοὺς ἐπροκαλε[illegible] τὸν Απόλλωνα εἰς ἔριν.

§. 12. βδελύττοιτο) Ἰδ. ἀριθμ. Γ΄. 1. — ἐξέπεσε) χ[illegible] περὶ τῶν ὑποκριτῶν, οἱ ὁποῖοι ἀποτυγχάνοντες διώκονται ἀπὸ τὸ θέατρον. — τῶν ἐλευθ.) τῶν τοῖς ἐλευθέροις νέοις πρεπουσῶν [illegible].

§. 13. καθ' ἑαυτὸν) Ἰδ. Βιγέρ. σελ. 633. — ὅπ[illegible] πρὸς Μέλ. Ορις. Ἰδ. Β΄. 14. — εἶτα) ὁ Εἶτα δίδει ἰσχὺν περισσοτέραν εἰς τὴν ἔκφρασιν τῆς ἐρωτήσεως, καὶ φανερόνει ἐνίοτε θαυμασμὸν καὶ ἀγανάκτησιν.



λὰ σκοπεῖν καθ' ἑαυτὸν, ὅπως ἀποδώσει λόγον Αθηναίοις, ἀπιὼν ὁ Αλκιβιάδης, εἶτα, ἔφη, βέλτιον οὐκ ἦν σκοπεῖν αὐτὸν, ὅπως οὐκ ἀποδώσει λόγον Αθηναίοις;

14. Ετι δὲ μειράκιον ὢν ἐςρατεύσατο τὴν εἰς Ποτίδαιαν ςρατείαν, καὶ Σωκράτη σύσκηνον εἶχε, καὶ παραςάτην ἐν τοῖς ἀγῶσιν. 15. Ισχυρᾶς δὲ γενομένης μάχης, ἠρίςευσαν μὲν ἀμφότεροι· τοῦ δ' Αλκιβιάδου τραύματι περιπεσόντος, ὁ Σωκράτης προέςη καὶ ἤμυνε, καὶ μάλιςα δὴ προδήλως ἔσωσεν αὐτὸν μετὰ τῶν ὅπλων. 16. Εγίνετο μὲν οὖν τῷ δικαιοτάτῳ λόγῳ Σωκράτους τὸ ἀριςεῖον· ἐπεὶ δὲ οἱ ςρατηγοὶ διὰ τὸ ἀξίωμα τῷ Αλκιβιάδῃ σπουδάζοντες ἐφαίνοντο περιθεῖναι τὴν δόξαν, ὁ Σωκράτης βουλόμενος αὔξεσθαι τὸ φιλότιμον ἐν τοῖς καλοῖς, αὐτῷ πρῶτος ἐμαρτύρει, καὶ παρεκάλει ςεφανοῦν ἐκεῖνον καὶ διδόναι τὴν πανοπλίαν.

(κεφ. 10.) 17. Πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημάτων ἐπιδόσεως, οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα, θορυβούντων Αθηναίων, ἔρεσθαι τὴν αἰτίαν τοῦ θορύβου· πυθόμενον δὲ χρημά-

§. 14. ἐςρατ. ςρατ.) Ἰδ. ἀριθμ. Α΄. 1. — Ποτίδαια) ἀποικία τῶν Κορινθίων εἰς τὴν χερσόνησον Παλλήνην ἥτις ἀπεσπάσθη ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ἀπὸ τὰς Αθήνας, εἰς τὰς ὁποίας ἦτον ὑποτελής.

§. 15. τραύμ. περιπ.) τουτέςι, τρωθέντος. — μετὰ τῶν ὅπλ.) ἐπειδὴ, ἂν ἤθελε χάσει τὰ ὅπλα του, ἐνομίζετο ἄτιμον.

§. 16. τῷ δικαιοτάτῳ λόγῳ) καθ' ὅλα τὰ δίκαια. — περιθεῖναι) ἡ φράσις ἀπὸ τοῦ ςεφανώματος. — τὴν πανοπ.) ἡ ὁποία ἦτον τὸ ἀριςεῖον.

§. 17. ἐπιδόσ.) ἐπίδοσις, ἑκουσία συνεισφορὰ εἰς τὰς χρείας τῆς πολιτείας. — παριόντα) ὅτε ἔτυχε παριών. — ὃν ἐτύγχανεν ἔχων) ἀριθμ. Β΄. 8. — ὀρτυγ.) οἱ παλαιοὶ ἔτρεφον καὶ ὀρτύκια, καθὼς καὶ πετεινοὺς, εἰς τὸ νὰ μάχωνται.

τον ἐπίδοσιν γενέσθαι, παρελθεῖν καὶ ἐπιδοῦναι· τοῦ δὲ δήμου κροτοῦντος καὶ βοῶντος, ὑφ' ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ. 18. Πτοηθέντος οὖν καὶ διαφυγόντος, ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Αθηναίους· πολλοὺς δὲ συνθηρᾶν ἀναστάντας, λαβεῖν δ' αὐτὸν Ἀντίοχον τὸν κυβερνήτην, καὶ ἀποδοῦναι· διὸ καὶ προσφιλέστατον τῷ Αλκιβιάδῃ γενέσθαι.

(κεφ. 11.) 19. Αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπιᾶσιν ἰδιώτης, οὐδὲ βασιλεὺς, μόνος δ' ἐκεῖνος. 20. Καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης φησὶν, ὁ δ' Εὐριπίδης, τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. 21. Λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα. Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ· Καλὸν ἁ νίκα· κάλλιστον δ' (ὃ μηδεὶς ἄλλος Ἑλλάνων) Ἅρματι πρῶτα δραμεῖν, Καὶ δεύτερα, καὶ τρίτα. —

(κεφ. 13.) 22. Ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν, ἔτι μειράκιον ὢν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγοὺς, ἀγῶνα δ' εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου, καὶ Νικίαν τὸν Νικηράτου· τὸν μὲν ἤδη καθ' ἡλικίαν προήκοντα, καὶ στρατηγὸν ἄριστον εἶναι δο-

§. 19. αἱ ἱπποτρ.) κυρίως, ἡ σπουδὴ, καθ' ἣν ἵππους ἀγωνιστὰς ἔτρεφε.

§. 20. ὡς Θουκυδ.) Ξυγγρ. ϛ'. 16.

§. 21. ἐν ᾄσματι.) εἰς ἕνα ὕμνον δι' αὐτὴν τὴν νίκην συνθεμένον. — καλὸν) Γραμ. Βουτ. §. ΡΙϛ'. δ'. — ἁ νίκα . . . Ἑλλάνων) Δωρικοὶ σχηματισμοί. — ὃ μηδεὶς) ἔλαβε, ἀπηνέγκατο δηλ.

§. 22. ἀφῆκεν) Ιδ. Κ'. §. 5. — καθ' ἡλικ. προ.) συνηθέστερον προήκειν, ἤ, πρεσβευκέναι τὴν ἡλικίαν. — αὐξάν.) δόξῃ δηλ. — τοῖς τ' ἄλλοις) ὡς πρὸς τὴν περιουσίαν καὶ ἄλλα λαμπρὰ προτερήματα. — περὶ τὸν λόγον) τῇ τοῦ λέγειν δεινότητι.



κοῦντα· Φαίακα δ' ἀρχόμενον, ὥσπερ αὐτὸς, αὐξάνεσθαι τότε, καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τ' ἄλλοις καὶ περὶ τὸν λόγον. 23. Ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον, ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός. Ἦν γὰρ, ὡς Εὔπολίς φησι,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

24. Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, οὗ μέμνηται μὲν ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης, τοῖς δὲ Κωμικοῖς ὁμοῦ τι πᾶσι διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις παρεῖχεν. 25. Ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν καὶ ἀπαθὴς ὢν, ὀλιγωρίᾳ δόξης, οὐδενὶ μὲν ἤρεσκεν, ἐχρῆτο δ' αὐτῷ πολλάκις ὁ δῆμος, ἐπιθυμῶν προπηλακίζειν τοὺς ἐν ἀξιώματι καὶ συκοφαντεῖν. 26. Ἀναπεισθεὶς οὖν ὑπ' αὐτοῦ τότε τὸ ὄστρακον ἐπιφέρειν ἔμελλεν, ᾧ κολούοντες ἀεὶ τὸν προὔχοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι, παραμυθούμενοι τὸν φθόνον μᾶλλον ἢ τὸν φόβον. 27. Ἐπεὶ δὲ δῆλον ἦν, ὅτι ἑνὶ τῶν τριῶν τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς στάσεις εἰς ταὐτὸν ὁ Ἀλκιβιάδης, καὶ διαλεχθεὶς πρὸς τὸν Νικίαν, κατ' αὐτοῦ τοῦ Ὑπερβόλου τὴν ὀστρακοφορίαν ἔτρεψεν.

§. 23. ἀγῶνας) δημοσίους πραγματείας ἢ ὁμιλίας, ὅπερ ἀντίκειται εἰς τὰς ἰδίας, καὶ σχολείων γινομένας ἀσκήσεις. Κατὰ τοῦτο ὀνομάζεται καὶ ὁ Κάτων (ἐν Βίῳ Κάτ. τ.) » ἀγωνιστὴς πρόθυμος. » — Εὔπολις) ποιητὴς τῆς ἀρχαίας κωμῳδίας.

§. 24. Περιθ.) Περιθοῖδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς εἰς τὴν Ἀττικήν. — Θουκυδ.) Ξυγγρ. Η'. 73. Οἱ πλεῖστοι τῶν Κωμικῶν ποιητῶν εὔφραινον τὸν λαὸν σκώπτοντες τὸν Ὑπέρβολον. Ιδ. Ἀριστοφ. Νεφ. 547. καὶ ἑξ.

§. 25. ἐπιθυμῶν) ὅτε ἐπιθυμεῖν.

§. 26. τὸ ὄστρ.) Ιδ. ἀριθμ. Β'. 12. 13.

§. 27. ἑνὶ τῶν τρ.) Νικίᾳ, Φαίακι ἢ Ἀλκιβιάδῃ. — τὰς στάσεις) τὰς διαφόρους φατρίας (ταράφια).

## Ζ΄.

## Αλκιβιάδου θάνατος.

(Πλούταρχ. Αλκιβ. κεφ. 38.)

1 Αθηναῖοι χαλεπῶς μὲν ἔφερον τῆς ἡγεμονίας ἀποστερηθέντες. 2. Ἐπεὶ δὲ καὶ τὴν ἐλευθερίαν ἀφελόμενος αὐτῶν ὁ Λύσανδρος ἀνδράσι τριάκοντα παρέδωκε τὴν πόλιν, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι λογισμοῖς, ἀπολωλότων ἤδη τῶν πραγμάτων, συνῄεσαν, ὀλοφυρόμενοι καὶ διεξιόντες τὰς ἁμαρτίας αὐτῶν καὶ ἀγνοίας· ὧν μεγίστην ἐποιοῦντο τὴν δευτέραν πρὸς Αλκιβιάδην ὀργήν. 3. Απερρίφη γὰρ οὐδὲν ἀδικῶν αὐτὸς, ἀλλ' ὑπηρέτῃ χαλεπήναντες ὀλίγας ἀποβαλόντι ναῦς αἰσχρῶς αἴσχιον αὐτοὶ τὸν κράτιστον καὶ πολεμικώτατον ἀφείλοντο τῆς πόλεως στρατηγόν. 4. Ἔτι δ' οὖν ὅμως ἐκ τῶν παρόντων ἀνέφερέ τις ἐλπὶς ἀμυδρὰ, μὴ παντάπασιν ἔῤῥειν τὰ πράγματα τῶν Αθηναίων, Αλκιβιάδου περιόντος. 5. Οὔτε γὰρ πρότερον ἠγάπησε φεύγων ἀπραγμόνως ζῆν καὶ μεθ' ἡσυχίας, οὔτε νῦν, εἰ τὰ καθ' ἑαυτὸν ἱκανῶς ἔχοι, περιόψεται Λακεδαιμονίους ὑβρίζοντας, καὶ τοὺς τριάκοντα παροινοῦντας. 6. Ταῦτα δ' οὐκ ἦν ἄλογον ὀνειροπολεῖν οὕτω τοὺς πολλοὺς, ὁπότε καὶ τοῖς τριάκοντα φροντίζειν ἐπῄει καὶ διαπυνθάνεσθαι, καὶ λόγον ἔχειν πλεῖστον ὧν ἐκεῖνος ἔπραττε καὶ διενοεῖτο. 7. Τέλος δὲ Κριτίας ἐδίδασκε Λύσανδρον, ὡς οὐκ ἔστιν, Αθηναίων δημοκρατουμένων, ἀσφαλῶς ἄρχειν Λακεδαιμονίοις τῆς Ελλάδος· Αθηναίους δὲ, κἂν πράως πάνυ καὶ καλῶς πρὸς ὀλιγαρχίαν ἔχωσιν, οὐκ ἐάσει ζῶν Αλκιβιάδης ἀτρεμεῖν ἐπὶ τῶν καθεστώτων. 8. Οὐ μὴν ἐπείσθη γε πρότερον τούτοις ὁ Λύσανδρος, ἢ παρὰ τῶν οἴκοι τελῶν σκυτάλην ἐλθεῖν, κελεύουσαν ἐκποδὼν ποιήσασθαι τὸν Αλκιβιάδην· εἴτε κἀκείνων φοβηθέντων τὴν ὀξύτητα καὶ μεγαλοπραγμοσύνην τοῦ ἀνδρὸς, εἴτε τῷ Αγιδι χαριζομένων.

§. 1. χαλ. ἔφερ.) πρὸς Μετοχ. ἀριθμ. ΚΑ΄. 14. » καὶ οὐκ ᾐσχύνθησαν τοιαύτας ποιούμενοι ἐκκλησίας. » Πλάτ. Φαίδ. σελ. 171. » τοὺς μὲν φρονίμους ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει. » — τῆς ἡγεμ.) Ιδ. Β΄. §. 14. οἱ Αθηναῖοι ἔχασαν τὴν ἡγεμονίαν μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς μάχην.

§. 2. οἷς οὐκ ἐχρ.) ἡ Σύνταξ. ἀπολωλότων ἤδη τῶν πραγμάτων, συνῄεσαν λογισμοῖς, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι ἔτι — τὴν δευτ. ὀργὴν) ὁ Αλκιβιάδης, μετὰ τὴν εἰς τὰς Αθήνας ἀπὸ τῆς πρώτης ἐξορίας κάθοδον, ἐκηρύχθη στρατηγὸς τοῦ στόλου τῶν Αθηναίων· ὁ λαὸς ὅμως πάλιν τὸν ἐστέρησε τῆς ἀξίας αὐτῆς, ἐπειδὴ δὲν ἐπλήρωσε τὰς προσδοκίας του· ὅθεν ἀνεχώρησεν ὁ Αλκιβιάδης εἰς τὸ Βυζάντιον εἰς τὴν Θράκην.

§. 3. ὑπηρέτῃ) τῷ Αντιόχῳ. Ιδ. Πλούταρχ. ἐν βίῳ Αλκιβ. 35.

§. 4. ἐκ τῶν παρ.) τουτέστι, τῶν πραγμάτων οὕτω κακῶς ἐχόντων. — ἀνέφερε) ἀνέτελλεν, ὡς φῶς ἀμυδρῶς φέγγον.

§. 5. φεύγων) ἐν τῇ πρότερον φυγῇ. — ἠγάπησε) ἀγαπῶ ἐνίοτε μετὰ Απαρεμφ. ἀντὶ τοῦ ἀρκοῦμαι· συνηθέστερον ὅμως μετὰ τοῦ εἰ, ἤν, ὅτι· — ἱκανῶς ἔχ.) ὀρθῶς· Ξενοφ. Ελληνικ. Α΄. 7. 10. » τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπραξαν; » — περιόψεται) Ιδ. ἀριθμ. Ι. §. 19. — τοὺς τριάκ.) Ιδ. ἀριθμ. Ι΄. 16. ΙΕ΄.

§. 6. ταῦτα δ' οὐκ.) ἡ Σύνταξ. τοὺς πολλοὺς ταῦτα ὀνειρ. οὐκ ἦν ἄλογον. — φροντίζ. ἐπῄει) ἐπήρχετο. Εν βίῳ Μαρίου. 34. » τοῖς δὲ βελτίστοις οἰκτείρειν ἐπῄει τὴν πλεονεξίαν. » — ὧν ἐκ.) Ιδ. Γραμ. Βουτ. §. ΡΑ΄. γ΄.

§. 7. τέλος) τελευταῖον. — Κριτίας) Ιδ. περὶ τούτου ἀριθμ. ΙΕ΄. — ὡς οὐκ.) ἡ Σύνταξ. ὡς οὐκ ἔστι (ἔξεστι) Λακεδ. ἀσφαλ. ἄρχειν τῆς Ελλ., δημοκρ. Αθην. — ἔστιν . . . ἐάσει) Θετικ. εἰς λόγον πλάγιον. Ιδ. ἀριθμ. Α΄. 1. — τῶν καθεστώτων) καθεστῶτα, ἡ παροῦσα διάταξις καὶ τὸ πολίτευμα.

§. 8. οὐ πρότερον ἢ) Ιδ. Γραμ. Βουτ. §. ΡΛΕ΄. σελ. 490. π. 455. ν. ΙΙ. — τελῶν) τῶν ἀρχῶν, τῶν ἀρχόντων. — κἀκείνων) τῶν τελῶν. — Αγιδι.) τῷ ἐχθρῷ τοῦ Αλκιβιάδου, καὶ βασιλεῖ τῆς Σπάρτης.

(κεφ. 39.) 9. Ὡς οὖν ὁ Λύσανδρος ἔπεμψε πρὸς τὸν Φαρνάβαζον ταῦτα πράττειν κελεύων, ὁ δὲ Μαγαίῳ τε τῷ ἀδελφῷ καὶ Σουσαμίθρῃ τῷ θείῳ προςέταξε τὸ ἔργον, ἔτυχε μὲν ἐν κώμῃ τινὶ τῆς Φρυγίας ὁ Ἀλκιβιάδης τότε διαιτώμενος, ἔχων Τιμάνδραν μετ' αὐτοῦ τὴν ἑταίραν. — 10. Οἱ δὲ πεμφθέντες πρὸς αὐτὸν οὐκ ἐτόλμησαν εἰςελθεῖν, ἀλλὰ κύκλῳ τὴν οἰκίαν περιςάντες ἐνεπίμπρασαν. Αἰσθόμενος δ' ὁ Ἀλκιβιάδης τῶν μὲν ἱματίων τὰ πλεῖςα καὶ τῶν ςρωμάτων συναγαγὼν, ἐπέῤῥιψε τῷ πυρί· τῇ δ' ἀριςερᾷ χειρὶ τὴν ἑαυτοῦ χλαμύδα περιελίξας, τῇ δὲ δεξιᾷ σπασάμενος τὸ ἐγχειρίδιον, ἐξέπεσεν ἀπαθὴς ὑπὸ τοῦ πυρὸς, πρὶν ἢ διαφλέγεσθαι τὰ ἱμάτια, καὶ τοὺς βαρβάρους ὀφθεὶς διεσκέδασεν. 11. Οὐδεὶς γὰρ ὑπέμεινεν αὐτὸν, οὐδ' εἰς χεῖρας συνῆλθεν, ἀλλ' ἀποςάντες ἔβαλλον ἀκοντίοις καὶ τοξεύμασιν. Οὕτω δ' αὐτοῦ πεσόντος, καὶ τῶν βαρβάρων ἀπελθόντων, ἡ Τιμάνδρα τὸν νεκρὸν ἀνείλετο, καὶ τοῖς αὑτῆς περιβαλοῦσα καὶ περικαλύψασα χιτωνίσκοις, ἐκ τῶν παρόντων ἐκήδευσε λαμπρῶς καὶ φιλοτίμως.

---

§. 9. ἔτυχε .. διαιτ.) ἀριθμ. ς΄. 17.
§. 10. ἐξέπεσε.) Ἰδ. ἀριθμ. Β΄. 23. — τὰ ἱμάτ.) τὰ τῷ πυρὶ ἐπεῤῥιμένα. — πρὶν ἢ) Γραμ. Βουτ. §. ΡΛΔ΄. σελ. 481. π. 448. ν. Πρίν.
§. 11. ἀποςάντες) πόῤῥω ςάντες. — ἐκ τῶν παρόντων) ὅσον ἐσυγχώρουν αἱ περιςάσεις. Ἐν βίῳ Μαρίου. 38.» ὡς εἶδε τὸν Μάριον, ἐκ τῶν παρόντων ἐπεμελεῖτο καὶ παρεθάῤῥυνεν αὐτόν.» καὶ ἐν βίῳ Κλεομ. 38.» ἡ δὲ τοῦ Παντέως γυνὴ .. τῶν ἀποθνησκουσῶν ἑκάςην ἐθεράπευε καὶ περιέςελλεν ἐκ τῶν ἐνδεχομένων. καὶ Θουκυδ. Β΄. 3. «ἐπεὶ ὡς ἐκ τῶν δυνατῶν ἕτοιμα ἦν.



# Η΄.

# Περικλῆς.

## Ἀρχὴ τοῦ Πελοποννησιακοῦ πολέμου.

(Πλούταρχ. Περικλ. κεφ. 33.)

1 Ἐνέβαλον εἰς τὴν Ἀττικὴν ςρατῷ μεγάλῳ Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων, Ἀρχιδάμου τοῦ βασιλέως ἡγουμένου, καὶ δῃοῦντες τὴν χώραν προῆλθον εἰς Ἀχαρνὰς, καὶ κατεςρατοπέδευσαν, ὡς τῶν Ἀθηναίων οὐκ ἀνεξομένων, ἀλλ' ὑπ' ὀργῆς καὶ φρονήματος διαμαχουμένων πρὸς αὐτούς. 2. Τῷ δὲ Περικλεῖ δεινὸν ἐφαίνετο πρὸς ἑξακιςμυρίους Πελοποννησίων καὶ Βοιωτῶν ὁπλίτας (τοσοῦτοι γὰρ ἦσαν οἱ τὸ πρῶτον ἐμβαλόντες) ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι· τοὺς δὲ βουλομένους μάχεσθαι, καὶ δυςπαθοῦντας πρὸς τὰ γενόμενα, κατεπράϋνε λέγων, ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα φύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέντων αὖθις τυχεῖν οὐ ῥᾴδιόν ἐςι. 3. Τὸν δὲ δῆμον εἰς ἐκκλησίαν οὐ συνῆγε, δεδιὼς βιασθῆναι παρὰ γνώμην, ἀλλ' ὥσπερ νεὼς κυβερνήτης, ἀνέμου κατιόντος ἐν πελάγει, θέμενος εὖ πάντα καὶ κατατείνας τὰ ὅπλα, χρῆται τῇ τέχνῃ, δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ

---

§. 1. Ἀχάρν.) δῆμος τῆς Ἀττικῆς αἱ Ἀχαρναὶ, ὄχι μακρὰν τῶν Ἀθηνῶν. — ὡς) τουτέςι, νομίζοντες τοὺς Ἀθηναίους οὐκ ἀνεξομένους. Ἰδ. Β. 2. Ε΄. 2.
§. 2. λέγων .... ἐςι.) Θουκυδ. Ξυγγρ. Α΄. 143.» νῦν χρὴ ὅτι ἐγγύτατα κ. τ. λ.» Ξυγγρ. Β΄. 21. — τοὺς δὲ) Ἀθηναίους.
§. 3. τὰ ὅπλα) τῆς νεώς. — χρῆται τῇ τέχ.) τουτέςι, τὰ δέοντα κατὰ τέχνην ποιεῖ. — ἐάσας) ἀμελήσας.

φοβουμένων ἐάσας, οὕτως ἐκεῖνος, τό τ' ἄςυ συγκλείσας, καὶ καταλαβὼν πάντα φυλακαῖς πρὸς ἀσφάλειαν, ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς, βραχέα φροντίζων τῶν καταβοώντων καὶ δυσχεραινόντων. 4. Καίτοι πολλοὶ μὲν αὐτοῦ τῶν φίλων δεόμενοι προσέκειντο, πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλοῦντες καὶ κατηγοροῦντες· πολλοὶ δ' ᾖδον ᾄσματα καὶ σκώμματα πρὸς αἰσχύνην, ἐφυβρίζοντες αὐτοῦ τὴν ςρατηγίαν, ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα τοῖς πολεμίοις. 5. Επεφύετο δὲ καὶ Κλέων, ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν.

(κεφ. 34.) 6. Πλὴν ὑπ' οὐδενὸς ἐκινήθη τῶν τοιούτων ὁ Περικλῆς, ἀλλὰ πρᾴως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιςάμενος, καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν Πελοπόννησον ςόλον ἐκπέμπων αὐτὸς οὐ συνεξέπλευσεν, ἀλλ' ἔμεινεν οἰκουρῶν, καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν, ἕως ἀπηλλάγησαν οἱ Πελοποννήσιοι. 7. Θεραπεύων δὲ τοὺς πολλούς, ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ, διανομαῖς τε χρημάτων ἀνελάμβανε, καὶ κληρουχίας ἀνέγραφεν. Αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας διένειμε τὴν νῆσον Αθηναίων τοῖς λαχοῦσιν. 8 Ην δέ τις παρηγορία καὶ

---

§. 4. τὰ πράγματα) τὰ χρήματα.

§. 5. ἐπεφύετο) ἐπεχείρει, κατηγόρει. Εν βίῳ Πομπ. 5ε.» ἐπιφυομένου δὲ τῷ Πομπηΐῳ Μαρκελλίνου, καὶ σφοδρῶς λέγειν δοκοῦντος». — Κλέων.) Ιδ. περὶ τοῦ δημαγωγοῦ τούτου Θουκυδ. Γ'. 36.

§. 6. οἰκουρῶν) οἰκουρῶ λέγεται κυρίως διὰ τὰς γυναῖκας, αἱ ὁποῖαι κάθονται καὶ φυλάττουσι τὰς οἰκίας των. — διὰ χειρός.) ἐν βίῳ Κικ. ιδ. »ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίςευε, τὴν δὲ πόλιν εἶχε διὰ χειρός.» καὶ ἐν βίῳ Δημητρ. 5.» καὶ τὰς πόλεις διὰ χειρὸς εἶχεν.

§. 7. ἀνελάμβ.) τουτέςιν, ὠφέλει.

§. 8. ἀφ' ὧν) Ιδ. Ζ'. 6.



ἀφ' ὧν ἔπασχον οἱ πολέμιοι. Καὶ γὰρ οἱ περιπλέοντες τὴν Πελοπόννησον χώραν τε πολλήν, κώμας τε καὶ πόλεις μικρὰς διεπόρθησαν. Καὶ κατὰ γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν ἔφθειρε πᾶσαν. 9. Ηι καὶ δῆλον, ὅτι πολλὰ μὲν δρῶντες κακὰ τοὺς Αθηναίους, πολλὰ δὲ πάσχοντες ὑπ' ἐκείνων ἐκ θαλάττης, οὐκ ἂν εἰς μῆκος πολέμου τοσοῦτον προὔβησαν, ἀλλὰ ταχέως ἀπεῖπον, ὥσπερ ἐξ ἀρχῆς ὁ Περικλῆς προηγόρευεν, εἰ μή τι δαιμόνιον ὑπεναντιώθη τοῖς ἀνθρωπίνοις λογισμοῖς.

## Θ'.

## Περικλέους θάνατος.

(Πλούταρχ. Περικλ. κεφ. 38)

1. Τοῦ Περικλέους ἤδη πρὸς τῷ τελευτᾶν ὄντος, περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιςοι, καὶ τῶν φίλων οἱ περιόντες, λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως, ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετροῦντο, καὶ τῶν τροπαίων τὸ πλῆθος. Εννέα γὰρ ἦν ἃ ςρατηγῶν

---

§. 9. δρῶντες) οἱ Πελοποννήσιοι. — οὐκ ἂν) τουτέςι, τὸν πόλεμον οὐκ ἂν εἰς τοσοῦτον χρόνον ἐπολέμησαν. Ο πόλεμος διήρκησεν ὑπὲρ τοὺς 26 χρόνους.

§. 1. οἱ περιόντες) ἐκ τοῦ λοιμοῦ. Ιδ. ἀριθμ. ΚΑ'. — λόγον .... γένοιτο) ἀντὶ λόγον ἐποιοῦντο, ὅση ἡ αὐτοῦ ἀρετὴ καὶ δύναμις γένοιτο. Περὶ τῆς Σύντιξ. Ιδ. ἀριθμ. Γ. 1. Η συνθήκη τοῦ λόγου εἶναι ὁμοία μὲ τὴν ἐν ἀρθμ. ΙΔ'. 7.» εἰδώς.... ἀντέχουσι» — ἀνεμετρ.) διηγοῦντο, διεξήρχοντο. Εὐριπ. Ιων. 250.» μνήμην παλαιὰν ἀνεμετρησάμην ἐγώ.»

καὶ νικῶν ἔςησεν ὑπὲρ τῆς πόλεως. 2. Ταῦτα ὡς οὐκέτι συνιέντος, ἀλλὰ καθῃρημένου τὴν αἴσθησιν αὐτοῦ, διελέγοντο πρὸς ἀλλήλους. Ο δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχηκὼς, καὶ, φθεγξάμενος εἰς μέσον, ἔφη θαυμάζειν, ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐςὶ κοινὰ, καὶ γέγονεν ἤδη πολλοῖς ςρατηγοῖς· τὸ δὲ κάλλιςον καὶ μέγιςον οὐ λέγουσιν. Οὐδεὶς γὰρ, ἔφη, δι' ἐμὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον περιεβάλετο.

(39) 3. Θαυμαςὸς οὖν ὁ ἀνὴρ οὐ μόνον τῆς ἐπιεικείας καὶ πρᾳότητος, ἣν ἐν πράγμασι πολλοῖς καὶ μεγάλαις ἀπεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν αὐτοῦ καλῶν ἡγεῖτο βέλτιςον εἶναι τὸ μήτε φθόνῳ, μήτε θυμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως, μηδὲ χρήσασθαί τινι τῶν ἐχθρῶν ὡς ἀνηκέςῳ.

§. 2. ὡς) Ἰδ: ἀριθμ. Η'. 1. — καθῃρημ. τὴν αἴσθ.) τουτέςιν ἀναισθήτου ἤδη ὄντος.—ἐτύγχ. προσεσχ.) Ἰδ. ἀριθμ. Β'. 8. — ἔφη θαυμάζ.) Γραμ. Βουτ. §. ΡΚΘ'. 6'. Ἰδ. ἀριθμ. Λ'. 43. — πρὸς τύχ. κοινὰ) εἶναι τυχηρὰ—μέλαν ἱμ.) οὐδεὶς ἐμαυροφόρησεν ἐξ αἰτίας μου' διότι δὲν ἔγινα εἰς κανένα θανάτου αἴτιος.

§. 3. τῆς ἐπιεικ.) Γραμ. Βουτ. §. ΡΙΘ'. ς'. 1. σελ. 418. π. 384. ν.— εἰ) ἀντὶ, ὅτι. ἀριθμ. Α'. 29.—ἀπὸ τηλ. δυνάμ.) τουτέςι, καίπερ τηλικαύτην ἔχων δύναμιν. ἀριθμ. ΙΗ'. 16.» ἀπὸ ἀντιπάλου παρασκευῆς.» αὐτόθ. 35.» τῶν ξυμμάχων ἀπὸ κοινῶν ξυνόδων βουλευόντων.»



# Γ.

## Τέλος τοῦ Πελοποννησιακοῦ πολέμου.

### Ἀθηνῶν ἅλωσις.

(Πλούταρχ. Λυσάνδρ. κεφ. 13.)

1. Ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι γὰρ οὐδενός, ἀλλ' ἀποσφάξειν, ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. 2. Ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄςυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. 3. Καταλύων δὲ τοὺς δήμους, καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοςὴν ἑκάςῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δ' ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιρειῶν. 4. Καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι παρέπλει σχολαίως, τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. 5. Οὔτε γὰρ

§. 1. ἐκ τούτου.) μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς μάχην, ὅπου ὁ Λύσανδρος ἐχάλασε τὸν ςόλον τῶν Ἀθηναίων. — οἷς ἐπιτύχοι) Ἰδ. ἀριθμ. Κ'. 16. ΙΙ Σύνταξ. οἷς Ἀθηναίων ἐπιτύχοι, τούτους πάντας ἐκέλ. — φείσεσθαι) ἐννοεῖται, λέγων, ἀπειλῶν. — ὃν ἂν λάβῃ) Ἰδ. ἀριθμ. Λ. 6.

§. 2. ὅπως..παράσχοιεν) Ἰδ. ἀριθμ. Β'. 7. — εὐπόρως) πάντα τὰ ἐπιτήδεια ἔχοντες.

§. 3. τοὺς δήμους) τὰς δημοκρατίας. ἀριθμ. ΙΙΙ. 59. — συγκεκροτ.) ἐν βίῳ Φωκίων. κεφ. 12. «συνεκρότει τὸ μαχιμώτατον τῆς δυνάμεως.» — ἑταιρ.) πολιτικαὶ ἑταιρεῖαι τῶν ὀλιγαρχικῶν.

§. 4. ἑαυτῷ) οὐ Λακεδαιμονίοις.

§. 5. ἀριςίνδην) κατὰ ἀρετήν. — πλουτ.) κατὰ πλοῦτον, ἢ τοῦ πλούτου λόγον ἔχων.

ἀριστίνδην, οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλ' ἑταιρείαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα, καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς, καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθροὺς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. 6. Ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν, ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν. 7. Εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρὸν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος.

(κεφ. 14) 8. Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολὺν, καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας, ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἄγιδι καὶ Παυσανίᾳ, τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων τὴν πόλιν. 9. Ἐπεὶ δ' ἀντεῖχον, διεπέρασε, καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας, καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων. Σαμίους δὲ πάντας ἐκβαλὼν παρέδωκε τοῖς φυγάσι

§. 6. Ἀλλὰ) ὁ Ἀλλὰ ἀναφέρεται εἰς τὸ, οὐκ ἐπιεικές.—καπηλίσι) μὲ τὸ καπηλίς πρέπει νὰ ἐννοήσῃ τις ἀπάτην καὶ νόθευσιν. Η παραβολὴ αὕτη εὑρίσκετο ἴσως εἴς τινα κωμῳδίαν τοῦ Θεοπόμπου ἐπιγραφομένην Καπηλίς.

§. 7. εὐθὺς) ἀπ' ἀρχῆς. — τῶν ὀλ.) τῶν ὀλιγαρχικῶν.

§. 8. ὡς) ἐλπίζων ταχὺ συναιρήσειν· ἀριθμ. Η΄. 1. Θ΄. 2.

§. 9. τοῖς φυγ.) φυγάδες, οἱ ὀλιγαρχικοὶ, οἱ ὁποῖοι ἐδιώχθησαν πρότερον ἐκ τῆς Σάμου παρὰ τῶν δημοκρατικῶν. — τὰς πόλεις) τὴν τῶν πόλεων διοίκησιν.



τὰς πόλεις. — 10. Ἤδη δὲ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος κατέπλευσεν εἰς τὸν Πειραιᾶ· καὶ παρεστήσατο τὴν πόλιν, ἀναγκασθεῖσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς διαλύσεις.

(κεφ. 15) 11. Ο δ'οὖν Λύσανδρος, ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας, πλὴν δώδεκα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνὸς, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. 12. Δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον, ἔφη, τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη, τῶν ἡμερῶν, ἐν αἷς ἔδει καθῃρῆσθαι, παρῳχημένων· ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν, ὡς τὰς ὁμολογίας λελυκότων. 13. Ἔνιοι δὲ καὶ προτεθῆναι φασὶν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις· ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰσηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. 14. Εἶτα μέντοι συν-

§. 10. τοὺς ἐν ἄστει) ἀριθμ. Α΄. 1. — παρεστήσατο.) εἷλε. ΙΗ΄. 39. Θουκυδ. Α΄. 124.» τὴν καθεστηκυῖαν ἐν τῇ Ἑλλάδι πόλιν τύραννον.. παραστησώμεθα ἐπελθόντες.» — ἐφ' οἷς) ἀριθμ. ΙΔ΄. 14». ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην». Ιδ. τὰς συνθήκας ταύτας ΙΑ. §. 3. 14. Ξενοφ. Ἑλληνικ. Β΄. 2. 20.

§. 11. Μουνυχιῶν.) Μουνυχιὼν, ὁ πρῶτος μὴν τοῦ ἔαρος. ἀναλογεῖ δὲ μὲ τὸν Ἀπρίλιον. — ναυμαχίαν ἐνίκων) καθὼς, νίκην νικᾷν. Ιδ. ἀριθμ. Α. 1. Γραμ. Βουτ. § ΡΙΗ΄. Σημ. 6΄. π΄. σελ. 414. π. 381. ν. ἐν Σαλαμ.) ἡ Ἐν ἀντὶ τῆς Παρὰ φανερόνει πολλάκις τὸ πλησίον. Βιγέρ. σελ. 605.

§. 12. φερόντων) τῶν Ἀθηναίων.—ἔφη εἰληφέναι.) Ιδ. ἀριθμ Θ΄. 2.

§. 13. ὡς ἀληθῶς) Ιδ. Γραμ. Βουτ. §. ΡΛΔ΄. σελ. 482. π. 448. ν. Ως.—ὅτε) καὶ τότε. Ιδ. ἀριθμ. Δ΄. 19.

§. 14. τὴν πάροδον) τὰ πρῶτα λόγια, τὰ ὁποῖα εἰς ταύτην τὴν τραγῳδίαν ὁ Χορὸς, παρρησιαζόμενος ἐπὶ τῆς ὀρχήστρας, λέγει. Κύ—

ομοσίας γενομένης τῶν ἡγεμόνων, καὶ παρὰ πότον τινὸς Φωκέως ᾄσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν πάροδον, ἧς ἡ ἀρχή·

Ἀγαμέμνονος ὦ κόρα, ἤλυθον, Ἠ —
λέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν.

πάντας ἐπικλασθῆναι, καὶ φανῆναι σχέτλιον ἔργον, τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι πόλιν.

15. Ο δ'οὖν Λύσανδρος, ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄςεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ ςρατοπέδῳ συναγαγὼν, τὰ τείχη κατέσκαπτε, καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν, ἐςεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. 16. Εὐθὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄςει, δέκα δ'ἐν Πειραιεῖ καταςήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοςὴν, ἄνδρα Σπαρτιάτην, ἐπιςήσας. 17. Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον, τὸν ἀθλητὴν,

---

ριπ. Ἠλέκτρ. ςίχ. 167. ποτί) ποτί, πρός. σάν, σήν, αὐλάν, αὐλήν, Δωρικοὶ σχηματισμοί.——ἀγροτ. αὐλ.) κατὰ τὸν Εὐριπίδην ὑπάνδρευσε τὴν Ἠλέκτραν ἡ μήτηρ της μ'ἕνα πτωχὸν χωριάτην. Οἱ ἀκροαταὶ παρωμοίασαν τὴν τύχην τῆς εὐγενοῦς θυγατρὸς τοῦ βασιλέως μὲ τὴν τύχην τῶν ποτὲ μὲν εὐκλεῶν, νῦν δὲ τεταπεινωμένων Ἀθηνῶν.——ἐπικλασθ.) Ἰδ. ἀριθμ. Λ'. 15.——φανῆναι) αὐτοῖς.

§. 15. ὡς.... ἄρχουσαν.) Ἰδ. Γραμ. Βουτ. ΡΛΒ'. Σημ. δ'. ἀριθμ. ΚΓ'. ἢ 9. «ὡς ἀξίους ὄντας».

§. 17. παίσειν ἔμ.) Γραμ. Βουτ. ΡΛϚ'. σελ. 502. π. 466. ν. Μέλλω.——τῶν σκελῶν) Ἰδ. ἀριθμ. ΚΑ'. 6——συνηγανάκτησεν) Καλλιβίῳ δηλ.——ἐλευθέρων) οὕτως ὡμίλησεν ὁ Λύσανδρος, ὡς νὰ ἀπέκτησαν τότε πρῶτον δι'αὐτοῦ οἱ Ἀθηναῖοι ἐλευθερίαν.



τὴν βακτηρίαν διαράμενον παίσειν ἔμελλεν· ὁ δὲ, τῶν σκελῶν διαράμενος, ἀνέτρεψεν αὐτὸν, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ ἐπετίμησε, φήσας αὐτὸν οὐκ ἐπίςασθαι ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕςερον ἀνεῖλον.

## ΙΑ'.

## Φωκίων.

(Πλούταρχ. Φωκ. κεφ. 4)

1. Φωκίωνα οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν, οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, οὐδ' ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. 2· ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς ςρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυςκαρτέρητον, ὥςτε καὶ παίζοντας ἤδη τοὺς ςρατευομένους σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα.

(κεφ. 5.) 3. Τῷ δ' ἤθει προςηνέςατος ὢν καὶ φιλανθρωπότατος ἀπὸ τοῦ προσώπου δυςξύμβολος ἐφαίνετο

---

§. 1. Ἀθηναίων τις——ἐκτός.) ἄπρεπον καὶ ἐναντίον τῆς ἠθικῆς ἐνομίζετο νὰ κρατῇ τις τὰς χεῖρας ἔξω τοῦ ἐπανωφορέματος ——ὅτε τύχοι) Ἰδ. ἀριθμ. Ε'. 16. Ο Φωκίων σπανίως ἐφόρει τὸ ἐπανωφόρεμα·

§ 2. ἐπεί.) ἀριθμ. ΚΕ. 4. 18. ΚϚ'. 1——γυμνός) μόνον μὲ τὸν χιτῶνα.——

§. 3. ἐντυχεῖν ἄν) Γραμ. Βουτ. §. ΡΚϚ'. ιβ'. σελ. 439. π. 408. ν.——Χάρητ.) Χάρης, ςρατηγός τις μὲ κακὸν ὄνομα.——ὀφρῦς) ὀφρῦς πολλάκις ἐκφράζει σοβαρὰν ὑπερηφάνειαν.——πολλὰ κ.τ.λ.) Ἰδ. ἀριθμ. Ε'. 7.

καὶ σκυθρωπὸς, ὥςτε μὴ ῥᾳδίως ἄντινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. Διὸ καὶ Χάρητί ποτε πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι, τῶν Ἀθηναίων ἐπιγελώντων, οὐδὲν, εἶπεν, αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρύς· ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν.

4. Ο Φωκίωνος λόγος πλεῖςον ἐν ἐλαχίςῃ λέξει νοῦν εἶχε. Καὶ πρὸς τοῦτ' ἔοικεν ἀπιδὼν ὁ Σφήττιος Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριςος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων.—5. Ο δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνιςαμένου δὲ Φωκίωνος, εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους· Η τῶν ἐμῶν λόγων κοπὶς πάρεςιν. 6. Ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιςέον· ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίῤῥοπον ἔχει πίςιν.

(κεφ. 11.) 7. Οἱ τῶν Ἀθηναίων σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποςόλους, ἑτέρου μὲν ἐκπλέοντος ςρατηγοῦ, πολεμίους νομίζοντες, ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τας πόλεις βοσκήματα, καὶ ἀνδράποδα, καὶ γυναῖκας, καὶ παῖδας· εἰ δὲ Φωκίων ἡγοῖτο, πόῤῥω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐςεφανωμένοι, καὶ χαίροντες, ὡς αὐτοὺς κατῆγον.

§. 4. Σφήττ.) Σφηττὸς, δῆμος τῆς Ἀττικῆς.—Πολύευκτος Ῥήτωρ τοῦ καιροῦ ἐκείνου.—ῥήτωρ....εἰπ. δειν.) τὸ μὲν ῥήτωρ δηλοῖ μᾶλλον τὴν τέχνην· τὸ δὲ δεινότατος εἰπεῖν τὴν ἐκ τῶν λεγομένων προερχομένην ἐνέργειαν.

§. 5. ἀτρέμα) ἡσυχῆ.

§. 6. ἀντίῤῥοπον) ἴσην.—πίςιν) δύναμιν εἰς τὸ πείθειν.

§. 7. ἑτέρου) παραδ. χ. ὡς ὁ Χάρης.—Διὰ τὸ κλεπτικὸν φέρσιμον τῶν μισθοφόρων ςρατιωτῶν καὶ τῶν ςρατηγῶν αὐτῶν εἰς ἐκεῖνον τὸν καιρὸν τὸ πᾶν ἐπαραπονεῖτο.—εἰ δὲ....ἡγοῖτο) ὑπόθ. Ιδ. ἀριθμ. Ε'. 16.—ὡς αὐτοὺς) ἀντὶ, πρὸς.



(κεφ. 16.) 8. Ηδη δὲ (τῶν Ἀθηναίων) πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι, καὶ ςρατηγῶν, αὐτοῦ μὴ παρόντος, ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου, καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς, δέχεσθαι τὰς διαλύσεις. 9. Καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων συκοφαντεῖν, καὶ εἰπόντος· Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; Ἔγωγε, εἶπε, καὶ τοῦτ' εἰδὼς, ὅτι, πολέμου μὲν ὄντος, ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης, σὺ ἐμοῦ ἄρξεις. 10. Ὡς δ' οὐκ ἔπειθεν, ἀλλ' ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς πορῥωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους· ὦ τᾶν ἔφη, μὴ, ποῦ μαχώμεθα, σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. Οὕτω γὰρ ἔςαι μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεςι.

* * *

(κεφ. 17.) 11. Συνεβούλευεν Ἀλεξάνδρῳ ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον· εἰ δὲ

§. 8. ἐκπεπολ.) τουτέςιν, εἰς πόλεμον καταςάντων.—ἔπειθε) Ιδ. ἀριθμ. Β'. 20. Ε'. 2.—πρῶτον μὲν) τό, πρῶτον μὲν ἀναφέρεται εἰς τὸ §. 10. ὡς δ' οὐκ ἔπ.—τὰς διαλύσ.) τὰς παρὰ τοῦ Φιλίππου προβληθείσας περὶ εἰρήνης συνθήκας.

§. 9. ἀντικρούσ.) ἀντιλέξαντος, ἀντιτείναντος.—σὺ δέ.) ἡ φράσις δεικνύει ἀγανάκτησιν. Ιδ. Βιγέρ. σελ. 545.—διὰ χειρῶν) ἀριθμ. Ε'. 2.—ἔγωγε) ἐπιβεβαιῶν.—ἐγὼ σοῦ.) ἄρξω δηλ.

§. 10. ὡς πορῥωτ.) ἀριθμ. Γ'. 13.—πᾶν δεινὸν) πᾶς κίνδυνος. (μετὰ τὰς λογοτριβὰς ταύτας συνέβη καὶ ἡ ὀλέθριος ἧττα τῶν Ἑλλήνων πλησίον τῆς Χαιρωνείας).

§. 11. Ἀλεξ.) ἀφ' οὗ ἀνέβη εἰς τὸν θρόνον ὁ Ἀλέξανδρος, ἐςάλη πρὸς αὐτὸν ὁ Φωκίων ὡς πρέσβευτής.—εἰ ὀρέγεται) ἀριθμ. Α'. 5. «κελεύσοντα τοὺς Μεγαρεῖς εἰ βούλονται». ς'. 6. «ἐκέλευεν οὕτως, εἰ βούλεται, διεξελθεῖν.»

δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. 12. Καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐςόχως εἰπὼν οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥςτ' εἰπεῖν, ὅπως πρὸς ἕξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς, εἴ τι γένοιτο περὶ αὐτὸν, ἐκείνοις ἄρχειν προςῆκον. 13. Ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον, εἰς τοσαύτην ἔθετο τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. 14. Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς, μέγας γενόμενος, καὶ Δαρείου κρατήσας, ἀφεῖλε τῶν ἐπιςολῶν τὸ Χαίρειν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι. Τοῦτον δὲ μόνον μετὰ τοῦ Χαίρειν προςηγόρευε.

(κεφ. 18.) 15. Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐςιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. 16. Τούτων κομισθέντων εἰς Ἀθήνας, ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. Εἰπόντων δ' ἐκείνων, ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν. Οὐκοῦν, εἶπεν ὁ Φωκίων, ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον. 17. Ὡς δ' ἀκολουθήσαντες οἶκον αὐτῷ πολλὴν ἑώρων εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον ἐνέκειντο, καὶ ἠγανάκτουν, δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως οὕτω διαιτήσεται πονηρῶς. 18. Ἰδὼν οὖν ὁ Φωκίων πένητα πρεσβύτην, ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον, ἠρώτησεν, εἰ τούτου χείρονα νομίζουσιν αὐτόν· εὐφημεῖν δ' ἐκείνων δεομένων, καὶ μὴν οὗτος, εἶπεν, ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ, καὶ ἀρκεῖται. 19. Τὸ δ' ὅλον, ἢ μὴ χρώμενος, ἔφη, μάτην ἕξω τοσοῦτον χρυσίον, ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν. Οὕτω μὲν οὖν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν, ἐπιδείξαντα τοῖς Ἕλλησι πλουσιώτερον τοῦ διδόντος τὸν μὴ δεόμενον.

§. 12. καὶ πολλὰ) ἡ Σύνταξ. Καὶ πολλὰ εἰπὼν εὐς. καὶ πρὸς φύσ. καὶ βούλ. Ἀλεξάνδρου.—ὅπως πρός.) Ἰδ. ἀριθμ. Β'. 13.—τοῖς πράγμασι) τῆς Ἑλλάδος δηλ.—ὡς....προςῆκον) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΒ'. Σημ. δ'..—εἴ τι γένοιτο) κατ' εὐφημισμὸν, ἀντὶ, εἴ τι πάθοι.

§. 14. ἐν ὅσαις) ἐν ταύταις, ὅσας..Ζ'. 6. Η'. 8.

§. 15. περὶ τῶν χρ.) ὅ,τι περὶ τῶν δώρων, τὰ ὁποῖα λέγεται ὅτι ἔλαβεν ὁ Φωκίων παρὰ τοῦ Ἀλεξάνδρου, ὁμολογουμένως γνωςόν ἐςι, συνίςαται εἰς τὸ ἑξῆς.

§. 16. τί δή ποτε.) ἐρώτησις μὲ ἰσχύν.—καὶ δοκεῖν καὶ εἶναι) Ἰδ. ἀριθμ. Β'. 5.

§. 17. τὴν μέν....ὁ δὲ) ἡ Σύνταξις τοῦ λόγου εἰς τὸ δεύτερον κῶλον παραλλάττει ἀπὸ τῆς τοῦ πρώτου, ἀντὶ, τὸν δὲ Φωκίωνα αὐτὸν ἀνιμήσαντα ὕδωρ ἐκ τοῦ φρ. καὶ ἀπονιπτόμενον τ. π. Ὁ Πλούταρχος ἐςοχάσθη τὴν πρότασιν ταύτην, ὡς νὰ ἔγραφε πρότερον, ὅτι ἡ μὲν γυνὴ ἔματτεν.—εἰ....διαιτήσ.) ἀριθμ. ΙΕ'. 21.» καὶ γὰρ οἵδε....οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα.» ΙΘ'. 6.» καὶ, εἰ μὴ σώσει αὐτὸν, ἔφη ἰδεῖν.»

§. 19. τὸ ὅλον) ἀντὶ, τὸ δὲ ὅλον εἰπεῖν.—κἀκεῖνον) τὸν Ἀλέξανδρον.—διαβαλῶ.) ἀριθμ. ΚΑ'. 6.» καὶ τοὺς φίλους, καὶ τὰς πατρίδας....πρὸς τοὺς συμμάχους διαβάλλοντες.» Ἰσοκρ. περὶ Συμμ. 9.» ὁ πόλεμος ἡμᾶς πρὸς τοὺς Ἕλληνας διαβέβληκε.»—δεόμενον) αὐτῶν.

## ΙΒ΄.

## Φωκίωνος καταδίκη καὶ θάνατος. *)

(Πλούταρχ. Φωκ. κεφ. 34)

1. Τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε, λόγῳ μὲν κριθησομένους, ἔργῳ δὲ ἀποθανεῖν κατακεκριμένους. 2. Καὶ προςῆν τὸ σχῆμα τῇ κομιδῇ λυπρὸν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τοῦ Κεραμεικοῦ πρὸς τὸ θέατρον. 3. Ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν, ἄχρις οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες, οὐ δοῦλον, οὐ ξένον, οὐκ ἄτιμον ἀποκρίναντες, ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες. 4. Ἐπεὶ

ΙΒ΄.

*) Ἀντιπάτρου ἀποθανόντος ὁ υἱὸς αὐτοῦ Κάσσανδρος, καὶ Πολυσπέρχων, ὁ ἐπίτροπος τοῦ βασιλέως τῆς Μακεδονίας Ἀριδαίου, ἐμάχοντο περὶ τῆς κυριεύσεως τῆς Ἑλλάδος· τότε ὁ Φωκίων, ἐπιμελείᾳ καὶ συνεργίᾳ τοῦ Πολυσπέρχοντος, κατηγορηθεὶς ὑπὸ τοῦ δήμου ὡς προδότης καὶ τὰ τοῦ Κασσάνδρου φρονῶν, καθῃρέθη τῆς στρατηγίας καὶ παρεδόθη ὑπὸ τοῦ Πολυσπέρχοντος εἰς τὴν ἀπόφασιν τοῦ δήμου.

§. 1. εἰς Ἀθήν.) διότι εὑρίσκοντο εἰς τὸ στρατόπεδον τοῦ βασιλέως, ὅπου ἐπῆγαν διὰ νὰ δικαιολογηθῶσι. — λόγ . . . ἔργ.) λόγος καὶ ἔργον, πρόφασις καὶ πρᾶγμα. πολλάκις ὅταν τίθηται τὸ ἕν, τίθεται καὶ τὸ ἄλλο. —

§. 2. Κεραμεικ.) Ἰδ. Ε΄. 2. — τὸ θέατρ.) ὅπου ἐμαζόνετο πολλάκις ὁ δῆμος διὰ νὰ συμβουλευθῇ· ἀριθμ. Ις΄. 10.

§. 3. ἄτιμ.) ἄτιμοι ἐλέγοντο ὅσοι διὰ κἀνὲν κακούργημα ἐστεροῦντο τὸ δικαίωμα τῆς ψηφοφορίας. Ἰδ. ἀριθμ. ΚΘ΄. 9. — πᾶσι καὶ πάσαις) ἀνδράσι καὶ γυναιξὶ, χωρὶς διακρίσεως τοῦ δικαιώματος.

§. 4. ἐκείνοις) τοῖς Ἀθηναίοις. — ἐλευθέρ.) ὁ Πολυσπέρχων ἐγέλα τοὺς Ἀθηναίους μὲ τὴν ἐλπίδα ὅτι θέλει δοθῇ εἰς αὐτοὺς πάλιν ἡ ἐλευθερία. — καλῶς ἔχει) προσήκει.



δ' ἥτ' ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας, ἐκείνοις δὲ διδόναι τὴν κρίσιν, ἐλευθέροις γε δὴ καὶ αὐτονόμοις οὖσι, καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰςήγαγεν, οἱ μὲν βέλτιστοι τῶν πολιτῶν, ὀφθέντος τοῦ Φωκίωνος, ἐνεκαλύψαντο, καὶ κάτω κύψαντες ἐδάκρυον· εἷς δ' ἀναστὰς ἐτόλμησεν εἰπεῖν, ὅτι τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. 5. Οὐκ ἀνασχομένων δὲ τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φωκίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθεὶς, «Πότερον, εἶπεν, ἀδίκως ἢ δικαίως ἀποκτεῖναι βούλεσθε ἡμᾶς;» 6. Ἀποκριναμένων δέ τινων, ὅτι δικαίως· «Καὶ τοῦτο, ἔφη, πῶς γνώσεσθε, μὴ ἀκούσαντες;» 7. Ἐπεὶ δ' οὐδὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθὼν, «Ἐγὼ μὲν, εἶπεν, ἀδικεῖν ὁμολογῶ, καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους δ', ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε, μηδὲν ἀδικοῦντας;» 8. Ἀποκρινομένων δὲ πολλῶν· ὅτι σοὶ φίλοι εἰσίν· ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν· ὁ δ' Ἀγνωνίδης ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω,

§. 5. τῶν πολλῶν) τοῦ πλήθους, τὸ ὁποῖον οἰκειοποιήθη μὲ βίαν τὰ δικαιώματα τῆς ἀνωτάτης ἐξουσίας. — ἀνακραγ.) τουτέστι, σὺν κραυγῇ κελευόντων.

§. 6. μὴ ἀκούσ.) τουτέστιν, εἰ μὴ ἀκούσετε. Ἰδ. περὶ τῆς χρήσεως τοῦ Μὴ Γραμ. Βουτ. §. ΡΛΔ΄. σελ. 476. π. 443. ν. Ού.

§. 7. θανάτου) Ἰδ. ἀριθμ. Β΄. 18. — τούτους) δεικνύων τοὺς σὺν αὐτῷ ἀποθανεῖν καταδικασθέντας.

§. 8. Ἀγνωνίδης) ὁ παρὰ τῷ Πολυσπέρχοντι τοῦ Φωκίωνος κατήγορος.

καθ' ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν· τοὺς δ' ἄνδρας, ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν.

(κεφ. 35.) 9. Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν, καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. 10. Ὁ δ' Ἀγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα, καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος· «Ὅταν, ἔφη, Καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄνδρες Ἀθηναῖοι, λαβόντες στρεβλώσομεν· περὶ δὲ Φωκίωνος οὐδὲν ἐγὼ γράφω τοιοῦτον.» 11. Ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν· «Ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν;» 12. Ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος, καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι, κατεχειροτόνησαν αὐτῶν θάνατον. 13. Ἦσαν δὲ σὺν τῷ Φωκίωνι Νικοκλῆς, Θούδιππος, Ἡγήμων, Πυθοκλῆς· Δημητρίου δὲ τοῦ Φαληρέως, καὶ Καλλιμέδοντος, καὶ Χαρικλέους, καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

---

§. 9. ὅπως . . . ἀποθάνοι) Ἰδ. Β'. §. 7. Γ'. 2. — στρεβλ.) ἐνίοτε ἐστρέβλωναν τοὺς καταδίκους πρὸ τοῦ θανάτου· ἡ δὲ στρέβλωσις κυρίως ἦτον διὰ μόνους τοὺς σκλάβους διωρισμένη.

§. 10. Καλλιμέδοντα) ῥήτορά τινα. — μαστιγ.) ὀνομασία καταφρονητικὴ τῶν σκλάβων.

§. 11. ὀρθῶς γε) εὖ ποιῶν ϛ'. 12. Ξενοφ. Κύρ. Παιδ. Δ'. 4. 6. "τοὺς μὲν οὖν ἀμυνομένους . . . κατεκαίνετε, ὀρθῶς ποιοῦντες."

§. 12. στεφανωσ.) καθὼς ἔκαμναν μετά τινα νίκην.



(κεφ. 36.) 14. Ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας, οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες ἐβάδιζον· τὸ δὲ Φωκίωνος πρόσωπον, οἷον ὅτε στρατηγῶν ἀπ' ἐκκλησίας προυπέμπετο, βλέποντες, ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός· οἱ δ' ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. 15. ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς ἄρχοντας εἰπεῖν. «Οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον;» — 16. Ἐπεὶ δὲ Θούδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος, καὶ τὸ κώνειον ὁρῶν τριβόμενον, ἠγανάκτει, καὶ κατέκλαιε τὴν συμφοράν, ὡς οὐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος. «Εἶτ' οὐκ ἀγαπᾷς, εἶπεν, ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις;» — 17. Ἐρομένου δέ τινος τῶν φίλων, εἴ τι πρὸς Φῶκον λέγει, τὸν υἱόν; «Πάνυ μὲν οὖν, ἔφη, λέγω μὴ μνησικακεῖν Ἀθηναίοις».

18. Πεπωκότων δ' ἤδη πάντων τὸ κώνειον, τὸ φάρμακον ἐπέλιπε, καὶ ὁ δημόσιος οὐκ ἔφη τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμάς, ὅσου τὴν ὁλκὴν ὠνεῖται.

---

§. 14. οἱ ἄλλοι) τῶν καταδικασθέντων. — τὸ δὲ Φωκ.) ἡ ἀκριβεστέρα συνάφεια τῶν ἐννοιῶν ἤθελεν εἶναι, τὸ δὲ Φωκίωνος πρόσωπον ἐφαίνετο οἷον ὅτε στρ. ἀπ' ἐκκ. πρ. ὁ βλέποντες ἐθαύμαζον . . . Προπέμπειν λέγεται ἡ πρὸς τιμὴν συνόδευσις, τὴν ὁποίαν ἔκαμναν εἰς ἀξίους ἢ εὐνοουμένους πολίτας.

§. 15. ὅτε) Ἰδ. Λ'. 19.

§. 16. εἶτα) Ἰδ. ἀριθμ. ϛ'. 13.

§. 18. οὐκ ἔφη) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΔ'. σελ. 478. π. 445. ν. Σημ. ϛ'. — εἰ μὴ λάβοι) Γραμ. Βουτ. §. ΡΚϛ'. γ'. ἀριθμ. ΙΑ'. 2. — ὅσου) Γραμ. Βουτ. §. ΡΙΘ'. ε'. 6. σελ. 418. π. — 385. ν. ϛ'. 2. — τὴν ὁλκὴν) δραχμήν.

19. Χρόνου δὲ διαγενομένου καὶ διατριβῆς, ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπὼν, εἰ μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεάν ἐςιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον.

(κεφ. 37.) 20. Ἦν δ' ἡμέρα μηνὸς Μουνυχιῶνος ἐννάτη ἐπὶ δέκα, καὶ τῷ Διῒ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν. Ὧν οἱ μὲν ἀφείλοντο τοὺς ςεφάνους, οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. 21. Ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπ' ὀργῆς καὶ φθόνου τὴν ψυχὴν, ἀνοσιώτατον γεγονέναι, τὸ μηδ' ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, μηδὲ καθαρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορτάζουσαν. 22. Οὐ μὴν ἀλλ' ὥσπερ ἐνδεέςερον ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τοῦ Φωκίωνος ἐξορίσαι, καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταφὴν Ἀθηναίων. 23. Δι' ὃ φίλος μὲν οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος· Κωνωπίων δέ τις ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα μισθοῦ, κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα, πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς ἔκαυσεν. 24. Καὶ Μεγαρικὴ γυνὴ, παροῦσα μετὰ τῶν θεραπαινίδων,

§. 19. χρόνου διαγενομ.) Ιδ' ἀριθμ. ΙΗ'. 74. «καὶ χρόνου ἐγγενομένου» — εἰ . . . ἐςὶν) Ιδ. ἀριθμ. ΙΑ'. 17.

§. 20. τῷ Διΐ) ἐπειδὴ κατ' αὐτὴν τὴν ἡμέραν ἑώρταζαν ἑορτήν τινα τοῦ Διός. — ἀφείλ. τοὺς ςεφ.) διὰ νὰ δείξωσι τὴν συμπάθειαν καὶ θλίψιν τῆς ψυχῆς των.

§. 21. μηδὲ καθ.) τὸ νὰ μιάνωσι τὴν ἑορτὴν τινὸς θεοῦ μὲ φόνους ἐφαίνετο ἀνόσιον.

§. 22. οὐ μὴν ἀλλ') ἐν τοσούτῳ. — ἠγωνισμ.) ὡς εἰς ἀγῶνα· τῶν παθῶν καὶ τῆς ἀσεβείας — ἐξορίσαι) ἡ ἐξορία ἦτον ποινὴ τῶν προδοτῶν τῆς πατρίδος.

§. 23. μισθοῦ) Γραμ. Βουτ. §. ΡΙΘ'. ε'. β. σελ. 518. π. 383. ν. ς'. α.

§. 24. Καὶ Μεγ.) ἀντὶ, γυνή τις. — χῶμα κενὸν) κενοτάφιον. — παρὰ τὴν ἑς.) ὡς ἐν τόπῳ ἱερῷ.



ἔχωσε μὲν αὐτόθι χῶμα κενὸν καὶ κατέσπεισεν· ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀςᾶ, καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν, κατώρυξε παρὰ τὴν ἑςίαν εἰποῦσα· «Σοὶ, ὦ φίλη ἑςία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα· σὺ δ' αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσι».

(κεφ. 38.) 25. Καὶ μέντοι χρόνου βραχέος διαγενομένου, καὶ τῶν πραγμάτων διδασκόντων, οἷον ἐπιςάτην καὶ φύλακα σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέςησαν, ἔθαψαν δὲ δημοσίοις τέλεσι τὰ ὀςᾶ. 26. Τῶν δὲ κατηγόρων Ἁγνωνίδην μὲν αὐτοὶ, θάνατον καταχειροτονήσαντες, ἀπέκτειναν. Ἐπίκουρον δὲ καὶ Δημόφιλον, ἀποδράντας ἐκ τῆς πόλεως, ἀνευρὼν ὁ τοῦ Φωκίωνος υἱὸς ἐτιμωρήσατο.

# ΙΓ'.

## Δημοσθένης.

(Πλούταρχ. Δημοσθ. κεφ. 7)

1. Λέγεται, τοῦ Δημοσθένους ὀδυρομένου ποτὲ πρὸς Σάτυρον, τὸν ὑποκριτὴν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ

§. 26. τῶν δὲ κατηγ.) τὸ ὅλον προηγεῖται τῶν μερῶν κατὰ Γενικήν· ἀριθμ. Ις'. 6. «τῶν δὲ ἱππέων Νικόςρατον . . . καὶ ἄλλους». αὐτόθ. 27. «τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος.» ἀριθμ. ΙΖ'. 7. «τῶν ἱππέων λαβόντες Καλλίςρατον.» Ἡρόδοτ. Ζ'. 114. «ἀπὸ δ' ἔθανε τῶν ςρατηγῶν Στησίλεως ὁ Θρασύλεω». — αὐτοί) οἱ Ἀθηναῖοι.

§. 1. Λέγεται) ὁ ἡγούμενος λόγος τῆς προτάσεως εἶναι, τοῦ Δημοσθένους . . . . αὐτός· ὁ δὲ ἑπόμενος, λέγεται φάναι τὸν Σάτυρον. Περὶ τῆς Συντάξ. τοῦ λέγεται Ιδ. ἀριθμ. Β'. 13. — μικροῦ δέων)

σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός· «Ἀληθῆ λέγεις, ὦ Δημόσθενες, φάναι τὸν Σάτυρον· ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ ςόματος.» 2. Εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. 3. Πεισθέντα δ', ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεςι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. 4. Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον· ἐνταῦθα δὲ πάντως μὲν ἑκάςης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

---

Γραμ. Βουτ. §. ΡΛϚ'. σελ. 499. π. 463. ν. Πολλοῦ Λεξ. Ἐν βίῳ Μαρίου 44. « μικροῦ μὲν ἐδέησεν ἐξαναςὰς αὐτὸς ἐπὶ τὸν τόπον φέρεσθαι». Ἰσοκρ. Ἀρειοπ. σελ. 126. « τοσούτου ἐδέοντο αὐτοὺς λανθάνειν οἱ κακῶς δεδρακότες.» — εἰς τοῦτο) τὸ λέγειν.

§. 2. μεταλαβόντα) ἡ Σύνταξις συνάγεται ἀκόμη ἀπὸ τοῦ λέγεται.

§. 3. ὅσον ἐκ) ἡ Σύνταξ. ὅσον κόσμου καὶ χάρ. πρόσ. τῷ λ. ἐκ τῆς ὑποκρ. Ἐν βίῳ Κικ. κεφ. Ε'». Κικέρων λέγεται οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν Ρωσκίῳ, τῷ κωμῳδῷ, τοῦτο δ' Αἰσώπῳ, τῷ τραγῳδῷ, προσέχειν ἐπιμελῶς». — μικρὸν καὶ τὸ μηδὲν) ἔκφρασις ὑπερβολῆς.

§. 4. ἐκ τούτου) τοῦ χρόνου — ὑπὲρ τοῦ) Ἰδ. ἀριθμ. ϛ'. §. 3. — μηδὲ βουλομ. ἐνδέχεσθαι) μηδὲ καὶ ἂν ἤθελεν.



(κεφ. 12.) 5. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ, τοῦ Φωκικοῦ πολέμου συνεςῶτος. — 6. Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας· ὥς τε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖςον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων· ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐςιν.

(κεφ. 16.) 7. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν, ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶν-

---

§. 5. ὥρμησε) Ἰδ. ἀριθμ. Ε'. §. 5. — Φωκικοῦ) τοῦ ἱεροῦ ὀνομαζομένου πολέμου, ὁ ὁποῖος ἔγινε μεταξὺ τῶν Φωκέων, οἱ ὁποῖοι κατηγορήθησαν ὡς ἱερόσυλοι, Βοιωτῶν, Λοκρῶν καὶ Θεσσαλῶν, κατὰ τὴν ΡΕ', Ὀλυμπ. 4. καὶ διήρκησε χρόνους ἐννέα.

§. 6. ὑπόθεσιν) Πλούταρχ. ἐν βίῳ Ἀγιδ. — 2». οὓς (Γράκχους) κάλλιςα μὲν φύντας, καλλίςην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας». ὁ αὐτ. ἐν βίῳ Τ. Γράκχ. 9. « Τιβέριος πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος». καὶ ἐν βίῳ Κικ. 37». Πομπηΐου ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος.» — περιβλ. — ἤρθη) ἐγένετο. — ὅτι πρὸς) ἡ Σύνταξ. ὅτι ὁ ἀγών ἐςιν αὐτοῖς πρὸς ἔνδοξον ἄνθρωπον

§. 7. φανερὰ) ἀντί, φανερὸν ἦν, ὅτι ἡ πολιτεία τοῦ Δημ. ἦν οὐδὲν ἐῶν . . . Ἐπίθετά τινα (οἷον τὸ δίκαιος, φανερὸς, κ. τ. λ.), τὰ ὁποῖα ἐν οὐδετέρῳ ἔχουσι μεθ' ἑαυτῶν τὸ ἐςὶ λαμβάνουσι τὸ ὑποκείμενον τοῦ ἑπομένου ῥήματος ὡσαύτως ὡς ὑποκείμενον· οἷον « Οἱ Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς». ἀντί, φανερὸν ἦν τοὺς Θ. ἀναγκασθήσεσθαι (Δημοσθ. Περὶ Στεφάνου). «Ὃς δ' ἂν αὐτέων πλεῖςα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίςως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐςι φέρεσθαι.» ἀντί, δίκαιόν ἐςι τοῦτον φέρεσθαι (Ἡρόδ. Α'. 32). Παράβ. καὶ ἀριθμ. ΙΕ'. 8. καὶ ΙΖ'. 14. — ἐφ' ἑκάςῳ καιρῷ.

τος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάςῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. 8. Διὸ καὶ παρὰ Φιλίππῳ πλεῖςος ἦν λόγος αὐτοῦ· καὶ ὅτε πρεσβεύων δέκατος ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείςης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. 9. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προςήγετο τοὺς περὶ Ἀσχίνην καὶ Φιλοκράτην μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιςον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπειν, ὡς τὸ μὲν σοφιςοῦ, τὸ δὲ γυναικός, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

(κεφ. 17.) 10. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔῤῥεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους, καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. 11. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις.--

§. 8. δέκατος) αὐτὸς μετ' ἐννέα ἄλλων. Ιδ. ἀριθμ. ΙΑ'. 9. ΙΗ'. 82.

§. 9. τοὺς περὶ Αἰσχ.) τὸν Αἰσχίνην καὶ Φιλοκράτην. Ιδ. Γραμ. Βουτ. §. ΡΛς'. σελ. 501. σ. 465. ν. καὶ Ἑρμάννον εἰς Βιγέρ. σελ. 700. 6. -- βασκαίνων) ὑπὸ βασκανίας. -- τὸ μὲν) ὅ,τι αὐτοῦ ἐπήνεσαν.

§. 10. ἐξώρμησε) ἐκίνησε ςόλον ἐκπέμπειν ὁ Δημοσθένης. --- τῶν τυράν.) Κλειτάρχου καὶ ἄλλων, τοὺς ὁποίους κατέςησε Φίλιππος ἐπὶ τῶν πόλεων τῆς Εὐβοίας, καὶ ἔδωκεν εἰς αὐτοὺς Μακεδονικὴν φρουρὰν εἰς βοήθειαν.

§. 11. Βυζ. . . . . Περ.) Βυζάντιον καὶ Πέρινθος, πόλεις κατὰ τὴν Προποντίδα.



12. Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέςησε, πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥς τε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακιςχιλίων, ἱππέων δὲ διςχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων, χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰςφέρεσθαι προθύμως. 13. Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνιςαμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιςος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προςαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιςα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. 14. Ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προςφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους ὑπὸ τοῦ Φιλίππου μεταςῆσαι τοὺς Θηβαίους, καὶ μάλιςα τοῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάςοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

---

§. 12. συνέςησε) ἥνωσεν αὐτοὺς εἰς συμμαχίαν. Ισοκρ. πρὸς Φίλιπ. « οὐκ ἀδύνατόν ἐςί σοι συςῆσαι τὰς πόλεις ταύτας. » -- πολιτ. δυνάμ.) τῶν πολιτῶν, οἱ ὁποῖοι ἦσαν ςρατιῶται -- τοῖς ξένοις) τοῖς μισθοφόροις. -- εἰςφέρεσθαι) νὰ συνεισφέρωσι διὰ τὰ χρειώδη τῆς πολιτείας.

§. 14. ἐπηρμένης) ἐν βίῳ Φώκ. 22. « ὁ δὲ Φωκίων ἐπηρμένον ὁρῶν τὸν δῆμον πρὸς τὸ νεωτερίζειν ». -- κατ' ἔθνη) Ιδ. ἀριθμ. Δ'. §. 29. -- Λευκαδ.) ἀπὸ τῆς νήσου Λευκάδος, ἀντικρὺ τῆς Ἀκαρνανίας. -- εὐδοκιμ.) διὰ τοὺς κατὰ τῆς Σπάρτης πολέμους, καὶ μάλιςα διὰ τὰς ἐν Λεύκτροις καὶ ἐν Μαντινείᾳ μάχας.

§. 14. τετίθασσ.) Ιδ. ἀριθμ. Δ'. 14. Οἱ Θηβαῖοι ἀπήλαυσαν πολλὰς καὶ μεγάλας εὐεργεσίας ἀπὸ τὸν Φίλιππον ἐπὶ τοῦ Φωκικοῦ πολέμου. -- ἀναξαινομ.) ἀναξαίνεσθαι λέγεται κυρίως περὶ τῶν πληγῶν, τὰς ὁποίας τις ξαίνει· ἐνταῦθα λοιπὸν ἀντὶ τοῦ, πάλιν κινουμένων. -- καὶ μάλιςα) ἡ Σύνταξ. καὶ μάλ. τῶν πολεμ. διαφορῶν ταῖς πόλ. πρὸς ἀλλ. ἀναξ. ἑκάς. ταῖς ἀψιμ. διὰ τὴν γειτνίασιν.

(κεφ. 18.) 15. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδ' ἔχοντος ὅ,τι χρὴ λέγειν, ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι, καὶ τἄλλα παραθαῤῥύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσι, ἀπεςάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. 16. Τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαςος εἶχε τὰ τοῦ πολέμου δεινά, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν. 17. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥςτε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναςῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς ςρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ

§. 15. Ἐλάτειαν) πόλιν κατὰ τὰ πρὸς ἄρκτον σύνορα τῆς Βοιωτίας. — μηδ' ἔχοντος) ἀριθμ. ΙΗ'. 10. «οὐκ εἶχον ὅπως χρὴ ἀπιςῆσαι.» Ἰδ. Βιγέρ. σελ. 252. — ἐν μέσῳ) ἐν τῇ ἐκκλησίᾳ. — μετεωρίσ. . . ταῖς ἐλπίσι) τουτέςιν ἐπάρας.

§. 16. τὸ συμφέρ.) ὅτι ἦτον ὠφέλιμον νὰ ἀποφύγωσι τὸν πόλεμον, καὶ νὰ διασώσωσι τὴν φιλίαν τοῦ βασιλέως τῆς Μακεδονίας. — τραυμ.) Ἰδ. ἀριθμ. ΛΕ'. 1. Οἱ Θηβαῖοι ἔπαθαν πολλὰς ζημίας ἐπὶ τοῦ ἱεροῦ πολέμου πρὸ τοῦ νὰ ἑνωθῶσι μὲ τὸν Φίλιππον.

§. 17. ὀρθὴν) Πολύβ. Βιβλ. Γ'. 112. «ὀρθὴ καὶ περίφοβος ἦν ἡ πόλις». ΚΗ'. 15. «ὀρθοὶ καὶ μετέωροι ταῖς διανοίαις ἐγενήθησαν οἱ Ῥόδιοι». — Βοιωτάρχ.) Βοιωτάρχαι, οἱ ἀρχηγοὶ τῶν εἰς Θήβας συναζομένων ἀπεςαλμένων ἀπὸ τῶν πόλεων τῆς Βοιωτίας. — διοικεῖσθ.) ἡ Σύνταξ. διοικεῖσθαι δὲ οὐδὲν ἧττον τὰς ἐκκλησίας τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων.



τοὺς Βοιωτάρχας, διοικεῖσθαί τε τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων, ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναςεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ' ἀξίαν, ἀλλὰ καὶ πάνυ προςηκόντως.

(κεφ. 20.) 18. Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν, οὐδ' ὁμολογούμενον ἔργον, οἷς εἶπεν, ἀποδειξάμενος, ᾤχετο λιπὼν τὴν τάξιν, ἀποδρὰς αἴσχιςα, καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ Τύχῃ. 19. Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς, μεθύων ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων.

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν. Ἐκνήψας δὲ, καὶ τὸ μέγεθος τοῦ περιςάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥίψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ.

§. 18. ἀνὴρ ἀγαθ.) Ἰδ. ἀριθμ. Δ. §. 3. — οὐδ' ὁμολογ. οἷς εἶπεν) τουτέςι τοῖς αὐτοῦ λόγοις ὅμοιον, ἢ τῶν αὐτοῦ λόγων ἄξιον. — ᾤχετο λιπ.) ἀριθμ. ΙΖ'. 31. Βιγέρ. σελ. 349. — Πυθέας) Ῥήτωρ Ἀθηναῖος καὶ ἐναντίος τοῦ Δημοσθένους.

§. 19. κωμάσας) κωμάζειν, τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέςερον. Κωμαςής, ὁ τρυφῶν μετ' ᾠδῆς ἀσελγοῦς. — τὴν ἀρχ. τοῦ ψηφ.) ἡ ἀρχὴ τοῦ ψηφίσματος, διὰ τοῦ ὁποίου ἀπεφασίσθη ὁ πόλεμος, συνίςατο κατὰ τύχην ἀπὸ Ἰαμβικὸν τετράμετρον. — πρὸς πόδα) μετρῶν κατὰ πόδας τῶν συλλαβῶν καὶ ῥυθμίζων. — Παιαν.) Παιανιά, δῆμος τῆς Ἀττικῆς — τὸν ὑπὲρ τῆς) ἡ Σύνταξ. ἀναγκασθεὶς ὑπ' αὐτοῦ (ἀναγκάσαντος αὐτὸν) ἀναῤῥίψαι τὸν κίνδυνον ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος.

(κεφ. 21.) 20. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προςκαλούμενος αὖθις, ὡς εὔνουν, εἰς τὴν πολιτείαν, ὥςτε καὶ τῶν ὀςέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς, οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκός, ἀλλὰ τῷ τιμᾷν μάλιςα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις.

* * *

(κεφ. 28.) 21. Ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προςιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημάδου γράψαντος. Ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέ-

§. 20. τῆς ἀτυχ.) τῆς ἐν Χαιρωνείᾳ τῶν Ἑλλήνων ἥττης. — ἐπεμβαίν.) Ἀριςοφ. Νεφ. 546. « κοὐκ ἐτόλμησ' αὖθις ἐπεμπηδῆσ' αὐτῷ κειμένῳ.» Πλούταρχ. ἐν βίῳ Κάτων. Ν. 29.» μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ, μηδ' ἐνυβρίσαι.» καὶ ἐν βίῳ Κικ. 19. «μὴ δοκεῖν πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει πρώτοις.» — τιμῶν διετέλ.) Ιδ. ἀριθμ. Β'. §. 18. — τῶν ὀς.) τῶν πεπτωκότων. — τὸν ἐπ.) τὸν εἰς τοιαύτας περιςάσεις συνήθη ἐπιτάφιον λόγον. Ιδ. ἀριθ. Κ'.

§. 21. Ἀντ. Κρατ.) Ἀντίπατρος καὶ Κρατερὸς, ςρατηγοὶ καὶ διάδοχοι τοῦ Ἀλεξάνδρου εἰς τὴν διοίκησιν τῶν Εὐρωπαϊκῶν τόπων τοῦ Μακεδονικοῦ βασιλείου. — τὰ ἐνταῦθα ἀναφερόμενα συμβεβηκότα συνέβησαν ἐπὶ τοῦ Λαμιακοῦ ὀνομαζομένου πολέμου, ἀφ' οὗ οἱ Ἀθηναῖοι ἔχασαν παρὰ τὴν Κραννῶνα (πόλιν τῆς Θεσσαλίας) τὴν μάχην. Ὀλυμ. ΡΙΑ', 2. — ἠγγέλλοντο προςιόντες) Γραμ. Βουτ. §. ΡΛΑ'. Σημ. γ'. σελ. 451. π. 419. ν. — οἱ περὶ τ. Δημ.) Δημοσθένης καὶ οἱ αὐτοῦ ὀπαδοί. — φθάσαντες) Γραμ. Βουτ. ΡΛϛ'. σελ. 502. π. 466. ν. Φθάνω. — γράψαντ.) τὸ ψήφισμα. — Θουρ.) ἐκ Θουρίου, ἀποικίας τῶν Ἀθηνῶν εἰς τὴν μεγάλην Ἑλλάδα.



πεμπε τοὺς συλλαβόντας ὧν ἡγεμὼν ἦν Ἀρχίας, ὁ κληθεὶς Φυγαδοθήρας· Τοῦτον δέ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίνασθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱςοροῦσιν.

(κεφ. 29) 22. Οὗτος οὖν ὁ Ἀρχίας τὸν Δημοσθένη πυθόμενος ἱκέτην ἐν Καλαυρίᾳ, ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρακῶν δορυφόρων, ἔπειθεν ἀναςάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον, ὡς δυςχερὲς πεισόμενον οὐδέν. 23. Ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος, εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. 24. Διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτὸν, ὥςπερ ἐτύγχανε καθήμενος· ὦ Ἀρχία, εἶπεν, οὔτε ὑποκρινόμενός με ἔπεισας πώποτε, οὔτε νῦν πείσεις ἐπαγ-

§. 22. Καλαυρίᾳ) Καλαυρία, νῆσος πλησίον τῶν παραθαλασσίων τῆς Ἀργολίδος. (ὀνομάζεται τὴν σήμερον ἡ νῆσος Πόρος) — ἔπειθεν) Ιδ. ἀριθμ. ΙΑ'. § 8. — ὡς . . . . οὐδέν) τουτέςι, λέγων αὐτὸν οὐδὲν δυςχερὲς πείσεσθαι.

§. 23. ἐτύγχ. ἑωρ.) Ιδ. ἀριθμ. Β'. §. 8. — ἐδόκει αὐτ.) Γραμ. Βουτ. §. ΡΚΘ'. β'. Ιδ. ἀριθμ. Δ'. 43. Θ'. 2. — κατ. τὸ θέατ.) τουτέςι, τοὺς θεατὰς εὐφραίνων. — παρασκ. καὶ χορ.) τῶν εἰς τὴν παράςασιν τοῦ δράματος ἀναγκαίων ἐνδυμάτων, καὶ ἄλλων πρὸς κόσμον ἐπιτηδείων, διὰ τὴν προμήθειαν τῶν ὁποίων ἔπρεπε νὰ φροντίσῃ ὁ χορηγός.

§. 24. ὥςπερ ἐτύγχ. καθ.) χωρὶς νὰ σηκωθῇ ἀπὸ τὸ κάθισμά του· καθὼς τό, ὥςπερ εἶχε. — οὔτε ἔπ.) ποτὲ δὲν μὲ ἀπάτησες εἰς τὸ θέατρον νὰ σὲ ἐκλάβω ὡς τοιοῦτον, τὸν ὁποῖον σὺ ἤθελες νὰ παραςήσῃς. — τὰ ἐκ τοῦ Μακεδ.) τὰς παραγγελίας τοῦ Ἀντιπάτρου, ὅς τις σὲ ἐνέπνευσε, καθὼς ὁ Ἀπόλλων τὴν Πυθίαν. — ὅπως) πρὸς Ὑποτακτικ. Γραμ. Βουτ. §. ΡΚϛ'. β'.

γελλόμενος. Αρξαμένου δ' ἀπειλεῖν τοῦ Αρχίου μετ' ὀργῆς· νῦν, ἔφη, λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος· ἄρτι δ' ὑπεκρίνου. Μικρὸν δ' οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. 25. Καὶ τοῦτ' εἰπὼν ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. 26. Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον· ὁ δ' Αρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ, τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Αντίπατρον. 27. Ηδη δὲ συνῃσθημένος ὁ Δημοσθένης, ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Αρχίαν, οὐκ ἂν φθάνοις, εἶπεν, ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Εγὼ δ', ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Αντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. 28. Ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

---

§. 26. ὡς ἀποδ.) Ιδ. ἀριθμ. Η'. §. 1. — ἀνακυκλ.) τουτέστι, πάλιν διεξιών.

§ 27. τοῦ φαρμάκου) τὸ ὁποῖον ἐβύζαξεν ἀπὸ τὸν κάλαμον. — οὐκ ἂν φθάν.) Γραμ. Βουτ. ΡΛς'. σελ. 502. π. 466. ν. — Κρέοντ.) Κρέων, ὁ τύραννος τῶν Θηβῶν, προστάζει, κατὰ τὴν τραγῳδίαν, ν' ἀφήσωσι τὸ λείψανον τοῦ Πολυνείκους νὰ κεῖται ἄταφον. — ἔτι ζῶν) ἐπειδὴ δὲν ἦτον θεμιτὸν νὰ ἀποθνήσκῃ τις ἔμπροσθεν τῶν θεῶν καὶ τὰ θνητὰ σώματα ἐμίαινον τοὺς ναούς. ΚΑ'. §. 15. — τῷ Αντιπ.) τουτέστιν, ὑπὸ τοῦ Αντιπάτρου.



## ΙΔ'.

## Τύχαι τῶν Αθηνῶν μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς μάχην.

(Ξενοφ. Ελλ. Ιστορ. Β'. β'. 9.)

---

1. Λύσανδρος μετὰ τὴν νίκην, δῃώσας Σαλαμῖνα, ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καὶ πλοῖα εἶργε τοῦ εἴσπλου. Οἱ δὲ Αθηναῖοι, πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν, οὔτε ξυμμάχων αὐτοῖς ὄντων, οὔτε σίτου. 2. Ενόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, εἰ μὴ παθεῖν, ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ, ἢ ὅτι ἐκείνοις ξυνεμάχουν. 3. Διὰ ταῦτα, τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες, ἐκαρτέρουν· καὶ, ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέ-

---

§. 1. μετὰ τὴν νίκ.) τὴν παρὰ τοὺς Αἰγὸς ποταμούς. Ιδ. ἀριθμ. Ι'. — τὰ πλοῖα) τὰ σιταγωγὰ πλοῖα· ἀριθμ. ΚΒ'. §. 1. — τί χρὴ) Ιδ. ἀριθμ. Λ'. 1.

§. 2. εἰ μὴ π.) τουτέστι, ταῦτα παθεῖν, ἃ αὐτοὶ τοὺς ἥττονας ἐποίησαν, οὐ τόσον τιμωρίας χάριν, ὅσον μεθ' ὕβρεως καὶ ἀδικίας; — ἀνθρ. μικροπ.) οἷον τοὺς Μηλίους, Αἰγινήτας καὶ λοιπούς. Ιδ. Ξενοφ. Ελληνικ. Β'. Є'. 3. — ἐκείνοις) τοῖς Σπαρτιάταις.

§. 3. τοὺς ἀτίμους) Ιδ' ἀριθμ. ΙΒ'. §. 3. διὰ νὰ αὐξήσωσι τὸν ἀριθμὸν τῶν ἐνεργῶν πολιτῶν — ἐπιλελοίποι) ἀντὶ, ἐπελελοίπει. Ιδ. Γραμ. Βουτ. §. ΟΔ'. Σημ. ς'. σελ. 135. π. 128. ν. — Αγιν) τὸν βασιλέα τῆς Σπάρτης. Ιδ. ἀριθμ. Ζ. §. 8. — πρέσβ . . . βουλ.) ἀντὶ, πρέσβ. ἀγγελοῦντας, τοὺς Αθηναίους βούλεσθαι . . . ἔχοντας. — ἐπὶ τούτοις) §. 14. «ἐφ' οἷς οἱ Λακεδ. ποιοῖντο τὴν εἰρήνην.» Ιδ. ἀριθμ. Ι'. §. 10. — κύριος) τοῦ ξυνθήκας ποιεῖσθαι δηλ. Ιδ. §. 8. 9.

γοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἆγιν, βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις, ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. Ὁ δὲ αὐτοὺς ἐς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. 4. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς ἐς Λακεδαίμονα. Οἱ δ', ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ πλησίον τῆς Λακωνικῆς, καὶ ἐπύθοντο αὐτῶν οἱ Ἔφοροι ἃ ἔλεγον, ὄντα οἷά περ καὶ πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους.

5. Οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε, καὶ ἀπήγγειλαν ταῦτα ἐς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ, ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. 6. Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἠβούλετο ξυμβουλεύειν· Ἀρχέστρατος γὰρ, εἰπὼν ἐν τῇ βουλῇ, Λακεδαιμονίοις κράτιστον εἶναι, ἐφ' οἷς προεκαλοῦντο, εἰρήνην ποιεῖσθαι, ἐδέθη (προεκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκάτερον)· ἐγένετο δὲ ψήφισμα, μὴ ἐξεῖναι περὶ τούτων ξυμβουλεύειν.

§. 4. Σελ.) Σελλασία, πόλις εἰς τὰ σύνορα τῆς Λακωνικῆς -- ἃ ἔλεγον) τὰς ὁποίας εἶχον παραγγελίας. -- οἷα) τουτέστι οὐδὲν διαφέροντα τῶν πρὸς Ἆγιν λεχθέντων. -- εἴ τι δέονται) §. 7. εἰ βούλονται. Ἰδ. ἀριθμ. ΙΑ'. §. 11.

§. 6. ἠβούλετο) ἀντὶ ἐβούλετο. Γραμ. Βουτ. §. ΟΛ'. Σημ. ε'. -- Λακεδ. κράτ.) ἡ Σύνταξ. κράτιστον εἶναι εἰρ. ποιεῖσθαι Λακεδ. -- ἐφ' οἷς. Ἰδ. §. 3. -- ἑκάτερ. τῶν μακρ. τειχ.) καὶ τὰ δύο τείχη, τὰ μακρὰ λεγόμενα, τὰ ὁποῖα συνέδεναν τὰς Ἀθήνας μὲ τὸν Πειραιᾶ.



7. Τοιούτων δὲ ὄντων, Θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι, εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. 8. Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν ὁπότε Ἀθηναῖοι ἔμελλον, διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ,τι τις λέγοι ὁμολογήσειν. Ἐπεὶ δὲ ἧκε τῷ τετάρτῳ μηνὶ, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχει, εἶτα κελεύει ἐς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος, ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς Ἐφόρους. 9. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς ἐς Λακεδαίμονα αὐτοκράτωρ, δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς Ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει, ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου.

10. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις, ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι, ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον,

§. 7. τοιούτων ὄντ.) τῶν πραγμάτων δηλ. -- Λακεδαιμονίους) Γραμ. Βουτ. §. ΡΚΘ'. Ἰδ. ἀριθμ. ΚΓ'. §. 13. « ἐκείνους οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται » -- πότερον . . . ἕνεκα.) ἤτοι διὰ νὰ ὠφεληθῶσιν ἀπὸ τὸ ἐξαρμάτωμα τῆς πόλεως οἱ Λακεδαιμόνιοι, διὰ νὰ κάμωσιν ὅλους τοὺς ἐγκατοίκους σκλάβους, ἢ μόνον διὰ τὴν ἀσφάλειαν.

§. 8. παρὰ Λυσ.) ὁ ὁποῖος ἐπῆγεν ἐν τῷ μεταξὺ εἰς τὴν Ἀσίαν. -- ὁπότε) τὸν καιρὸν φυλάξας, ὁπότε. -- ὅ,τι τις λέγοι) κελεύει. -- ὅτι κατέχει) Ἰδ. §. 4. 7.

§. 9. αὐτοκράτωρ) μὲ ἀπεριόριστον πληρεξουσιότητα -- δέκατος) Ἰδ. ἀριθμ. ΙΓ'. §. 8. -- ἀγγελοῦντα) Γραμ. Βουτ §. ΡΛΑ'. γ. σελ. 452. π. 420. ν. -- ἐκείνους) τοὺς Ἐφόρους, ὅτι Θηραμένην ἔπεμψεν παρὰ τοὺς Ἐφόρους, ὡς κυρίους ὄντας εἰρήνης.

§. 10. ἐπὶ τίνι) Ἰδ. §. 3.

ὅτι αὐτοκράτορες περὶ εἰρήνης. 11. Μετὰ ταῦτα οἱ Ἔφοροι καλεῖν ἐκέλευον. Ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιςα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. 12. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν ἐν τοῖς μεγίςοις κινδύνοις γεναμένην τῇ Ἑλλάδι· ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ φυγάδας κατάξαντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας, Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται. 13. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα εἰς τὰς Ἀθήνας. Εἰςιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι, μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν, διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. 14. Τῇ δὲ ὑςεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν. 15. Ἀντειπόντων δέ τινων αὐτῷ, πολλῷ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ, καὶ οἱ φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

(κεφ. 3.) 16. Τῷ δ' ἐπιόντι ἔτει ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ' οὓς πολιτεύσουσι. —— Τούτων δὲ πραχθέντων ἀπέπλει Λύσανδρος πρὸς Σάμον. Ἆγις δ', ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν ςράτευμα, διέλυσε κατὰ πόλεις ἑκάςους.

§. 11. μὴ σπένδεσθαι) ἐννοεῖται τὸ κελεύοντας —— ἀλλ' ἐξαιρεῖν) τὴν πόλιν, τὸ ὁποῖον περιέχεται ἐν τῷ, Ἀθηναίοις.

§. 12. οὐκ ἔφασαν) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΑ'. Σημ. ς'. σελ. 478. π. 445. ν. Ἰδ. καὶ ἀριθμ. Ις'. 33. —— μέγα ἀγαθ. . . γενομ.) μάλιςα ἐπὶ τῶν Περσικῶν πολέμων —— ἐφ' ᾧτε. . . ἕπεσθαι) αἱ Μετοχαὶ ἐξαρτῶνται ἀπὸ τοῦ, ἕπεσθαι. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΕ' σελ. 489. π. 455. ν. Ἐφ' ᾧ. —— τοὺς φυγάδας) τοὺς ὀλιγαρχικούς, τοὺς φρονοῦντας τὰ τῶν Σπαρτιατῶν. —— τὸν αὐτὸν ἐχθρ.) τρόπος συνήθης τῆς συμμαχίας. Ξενοφ. Αναβ. Β'. ε. 39.

§. 13. ὄχλος. . . . φοβούμενοι) Ἰδ. Γραμ. Βουτ. §. ΡΙς'. β'. Παράβ. καὶ ἀριθμ. ΙΗ'. 3. ΚΑ'. 17. —— μὴ . ἥκοιεν) Γραμ. Βουτ. §. ΡΚς'. ε'. —— οὐ γὰρ ἐνεχ. μέλλ.) Ἰδ. ἀριθμ. ΙΕ'. 7. Ξενοφ. Οἰκονομ. 8. 16. „οὐ γὰρ ἐγχωρεῖ, ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάσσῃ μαςεύειν".

§. 14. οἱ φυγάδ.) Ἰδ. §. 12. —— ὑπ' αὐλητρ.) Παράβ. ἀριθμ. Γ'. §. 15.

§. 16. ἔδοξε) ἀναγκασθέντες ὑπὸ τοῦ Λυσάνδρου ἐψήφισαν. —— οἳ ξυγγράψ.) Ἰδ. ἀριθμ. Β'. §. 14. —— Δεκελ.) Δεκέλεια, πόλις ἐπὶ τῶν συνόρων τῆς Ἀττικῆς, τὴν ὁποίαν οἱ Σπαρτιᾶται ἐπὶ τοῦ πολέμου πολλοὺς χρόνους κατὰ συνέχειαν ἐκράτουν.

## ΙΕ΄.

## Διοίκησις τῶν τριάκοντα τυράννων.

### Θηραμένους θάνατος.

(Ξενοφ. Ελληνικ. Β΄. γ΄. 11.)

1. Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν, ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ ἐφ' ᾧτε ξυγγράψαι νόμους, καθ' οὕς τινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. 2. Επειτα πρῶτον μὲν, οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας, καὶ τοῖς καλοῖς καὶ ἀγαθοῖς βαρεῖς ὄντας, ξυλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥτε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο, οἵ τε ἄλλοι, ὅσοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο. 3. Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι, ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν, πέμψαντες ἐς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην, ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι ξυμπρᾶξαι ἐλθεῖν, ἕως δὴ, τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι, καταστήσαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. Ο δὲ, πεισθεὶς, τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς πεμφθῆναι.

4. Οἱ δ', ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη, ἃ πράττοιεν· τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο ξυνελάμβανον, οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς ξυνεθέλοντας λαμβάνειν.

5. Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· 6. Επεὶ δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτεῖναι, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε, λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο· ἐπεὶ καὶ ἐγὼ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει

§. 1. ἐφ' ᾧ τε ξυγγράψαι) ὀρθότερον ἴσως, ξυγγράφειν· καθὼς καὶ βιβλ. Γ΄. έ. 1. «ἐφ' ᾧ τε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους». Ξενοφ. Οἰκον. 4. 34. «πάντα κίνδυνον ὑπομένουσιν ἐφ' ᾧ πλείονα κτήσονται». Παράβ. ἀριθμ. ΙΗ΄. §. 48. — ἀποδεικνύναι) δημοσιεῦσαι.

§. 2. ᾔδεσαν) πρὸς Μετοχ. Ιδ. ἀριθμ. Β΄. §. 19. — θανάτου) Ιδ. ἀριθμ. Β΄. §. 19. Ελληνικ. Α΄. γ. 19. «ὑπαγόμενος θανάτου διὰ τὴν προδοσίαν ἀπέφυγεν». — ξυνῄδ. — ὄντες) Γραμ. Βουτ. §. ΡΛΑ΄. Β΄. β.

§. 3. ἤρξαντο) οἱ τριάκοντα. — ἐκ τούτου) Ιδ. §. 8. — Αἰσχ. καὶ Αρις.) καὶ οἱ δύο ἦσαν μέλη τῶν ἐκλελεγμένων. — θρέψειν) τοὺς φρουρούς. — ἁρμος.) Ιδ. ἀριθμ. Γ΄. 17.

§. 4. ὡς ἐπαινοίη) Ιδ. Γραμ. Βουτ. §. ΡΚϚ΄. β΄. ἀριθμ. ΙΔ΄. 13. — τῶν δὲ φρουρῶν) τὸ ὅλον κατὰ Γενικ. ὅπου ἠμπορεῖ νὰ ἐννοήσῃ τις τὸ τινάς. — οὓς) τῶν πολιτῶν. — ἂν) ὁ Αν ἀνήκει εἰς τὸ ἀνέχεσθαι καὶ λαμβάνειν· — ἐπιχειροῦντας) εἴ τι ἐπιχειροῖεν· ἢ ἐπιχειρεῖν θέλοιεν.

§. 6. ἐπεὶ δὲ) ἡ περίοδος αὕτη δὲν ἔχει κἀνέναν ἑπόμενον λόγον γραμματικῶς· ἡ δὲ συνέχεια τοῦ λόγου ἀναλαμβάνεται ἐν §. 8. πάλιν μὲ τὸ, ἐκ τούτου. — φυγὼν ὑπό.) ὑπὸ καὶ ὄχι ἀπὸ, καθὼς γράφεται κοινῶς. Πλούταρχ. ἐν Βίῳ Μ. Κάτ. 40. «Κικέρων ἐκ τῆς φυγῆς, ἣν ἔφυγεν ὑπὸ Κλωδίου, κατελθών». Ο Κριτίας ἐξωρίσθη ἐπὶ τῆς δημοκρατίας. — θανατοῦν, εἴ τις) ἀντί, θανατοῦν τινα ὅτι ἐτιμ. — καλ. καὶ ἀγ.) οὕτως ὠνόμαζον ἑαυτοὺς κατ' ἐξοχὴν οἱ ὀλιγαρχικοὶ τύραννοι. — τῇ πόλει) τῷ δήμῳ, εἰς τὸν καιρὸν τῆς δημοκρατίας, ὅτε καθεὶς ἤθελε νὰ ἦναι ἀρεστὸς εἰς τὸν δῆμον.

καὶ εἴπομεν καὶ ἐπράξαμεν. 7. Ὁ δὲ (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει) ἀντέλεγεν, ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις, μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν· εἰ δέ, ὅτι τριάκοντα ἐσμέν, καὶ οὐχ εἷς, ἧττόν τι οἴει (ὥσπερ τυραννίδος) ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ. 8. Ἐπεὶ δὲ, ἀποθνησκόντων πολλῶν καὶ ἀδίκως, πολλοὶ δῆλοι ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες, τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν· ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι οἱ ἐκ τῶν τριάκοντα, ἤδη φοβούμενοι, καὶ οὐχ ἥκιστα τὸν Θηραμένην, μὴ συῤῥυείησαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. 9 Ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ εἶναι, τὸ πρῶτον μὲν, βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν, κοινωνοὺς ποιήσασθαι τρισχιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τούτων σπουδαίους, οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι. Ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ὑμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους.

10. Ὁ μὲν ταῦτ' ἔλεγεν. Οἱ δὲ ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δὲ ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεισαν, πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς, τὰ ὅπλα πάντων, πλὴν τῶν τρισχιλίων, παρείλοντο· καὶ, ἀνακομίσαντες ταῦτα ἐς τὴν ἀκρόπολιν, ξυνέθηκαν ἐν τῷ ναῷ. 11. Τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. 12. Ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. 13. Ἐκέλευον δὲ καὶ τὸν

§. 7. οὐκ ἐγχ.) ἀριθμ. ΙΑ'. §. 13. — μὴ οὐκ) ἰδ. Γραμ. Βουτ. §. ΡΛΔ', σελ. 481. π. 447. ν. Οὐ μή. — εἰ δὲ) ἐννοείσθω ὡς ἡγούμενος λόγος· οὕτω πρέπει νὰ πράξῃ καθεὶς, ὅς τις θέλει νὰ διατηρήσῃ τὴν ἀνωτάτην ἐξουσίαν. — ὅτι τριάκ.) ὁ ἀριθμὸς δὲν κάμνει ἐνταῦθα κάμμίαν διάκρισιν· καὶ ὅ,τι ἤθελε κάμει εἷς μόνος εἰς στερέωσιν τῆς τυραννίας, πρέπει καὶ ἡμεῖς νὰ τὸ κάμωμεν. — ὥσπερ τυραν.) αἱ λέξεις αὗται, ἔμπροσθεν τῶν ὁποίων ἔπρεπε νὰ βάλῃ τις Η, φαίνεται ὅτι ἔλαβον τὴν ἀρχήν των ἀπὸ κάμμίαν ἐπὶ τῆς ἀρχῆς γεγραμμένην γλῶσσαν.

§. 8. δῆλοι ἦσαν) Παράβ. ἀριθμ. ΙΓ'. 7. ΙΖ'. 14. «ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν». — φοβούμενοι) καὶ τὰ ἄλλα δηλ. — οὐχ ἥκιστα) ἀριθμ. Ε'. §. 9. — μὴ συῤῥυείησαν) διόρθωσις τοῦ Ματθίου, ἀντὶ τοῦ, συῤῥύησαν.

§. 9. τὸ πρῶτον) ἀναφέρεται εἰς τὸ ἑπόμενον, ἔπειτα. — κοινωνποιῆσ.) αἱ λέξεις αὗται συνδέονται διττῶς, δηλ. καὶ μὲ τό, βουλομένους, καὶ μὲ τό, τρισχιλίους. — ὥσπερ) ἰδ. Γραμ. Βουτ. §. [illegible]Β'. Σημ. δ'. — εἴη) ὡς νὰ ἔλεγεν, ὡς εἰ ὁ ἀριθμὸς οὗτος ἀνάγκην τινὰ ἔχοι . . . . .

§. 10. τῶν ἔξω) ὅσοι δὲν περιείχοντο μεταξὺ τῶν 3000. — κελ. ἐπὶ τὰ ὅπλα) καθὼς καὶ §. 25. «ἐκέλευσα τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην.» Ξενοφ. Αναβ. Α'. ε'. 13. «παραγγέλλει εἰς τὰ ὅπλα». — ἐν ᾧ) χρόνῳ. Ἐν ᾧ οἱ πολῖται διεσκορπίσθησαν μὲ τὰ ὅπλα των. — ἐν τῷ ναῷ) τῆς Ἀθηνᾶς.

§. 11. ὡς ἐξὸν) Γραμ. Βουτ. §. ΦΑΒ'. Σημ. ς'. 6. Παράβ. καὶ §. 29.

§. 12. ἔδοξεν) ἡ Σύνταξ. ἔδοξεν αὐτοῖς ἕκαστον (τῶν τριάκοντα) λαβεῖν ἕνα τῶν μετ. — ἀποσημήν.) ἐπισφραγίσαι, δημεῦσαι.

§. 13. φάσκοντ. βελτίστ.) καλοὺς καὶ ἀγαθοὺς κατ' ἐξοχήν.

Θηραμένην λαβεῖν, ὅντινα βούλοιτο. Ο δ' ἀπεκρίνατο, ἀλλ' οὔ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι, φάσκοντας βελτίςους εἶναι, ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. 14. Ἐκεῖνοι μὲν γὰρ, παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν εἴων· ἡμεῖς δ' ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν· πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα; — 15. Οἱ δ', ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν ὅ,τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον, ὡς λυμαινόμενον τὴν πολιτείαν. 16. Καὶ παραγγείλαντες νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, ξυνέλεξαν τὴν βουλήν. 17. Ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν, ὁ Κριτίας ἀναςὰς αὐτὸν ὑπήγαγεν ὡς ἐχθρὸν τῇ ὀλιγαρχίᾳ, καὶ, διὰ τὸ εὐμετάβολον εἶναι, πολλῶν κακῶν τῇ πόλει αἴτιον γεγενημένον. (§. 34). 18. Καὶ πολλὰ ἄλλα λέξας, ἡμεῖς, οὖν, ἔφη, τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε. Καλλίςη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων· εἰ δ' ἐν ἐκείνῃ ἐπιχειρήσειέ τις τῶν Ἐφόρων, ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι, ψέγειν τε τὴν ἀρχὴν, καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ

§. 14. παρ' ὧν) τούτους, παρ' ὧν χρήμ. λαμβάν. Η Εὐκτικὴ δεικνύει τὴν ἀοριςίαν τῶν προσώπων καὶ τῶν χρόνων. —τῷ παντὶ) πάντως.
§. 15. οἱ δὲ) τριάκοντα.
§. 17. ὑπήγαγεν) κατηγόρησεν. — ὡς . . . γεγεν.) μόνον τὰ κυριώτερα τοῦ διεξοδ[illegible] τοῦ Κριτίου ἀναφέρονται ἐνταῦθα [illegible]
[illegible] ὑμᾶς) τὴν βουλήν. — οὐκ ἂν) ἡ Σύνταξ. ἀξιωθῆναι ἄν . .
§. [illegible] — ὡς) [illegible] διασαφητικόν, οὗτος γάρ. — πολλ. [illegible]) τουτέςι τῶν ἡμετέρων ἐχθρῶν. — τῶν ἔξω) τῶν φυγάδων.



ὑπ' αὐτῶν τῶν Ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίςης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου, ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε· ὡς οὗτος, σωθεὶς μὲν, πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν· ἀπολόμενος δὲ, πάντων, καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω, ὑποτέμοι ἂν τὰς ἐλπίδας.

(§. 30.) 19. Πρὸς ταῦτα τοῦ Θηραμένους ἀπολογησαμένου πολλὰ, καὶ τῆς βουλῆς εὐμενῶς ἐπιθορυβησάσης, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα, ἐξῆλθε, καὶ ἐπιςῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. 20. Πάλιν δ' εἰςελθὼν, εἶπεν. Ἐγὼ, ὦ βουλὴ, νομίζω, προςάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν, ὁρῶν τοὺς φίλους ἐξαπατωμένους, μὴ ἐπιτρέπῃ. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. 21. Καὶ γὰρ οἵδε οἱ ἐφεςηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα, τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. 22.

§. 19. εἰ ἐπιτρέψει) Ἰδ. ἀριθμ. ΙΑ'. 17. — ἀναφεύξοιτο) Ἰδ. ἀριθμ. Ι'. §. 1. — οὐ βιωτόν) ἀντὶ τοῦ ἐντελῶς, καὶ, εἰ τοῦτο γένοιτο, τὸν βίον οὐ βιωτὸν ἡγησάμ. — ἐπιςῆναι τῇ βουλῇ) νὰ πλησιάσωσιν εἰς τὴν βουλὴν ἕως εἰς τὰ κάγγελλα (δρύφακτα), καὶ μάλιςα οὕτως, ὥςε νὰ φαίνωνται τὰ ἐγχειρίδια.
§. 20. οἵου δεῖ) ἔπρεπε ν' ἀκολουθήσῃ μετὰ τοῦτο, ἐὰν ὁρᾷ (ὁρῴη) τοὺς φίλ. ἐξαπατ. μὴ ἐπιτρέπειν ἐξαπατᾶσθαι αὐτούς. Ἀλλ' ἡ τοῦ λόγου συνέχεια ἔγινεν οὕτως, ὡς νὰ προηγήθη, τοῦτον προςάτην εἶναι νομίζω ἀγαθὸν, ὅς . . . Ὡσαύτως καὶ Θουκυδ. Δ. 18. «σωφρόνων δὲ ἀνδρῶν, οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο». Ἀριςοφ. Θεσμ. 177. «σοφοῦ πρὸς ἀνδρὸς, ὅς τις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους».
§. 21. οἵδε) οἱ τὰ ἐγχειρίδια ἔχοντες. — οὔ φασιν) Ἰδ. ἀριθμ. ΙΑ'. §. 12. — εἰ ἀνήσ.) ἀριθμ. ΙΑ'. §. 17. ἀντὶ, ἀνιέναι τὸν ἄνδρα.
§. 22. τῶν ἔξω τοῦ κατ.) τὸ ὅλον κατὰ Γενικ. λείπει δὲ τὸ, πρὸς τὸ ὁποῖον ἀποδίδεται. ΙΒ'. §. 27. — ξυνδεκοῦν) Ονομαςικὰ ἀπόλ. Γραμ. Βουτ. §. ΡΑΒ'. Σημ. ς'. β'.

Ἐςι δὲ ἐν τοῖς καινοῖς νόμοις, τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν ὑμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν.

23. Ἀκούσας ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν Ἑςίαν, καὶ εἶπεν· „ Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμέ, μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ', ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. 24. Καὶ τοῦτο μέν, ἔφη, μὰ τοὺς θεούς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός· ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέςατοι. Ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοί, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον, ἢ τὸ ὑμῶν ἑκάςου. “

25. Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. Ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου, τοῦ θρασυτάτου αὐτῶν καὶ ἀναιδεςάτου, εἶπε μὲν ὁ Κριτίας· παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες, οἱ ἕνδεκα, οὗ δεῖ, τὰ ἐκ τούτων πράσσετε. 26. Ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. Ὁ δὲ Θηραμένης, ὥςπερ εἰκός, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους, καθορᾷν τὰ γιγνόμενα. 27. Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς, μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα, οἷα ἔπασχε. Λέγεται δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. 28. Ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξειεν, εἰ μὴ σιω-

§. 23. Ἑςίαν) ἐπὶ τὴν ἱερὰν ἑςίαν, ἡ ὁποία εὑρίσκετο εἰς τὸ βουλευτήριον — εἶπεν . . . ἔφη) συνήθης πλεονασμός. Ἰδ. §. 13. ἀπεκρίνατο . . ἔφη §. 25. — ἐπὶ Κριτίᾳ) Βιγέρ. σελ. 616. — ἀλλ', ὅνπερ) ἡ Σύνταξ. ἀλλὰ τὴν κρίσιν εἶναι κατὰ τὸν νόμον, ὃν περ οὗτοι ἔγραψαν.

§. 24. ὑμῶν . . . θαυμάζω) Γραμ. Βουτ. §. ΡΙΘ'. ἐ. α. Ἰσοκρ. Συμμ. σελ. 254 « θαυμάζω δὲ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι ». — καὶ ταῦτα) Βιγέρ. σελ. 177. — οὐδὲν . . εὐεξ.) ἀριθμ. ΚΓ'. 26 « οὐδὲν ἐνδεεῖς ταῖς ψυχαῖς γενόμενοι ».

§. 25. ἐκέλευσε . . ἐπὶ τὸν Θηρ.) νὰ πιάσωσι τὸν Θηραμένην. Παράβ. §. 21. — τοὺς ἕνδεκα) ὀνομάζονται ἕνδεκα, διότι ἐκλέγοντο ἀπὸ τὰς δέκα φυλὰς τῆς Ἀττικῆς, ὥςε ἑκάςη τῶν φυλῶν ἔδιδεν ἕνα, εἰς τοὺς ὁποίους προςετίθετο καὶ εἷς Γραμματεύς, διὰ τοῦτο ἐγίνοντο ἕνδεκα· εἰς αὐτοὺς παρεδίδοντο οἱ κατάδικοι, τοὺς ὁποίους ἐφόνευον διὰ τῶν ὑπηρετῶν. — ἐκεῖνοι εἰςελθ.) Ὀνομαςικὴ ἀπόλ. Γραμ. Βουτ. §. ΡΛΒ'. Σημ. α'. — οὗ δεῖ) εἰς τὸ δεσμωτήριον. — τὰ ἐκ τούτων) κατ' εὐφημισμόν, διὰ νὰ ἀποφύγῃ τὴν σκληρὰν ἀνάμνησιν τῆς ποινῆς. Παρομοίως καὶ ὁ Βροῦτος ἐπὶ τῆς κατηγορίας τῶν υἱῶν του. Πλούταρχ. ἐν βίῳ Ποπλικ. 6. « Ὁ δὲ Βροῦτος . . . ἀποςρέψας πρὸς τοὺς ὑπηρέτας τὸ πρόσωπον, Ὑμέτερον, εἶπε, τὸ λοιπὸν ἤδη ἔργον ».

§. 27. ὁμοίους) τουτέςι, τολμηροὺς καὶ ἀναιδεῖς.

§. 28. ὅτι οἰμώξειεν) ἤτοι ὁ ἂν παρεῤῥύη ἴσως, ἢ ὁ Ξενοφῶν ἔγραψεν, οἰμώξοιτο, τὸ ὁποῖον προβάλλει καὶ Στέφαν. Ὑῤῥίκος. Πλούταρχ. ἐν βίῳ Φωκίων. 21 « ἀποκρινομένου δὲ τοῦ Φωκίωνος, οἰμώξεσθαι τὸν Ἄρπαλον, εἰ μὴ παύσεται διαφθείρων τὴν πόλιν ». Οἰμώξῃ, οἰμώξεται, συνήθης φράσις ἀπειλῆς, ἰδία τῆς Ἀττικῆς διαλέκτου. — ἀποκοτταβ.) χύσαντα κατὰ γῆς τὸ λειπόμενον, καθὼς ἔκαμναν εἰς τὰ συμπόσια, εἰς τὰ ὁποῖα χύνοντες κάτω τὸν λειπόμενον εἰς τὸ ποτήριον οἶνον ἤκουον μὲ δεισιδαίμονα προσοχὴν τὸν κτύπον τοῦ χυνομένου οἴνου.

πήσειεν, ἐπήρετο· ἂν δὲ σιωπῶ, οὐκ ἄρα, ἔφη, οἰμώξομαι; Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν. Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ.

(κεφ. δ΄. 1) 29. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου, μὴ εἰσιέναι ἐς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵνα αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ ἐς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

## ΙϚ΄.

## Ἐπιχειρήματα τῶν φυγάδων.

(Ξενοφ. Ἑλληνικ. ἱσ. β΄. δ΄. 2).

1. Ἐκ δὲ τούτου Θρασύβουλος, ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα, Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. Οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, καὶ μάλ' εὐημερίας οὔσης. 2. Ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες

§. 29. ὡς ἐξὸν) Ἰδ. §. 11. — ἦγον) τινὰς δηλ. πρὸς θάνατον. — φευγόντων) πολλῶν τῶν πολιτῶν. — καὶ ἐντεῦθεν) ἐπειδὴ οἱ τύραννοι καὶ ἀπ' ἐδῶ ἔφερον εἰς τὰς Ἀθήνας πολλοὺς ὡς σφάγια τῆς τυραννίας. — ἐνέπλ. . . . τῶν ὑποχωρ.) Γραμ. Βουτ. §. ΡΙΘ΄. δ΄. 6.

ΙϚ΄

§. 1. ὡς) ἀριθμ. ΙΖ΄. 20. ΚΒ΄. 38. — καὶ σὺν) ΚΒ΄. 35. «ἄλλοι δὲ καὶ οἱ πλεῖστοι.»

§. 2. τραύμ. δὲ) ὁ μετὰ τὸ τραύματα δὲ φανερόνει ἔμφασιν, ἀντὶ τοῦ, ἀλλὰ πολὺ μᾶλλον.



τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν οὐδὲν, τραύματα δὲ λαβόντες ἀπῆλθον. 3. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτοὺς, ἀποκλείσαντες αὐτοῖς τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθής· καὶ τῇ ὑστεραίᾳ οἵδε νιφόμενοι ἀπῆλθον εἰς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. 4. Γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν εἰς τὰς ἐσχατιὰς, ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς, τούς τε Λακωνικοὺς, πλὴν ὀλίγων, φρουροὺς, καὶ τῶν ἱππέων δύο φυλάς. 5. Οὗτοι δὲ, στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον. Ὁ δὲ Θρασύβουλος, ἤδη ξυνειλεγμένων εἰς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτοὺς, καταβαίνει τῆς νυκτός. Θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν ἡσυχίαν εἶχεν. 6. Ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος, ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ

§. 3. ἐπιγν. . . χιὼν) φαινόμενον, τὸ ὁποῖον μετὰ τὴν εὐδίαν τῆς προτητερινῆς ἡμέρας ἐνομίζετο ὡς θαῦμα. — ὑπὸ τῶν) ὑπὸ, καὶ ὄχι ἀπό. Παράβ. ΙΕ΄. 6.

§ 4. λεηλατήσ. . . ἔσοιτο) εὐκτικὰ εἰς λόγον πλάγιον. Ἰδ. ἀριθμ. Γ΄. §. 1. — δύο φυλάς) τὸ ἱππικὸν τῶν Ἀθηναίων ἦτον διατεταγμένον κατὰ τὰς φυλάς.

§. 5. ξυνειλεγμ.) φυγάδων δηλ. — περὶ ἑπτ.) περίπου. Ἰδ. §. 27. — καταβ.) ἡ Φυλὴ ἔκειτο ἐπί τινος ὑψώματος.

§. 6. ἀνίσταντο) οἱ ἐν τῇ φρουρᾷ γενόμενοι. — ὅποι ἐδεῖτο) ὅπου ἕκαστος νὰ ὑπάγῃ χρείαν εἶχεν. — ἀπὸ τῶν ὅπλ.) ἀπὸ τοῦ στρατοπέδου, ὅπου ἦσαν τὰ ὅπλα αὐτῶν· Ἀναβ. Γ΄. α. 3. «ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα». — ἐν τούτῳ) τῷ χρόνῳ. — ἔστι μὲν οὖν) Ἰδ. Γραμ. Βουτ. §. ΡΑϚ΄. σελ. 500. π. 164. ν. καὶ §. 31. — τῶν ἱππ. Νικόστ.) Ἰδ. ἀριθμ. ΙΒ΄. §. 26.

ὅπλα δρόμῳ προςέπιπτον· καὶ ἔςι μὲν οὓς αὐτῶν κατέλαβον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ ςάδια· καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατὸν, τῶν δὲ ἱππέων Νικόςρατόν τε, τὸν Καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς. 7. Επαναχωρήσαντες δὲ, καὶ τρόπαιον ςησάμενοι, συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον, καὶ σκεύη, ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄςεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον· προςμείναντες δὲ, ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προςήκοντες, ἀνεχώρησαν εἰς τὸ ἄςυ. 8. Εκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ελευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγὴν, εἰ δεήσοι. 9. Καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν, ἦλθον ἐς Ελευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασιν δὲ ποιήσαντες ἐν τοῖς ἱππεῦσι φάσκοντες, εἰδέναι βούλεσθαι, πόσοι εἶεν καὶ πόσης φυλακῆς προςδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. Επὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέςησαν, τὸν δ' ἐξιόν-

§. 7. ἐπὶ Φ.) ἡ Επὶ μετὰ Γενικ. ἐπὶ τῶν κινήσεως σημαντικῶν ῥημάτων. Ιδ. ἀριθμ. ΙΗ'. §. 82. » πλεύσαντες ἐπὶ Σάμου. « ΙΘ'. §. 6. » ὁλκάδος ἀναγομένης ἐπ' Ιωνίας. »

§. 9. Η ὑπόθεσις τοῦ σκοτεινῶς ἀναφερομένου συμβάντος τούτου φαίνεται ὅτι ἔτρεξεν οὕτως· οἱ τύραννοι, συνοδευόμενοι ἀπὸ τὸ ἱππικόν των (ἐν τοῖς ἱππεῦσι) διέταξαν ἐν Ελευσῖνι πλαςῶς ἐξέτασιν ςρατιωτικήν. Εκαςος τῶν ἀπογραφομένων ἀπελύετο διά τινος θυρίδος πρὸς τὴν θάλασσαν, ὅπου ἱςέκοντο οἱ ἱππεῖς, ἐδέχοντο ἕνα ἕκαςον, καὶ ἀπῆγον αὐτόν.



τα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. 10. Επεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευσαν ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἕνδεκα. Τῇ δὲ ὑςεραίᾳ ἐς τὸ Ωιδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. 11. Αναςὰς δὲ Κριτίας ἔλεξεν. Ημεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν, ἢ ἡμῖν αὐτοῖς. Δεῖ οὖν ὑμᾶς, ὥςπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. Τῶν οὖν ξυνειλεγμένων Ελευσινίων καταψηφιςέον ἐςὶν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε. 12. Δείξας δέ τι χωρίον, ἐς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον. Οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ Ωιδείου ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεςὰ καὶ τῶν πολιτῶν ὅσοις

§. 10. πάντες) ὅλοι, ὅσους εἶχαν σκοπὸν νὰ πιάσωσιν. — ἀναγαγ.) ἀπὸ τῆς θαλάσσης πρὸς τὴν πόλιν ἐπάνω. — τοῖς ἕνδεκα) Ιδ. ἀριθμ. ΙΕ'. §. 25. — Ωιδεῖον) κτίριον διωρισμένον εἰς μουσικοὺς ἀγῶνας, ὅπου ἐσυνάζετο ἐνίοτε ὁ λαὸς καὶ ἐσυμβουλεύετο. Ιδ. ΙΒ'. 2.

§. 11. ἔλεξεν. . . ἔφη) Ιδ. ἀριθμ. ΙΕ'. §. 23. — ὑμῖν) ὁ λόγος ἀποτείνεται, φαίνεται, κατ' ἐξοχὴν πρὸς τὰ μέλη τῆς βουλῆς — ξυνειλεγμ.) πλέον κατάλληλον φαίνεται τὸ παρὰ τοῦ Μόρου προβαλλόμενον, ξυνειλημμένων. Ιδ. §. 10.

§. 12. φανερὰν) διὰ νὰ μὴ τολμᾷ κανεὶς νὰ εἴπῃ ἐλευθέρως τὴν γνώμην του. Λυσίας κατὰ Αγοράτ. 8· »Οἱ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. Τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι· τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑςέραν, τὴν δὲ σώζουσαν ἐπὶ τὴν προτέραν, ὥςε ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ λόγῳ ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰςῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγινώσκετο«. — ἐξωπλισμ.) τουτέςιν, ἐν τοῖς ὅπλοις ἦσαν. Τὸ Ωιδεῖον ἔκειτο ἐπάνω εἰς ὕψωμα μεταξὺ τοῦ Αρείου πάγου καὶ τῆς Ακροπόλεως, ὅπου ἐγίνοντο συνήθως καὶ αἱ συνελεύσεις τοῦ δήμου, τὸν ὁποῖον ἐκράτουν εἰς φόβον διὰ τῆς φρουρᾶς, τὴν ὁποίαν εἶχον ἐκεῖ.

τὸ πλεονεκτεῖν μόνον ἔμελεν. 13. Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς, περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς ἐς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα, ἐπεὶ ᾔσθοντο ταῦτα, ἐβοήθουν εὐθὺς αὐτόσε ξύν τε τοῖς Λακωνικοῖς, καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν ἐς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. 14. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, οὔπω πολλοῖς οὖσι, ξυνεσπειράσθησαν ἐπὶ τὴν Μουνυχίαν. 15. Οἱ δὲ ἐκ τοῦ ἄστεος ἐς τὴν Ἱπποδάμειαν ἀγορὰν ἐλθόντες, πρῶτον μὲν ξυνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. Οὕτω δὲ ξυντεταγμένοι ἐχώρουν ἄνω. 16. Οἱ δὲ

§. 13. περὶ χιλ.) Ἰδ. §. 5. — ἀναφέρουσαν) ὁδὸν, ἥτις ἔφερεν εἰς τόπον ὑψηλόν. ἐπειδὴ δὲ ὁ Πειραιεὺς ἔκειτο κάτω πρὸς τὴν θάλασσαν ἀντὶ τοῦ ἀναφέρουσαν γραπτέον, καταφέρουσαν ἢ ἁπλῶς φέρουσαν, κατὰ τὴν διόρθωσιν τοῦ Καλτβασσέρου.

§. 14. ἔτι μὲν) τὸ ἔτι φαίνεται κατὰ τὴν γνώμην τοῦ Σνειδέρου ὅτι πρέπει νὰ μεταβληθῇ εἰς τὸ τέως. — μὴ ἀνιέναι) ἀντὶ, κωλύειν αὐτοὺς, ὥστε μὴ ἀνιέναι. — ὁ κύκλος) ἡ περιφέρεια τοῦ ὑψώματος. — Μουνυχίαν) λόφον ἔρημον καὶ καρτερὸν, κατὰ Διόδωρον τὸν Σικ. ΙΔ'. 33.

§. 15. Ἱπποδάμ.) ὅλοι οἱ ἐνταῦθα ὀνομασθέντες τόποι ἔκειντο εἰς τὸν Πειραιᾶ. Ἱπποδάμεια ἀγορά· Ἁρποκρατ. ἐν λέξει Ἱπποδάμεια. « Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον ἀγορὰν φησιν εἶναι ἐν Πειραιεῖ καλουμένην Ἱπποδάμειαν, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομήσαντος τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ. » — Βενδίδειον) ναὸς τῆς Ἀρτέμιδος. — ἐγένοντο βαθ.) ἀντὶ, τὸ βάθος τοῦ στρατεύματος οὐκ ἦν ἔλαττον. — ἄνω) πρὸς τὸ παρὰ τῶν φυγάδων κατεχόμενον ὕψωμα.

§. 16. ἐπὶ δὲ τούτοις) τοῖς ἀκοντισταῖς δηλ. — αὐτόθεν) ἐπειδὴ ἐσυνάχθησαν ἀπὸ τὸν τόπον ἐκεῖ εἰς τὸ στράτευμα τοῦ Θρασυβούλου.



ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον ἢ ἐς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. 17. Ἐν ᾧ δὲ προσῄεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς, ἔλεξεν.

18. „ Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέρᾳ πέμπτῃ τρεψάμενοι ἐδιώξατε· οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὲ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. 19. Ἀλλὰ νῦν τοι παραγεγένηνται, οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς κα-

§. 17. θέσθαι τὰς ἀσπίδ.) κάτω θέσθαι, πρὸς τὸ ὁποῖον ἀναφέρεται τὸ εἰς §. 20. ἀνέλαβον τὰ ὅπλα.

§. 18. τοὺς μὲν διδάξαι) ὡς πρὸς τοὺς νεωστὶ εἰς αὐτὸν ἐλθόντας. — τῶν προσιόντων) ἡ Γενικ. συντακτικὴ τῶν μερῶν τοῦ ἀθροίσματος, οἱ μέν . . . οἱ δέ. — ἡμέρᾳ πέμπτῃ) ἀντὶ, πρὸ πέντε ἡμερῶν. — οὗτοι δὲ) ἡ ἐπανάληψις τοῦ Δὲ διὰ περισσοτέραν ἔμφασιν. — ἀπεσημαίν.) Ἰδ. ἀριθμ. ΙΕ'. §. 12. Τὸ Ἀποσημαίνεσθαι εἶναι ἐν χρήσει κυρίως ἐπὶ τῆς δημεύσεως τῶν ὑπαρχόντων· ὅθεν τραχεῖα ἡ ἐπὶ προσώπων ἐφαρμογὴ αὐτοῦ. Σαφέστερον ἤθελεν εἶναι τὸ εἰπεῖν, τὰ ἡμέτερα ἀπεσημαίνοντο καὶ τοὺς φιλτάτους ἀπέκτεινον· τὴν ὁποίαν ἀνάγνωσιν προβάλλει καὶ ὁ Βυττεμβάχιος.

§. 19. οὗ οὗτοι) τὸ Οὗ σημαίνει τὸν τόπον καὶ τὴν κατάστασιν. δηλ. ἐνταῦθα, ὅπου ἡ ἀνδρία μόνον καὶ τὸ δίκαιον, τὸ ὁποῖον καὶ οἱ θεοὶ βοηθοῦσιν, ἀποφασίζει. — οἱ δὲ) ἔνιοι ἐξ ἡμῶν. — οὐχ ὅπως . . . ἀλλ' οὐδὲ) ἀριθμ. ΚΖ'. 3. Γραμ. Βουτ. §. ΡΑΓ'. σελ. 493. π. 458. ν. Ὅπως. Ἑρμάν. εἰς Βιγέρ. σελ. 786. 253.

θέσαμεν· οἱ δὲ Θεοὶ, ὅτι ποτὲ καὶ δειπνοῦντες ξυναλαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. 20. Καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ· καὶ ὅταν ἐπιχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασι. 21. Καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς ἐς χωρίον, ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν, οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων, διὰ τὸ πρὸς ὄρθιον ἰέναι, δύναιντ' ἄν· ἡμεῖς δὲ, ἐς τὸ κάταντες καὶ δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους, ἐξιξόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατατρώσομεν. 22. Καὶ ᾤετο μὲν ἄν τις δεήσειν τοῖς γε προστάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δὲ, ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς, ὧν γε μεστὴ ἡ ὁδός, φυλαττόμενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν, ὅπου ἂν βουλώμεθα, καὶ ἐναλλομένους ἀνατρέπειν. 23. Ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. Αὕτη γὰρ ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα, καὶ οἴκους, καὶ ἐλευθερίαν, καὶ

§. 20. ἐν εὐδίᾳ) Ἰδ. §. 1. καὶ 3. — ὀλίγοις οὖσι) ἡμῖν δηλ.
§. 21. κεκομίκ.) οἱ θεοὶ δηλ.
§. 22. τοῖς γε προστ.) τοὐλάχιστον εἰς ἐκείνους, οἱ ὁποῖοι στέκονται εἰς τὴν πρώτην ἀράδαν. Προστάταις ἀντὶ πρωτοστάταις — νῦν δὲ) τοῦτο δὲ, ὅ,τι ἐν ἄλλαις μάχαις γίνεσθαι φιλεῖ, νῦν οὐ γενήσεται. — οὐδεὶς) αὐτῶν, ὧν γε. — ὑπὸ ταῖς ἀσπ.) κρατοῦντες τὰς ἀσπίδας ὑπὲρ κεφαλῆς διὰ νὰ φυλάττωνται ἀπὸ τοὺς ἄνωθεν προσβάλλοντας. — ὥστε) ἡ Σύνταξ. ἐξέσται, ἡμᾶς ἐναλλομένους, ἀνατρέπειν αὐτούς· ἀντὶ δὲ τούτου, πρὸς ἀποφυγὴν καὶ τῆς ἀμφιβολίας, ἠμποροῦσε νὰ ἦναι, ἐξέσται ἡμῖν ἐναλ. ἀνατρ. αὐτούς.
§. 23. ὅπως . . ξυνείσ.) Ἰδ. Β'. §. 13.



τιμάς, καὶ παῖδας, οἷς εἰσὶ, καὶ γυναῖκας. 24. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ· μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. Ἐξάρξω μὲν οὖν ἐγώ, ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδόν, ἀνθ' ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας."

25. Ταῦτα δ' εἰπὼν καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους, ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγειλεν αὐτοῖς, μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων ἢ πέσοι τις, ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς· νίκη δὲ ἡμῖν ἔσται ἑπομένη, ἐμοὶ μέν τοι θάνατος, ὥς γ' ἐμοὶ δοκεῖ. 26. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν, ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισσοῦ· οἱ δ' ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. 27. Ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ' ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν δ' ἄλλων περὶ ἑβδομήκοντα. Καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. 28. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑπο-

§. 24. πλούσιος ὢν) οὐδεὶς πλούσ. ὢν οὕτω καλοῦ μὲν τεύξ. ἢ ὁ ἐν τῇ μάχῃ ἀποθανών. — ἀνθ' ὧν) Ἰδ. Γραμ. Βουτ. §. ΡΛϚ'. σελ. 498. π. 462 ν.
§. 26. ἀνέλ. τὰ ὅπλα) Ἰδ. §. 17. — Κηφισσοῦ) Κηφισσὸς ποταμὸς σιμὰ τῶν Ἀθηνῶν.
§. 27. τῶν μὲν τρ. Κριτ.) Ἰδ. ἀριθμ. ΙΒ'. §. 26. — τῶν ἐν Πειρ. δέκα) παράβ. ἀριθμ. Ι'. §. 16. — τὰ ὅπλα) τῶν πεπτωκότων.
§. 28. προσιόντ.) ἐπὶ τῆς ἀνακωχῆς συνανεστρέφοντο ἀναμεταξύ των καὶ ἀπὸ τὰ δύο στρατεύματα.

σπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο. 29. (Κλεόκριτος δὲ ὁ τῶν Μυςῶν κήρυξ, μάλ' ἔμφωνος ὤν, κατασιωπησάμενος ἔλεξεν. ,, Ἄνδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε;) ἡμεῖς γὰρ ὑμᾶς κακὸν οὐδεπώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίςων, καὶ ξυγχορευταὶ καὶ ξυμφοιτηταὶ γεγενήμεθα, καὶ ξυςρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ θάλατταν, ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. 30. Πρὸς θεῶν πατρῴων καὶ μητρῴων, καὶ ξυγγενείας, καὶ κηδεςίας, καὶ ἑταιρίας (πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις) αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους, παύσασθε ἁμαρτάνοντες ἐς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησίν, ἢ πάντες Πελοποννήσιοι, δέκα ἔτη πολεμοῦντες. 31. Ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, οὗτοι τῶν πάντων αἴσχι-

§. 29. ὁ τῶν Μυς. κήρ.) ὁ ἱεροκήρυξ εἰς τὰ Ἐλευσίνια μυςήρια, εἷς τῶν Εὐμολπιδῶν. — κατασιωπησ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΚΒ'. δ'. — μετεσχήκ.) διὰ τὸ ἐπιφερόμενον ὑμῖν ὀρθότερον ἤθελεν εἶναι τό, συμμετεσχήκαμεν, κατὰ τὸν Μόρον. — ἱερῶν τῶν σεμν.) ἱερὰ σεμνὰ κατ' ἐξοχὴν τὰ μυςήρια. — ξυγχορευταὶ) ἐπὶ παραςάσεως τῶν δραμάτων καὶ τῶν χορῶν εἰς τὰς ἑορτάς. — ξυμφοιτ.) Πλούταρχ. ἐν βίῳ Φωκ. 38. » φίλος ὢν τοῦ Φωκίωνος καὶ συμπεφοιτηκώς . . . . ὁ Φωκίων ἔλεγε, μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ, μήτ' ἄλλως γεγονέναι γνώριμος ἢ συνήθης ».

§ 30. ξυγγεν.) συγγενείας τῆς ἐξ αἵματος. — κηδες.) συγγενείας ἐξ ἐπιγαμίας. — ὀλίγου δεῖν) ΚΕ'. §. 7. Γραμ. Βουτ. §. ΚΑς'. σελ. 499. π. 403. γ.

§. 31. ἐξὸν) Ἰδ. ἀριθμ. ΙΕ'. §. 11. 29. ΚΓ'. §. 23. — ἔςιν οὓς) Ἰδ. §. 6.



ςόν τε καὶ χαλεπώτατον, καὶ ἀνοσιώτατον, καὶ ἔχθιςον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. Ἀλλ' εὖ γε μέντοι ἐπίςασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ὑμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔςιν οὓς πολλὰ κατεδακρύσαμεν.''

32. Ὁ μὲν τοιαῦτα ἔλεγεν. Οἱ δὲ λοιποὶ ἄρχοντες, καὶ διὰ τὸ τοιαῦτα προσακούειν, τοὺς μεθ' ἑαυτῶν ἀπήγαγον ἐς τὸ ἄςυ. Τῇ δ' ὑςεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων, ὅπου ἕκαςοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. 33. Ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον, καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίςευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο, ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι, καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

§. 32. οἱ δὲ λοιποὶ ἄρχ.) ὅσοι ἔμειναν καὶ δὲν ἀπέθανον ἐν τῷ πολέμῳ. — καὶ διὰ τὸ) προϋπακουςέον ἔξωθεν, καὶ διὰ τὴν ἧτταν. — ταπεινοὶ) Πλούταρχ. Φωκ. 9. » πολεμοῦντες ἦσαν ταπεινοὶ καὶ περιδεεῖς ». καὶ ἐν βίῳ Τιβ. Γράκχ. 13. » ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς καὶ δεδακρυμένος »

§. 33. τοῖς ἐν Πειρ.) τοῖς φυγάσιν. — οὐκ ἔφασ.) Ἰδ. ἀριθμ. ΙΑ'. 12. — φυλῆς) Ἰδ. ἀριθμ. Β'. §. 1.

# ΙΖ'.

## Ελευθέρωσις τῶν Αθηνῶν.

### Κήρυξις τῆς ἀμνηστίας.

(Ξενοφ. Ελληνικ. Β'. δ'. 24)

(κεφ. 4.) 1. Καὶ οἱ μὲν τριάκοντα Ελευσίναδε ἀπῆλθον· οἱ δὲ δέκα τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. 2. Εξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ωδείῳ, τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφωδεύοντο τὸ μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. 3. Οἱ δὲ, πολλοὶ ὄντες καὶ παντοδαποί, ὅπλα ἐποιοῦντο, οἱ μὲν

§. 1. οἱ δὲ δέκα) Ιδ. Ις'. §. 33. — τοῖς ἱππάρχ.) δύο ἵππαρχοι μόνον ἦσαν εἰς ὅλον τὸ ἱππικὸν τῶν Αθηναίων. — ἡ Σύνταξ. ἐπεμέλ. τῶν ἐν ἄστει.

§. 2. ἐξεκάθ.) ἡ Εκ ἐν συνθέσει φανερόνει ἐνίοτε τὴν ἀπὸ τοῦ συνήθους τόπου ἀπόστασιν. Τὸ Ωιδεῖον (Ιδ. ἀριθμ. Ις'. 12.) ἔγινε τώρα καταγώγιον καὶ νυκτερινὸν κατάλυμα τῶν ἱππέων. — ἔχοντες) καθὼς εἰς τὸν κάμπον, ὄντες πάντοτε ἕτοιμοι διὰ νὰ ἀπαντήσωσι κάμμίαν ἐπιδρομήν. — τὸ ἀφ' ἑσπ.) πολλάκις ἐπὶ χρόνου διορισμοῦ τίθεται τὸ ἄρθρον τὸ πρὸ τῆς προθέσεως· οἷον τὸ ἀπὸ τούτου. τὸ μέχρι τούτου. Γραμ. Βουτ §. ΡΙΒ'. Σημ. 6'. — τῶν ἐκ τοῦ Π.) καθὼς τοῖς ἐν Πειραιεῖ. Ις'. §. 33.

§. 3. οἱ δὲ) ἐν Πειραιεῖ. — παντοδαποὶ) διότι πανταχόθεν συνέτρεξαν εἰς αὐτοὺς βοήθεια. — ὅπλ. ξύλινα... οἰσύϊνα) ξύλινα, ἀπὸ ὁλόκληρα κομμάτια ξύλων κατεσκευασμένας· οἰσύϊνα, ἀπὸ ἰτέας πλεγμένας ἀσπίδας. — ἐλευκοῦντο) τὰς ἄλειφαν μὲ λευκόν τι χρῶμα, διὰ νὰ θαμβόνωσι τοὺς ἐχθρούς· Πλούταρχ. ἐν βίῳ Μαρίου. 25. περὶ τῶν Κίμβρων ·· θυρεοῖς λευκοῖς στίλβοντες. ·



ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. 4. Πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξῄεσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες (ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα)· προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. 5. Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξῄει, οἱ δ' ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. 6. Περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν ἐς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας, καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. 7. Ανταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον, φυλῆς Λεοντίδος· καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος προσέβαλον. 8. Εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ,

§. 4. πιστὰ δόντ.) ἡ Σύνταξ. πιστὰ δόντες, ἰσοτ. ἔσεσθαι πᾶσιν, οἵ ξυμπ. καὶ εἰ ξένοι εἶεν. Οἱ Ισοτελεῖς ἦσαν μεταξὺ τῶν πολιτῶν καὶ τῶν μετοίκων, πάντα ἔχοντες τὰ αὐτὰ τοῖς πολίταις, πλὴν τοῦ ἄρχειν. — ὡσεὶ ἑβδ.) Ιδ. ἀριθμ. Ις'. §. 1. — ἐκάθ. πάλιν) τουτέστι πρὸ νυκτὸς ἐπανήρχοντο πάλιν εἰς τὸν Πειραιᾶ.

§. 5. ἔστιν ὅτε) Ιδ. Γραμ. Βουτ. §. ΡΛς'. σελ. 500. π. 464. ν. Εστι. — λῃστὰς) εἰς προνομὴν στελλομένους ἀνθρώπους. — τὴν φάλ.) τὴν φυλακὴν τῶν εἰς προνομὴν στελλομένων.

§. 6. Αἰξωνέων) (κατὰ τὴν διόρθωσιν τοῦ Παλμερίου, ἀντὶ ἔξω νέων.) Αἰξωνεῖς, ἄνθρωποι ἀπὸ τὸν πρὸς μεσημβρίαν τῶν Αθηνῶν κατοικοῦντα δῆμον Αἰξώνην, οἱ ὁποῖοι ἐπήγαιναν εἰς τὰ ἀναγκαῖα αὐτῶν ἔργα (ἐπὶ τὰ ἐπιτήδεια). — ἱππέων) τοῦ Λυσιμάχου δηλ.

§. 7. τῶν ἱππέων Καλλ.) Ιδ. ἀριθμ. ΙΒ'. §. 26. — πρὸς τὸ τείχ.) καὶ τοῖς τείχεσιν προσβάλλειν.

§. 8. εἰδὲ καὶ) τρόπος μετριοφροσύνης, διὰ νὰ εἰσάξῃ ἴσως περίστασιν μὴ μεγάλην φαινομένην· ταὐτὸν τῷ, καὶ τοῦτο ἴσως μνήμης οὐκ ἀνάξιον, ὅτι μηχανοποιὸς ἦν. — ἐκ Λυκείου) Λύκειον, δη-

τοῦ ἐν τῷ ἄστει, ὅς, ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προςάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν καὶ καταβάλλειν, ὅπου ἕκαςος βούλοιτο τοῦ δρόμου. Ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαςος τῶν λίθων πράγματα παρεῖχε.

9. Πεμπόντων δὲ πρέσβεις ἐς Λακεδαίμονα, τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν καταλόγῳ ἐξ ἄςεος, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεςηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν, ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοςήν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. 10. Καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνάδε ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰςπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥςτε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄςει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. 11. Οὕτω δὲ προχωρούν-

μοσιον γυμνάσιον ἔξω τῶν Ἀθηνῶν πρὸς τὸ μέρος τοῦ Πειραιῶς κείμενον. — πάντα) ὅσα γε ἐν τῇ πόλει ἦν. — ὅπου... τοῦ δρόμου) ἐν ᾧ τινι μέρει τοῦ δρόμου ἕκαςος βούλοιτο. Ἰδ. Γραμ. Βουτ. §. ΡΙΘ'. γ. β. β. σελ. 416. π. 383. υ. — πράγμ. παρ.) τοῖς πολιορκήσουσιν.

§. 9. ἐν καταλ.) Ἰδ. ἀριθμ. ΙΕ'. §. 10. — κελευόντων) ἀριθμ. ΙΗ'. §. 11. 43. — ὡς) μετὰ Γενικ. ἀπολ. Ἰδ. ἀριθμ. Ε'. §. 2. — ὅτι οἷόν τε εἴη) ἡ Εὐκτικὴ ὡς ἔκφρασις τῶν λογισμῶν τοῦ Λυσάνδρου. — ξυνέπρ.) ΙΕ'. 3. — ἑκατὸν) Ἰδ. ἀριθμ. Κϛ'. §. 6. — ἁρμοςήν) ΙΕ'. 3.

§. 10. ὅπως... εἰςπλέοι) Ἰδ. Β'. 7.

§. 11. προχωρούντων) τῶν πραγμάτων. Ἰδ. ἀριθμ. ΙΗ'. 65. — εἰ... εὐδοκιμήσοι) ἡ Εὐκτικὴ καθὼς καὶ ἐν §. 9. — ἰδίας) διὰ τῆς ἐπιῤῥοῆς, τὴν ὁποίαν εἶχε διὰ τὴν ἐξουσίαν τῶν ὀλιγαρχικῶν ὀπαδῶν του. Ἰδ. ἀριθμ. Γ'. §. 4. — τρεῖς) τρεῖς τῶν πέντε, οἱ



των, Παυσανίας ὁ βασιλεύς, φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσαιτο τὰς Ἀθήνας, πείσας τῶν Ἐφόρων τρεῖς, ἐξάγει φρουράν. 12. Ξυνείποντο δὲ καὶ οἱ ξύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων. Οὗτοι δ' ἔλεγον μέν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν ςρατευόμενοι ἐπ' Ἀθηναίους, μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιςὴν ποιήσασθαι.

13. Ὁ δὲ Παυσανίας ἐςρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ, δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. 14. Πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δὲ οὐκ ἐπείθοντο προςέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. 15. Ἐπεὶ δ' οὐδὲν ἄξιον τῆς προςβολῆς πράξας ἀπῆλθε, τῇ ὑςεραίᾳ, λαβὼν τῶν μὲν Λακεδαιμο-

ὁποῖοι ἐκλέγοντο κατ' ἔτος. — φρουράν) ςράτευμα ἁπλῶς παρὰ Λακεδαιμονίοις, καὶ ὄχι ὅ,τι σημαίνει κυρίως ἡ λέξις.

§. 12. εὐορκεῖν ἂν) ἀντὶ εὐορκήσειν. Ἰδ. ἀριθμ. ΙΑ'. 3. ΙΕ'. 4. 13 — ἐγίγν... βουλομένους) Ἰδ. ἀριθμ. ΙΗ'. 47.

§. 13. Ἁλιπέδῳ) τόπος πλησίον τοῦ αἰγιαλοῦ κείμενος, ὡς φαίνεται, πρὸς ἄρκτον τοῦ Πειραιῶς.

§. 14. ἐπὶ τὰ ἑαυτῶν) ἕκαςος εἰς τὰ ἴδιά του. Τὸ πρόβλημα τοῦτο, διὰ τοῦ ὁποίου ἀνῃρεῖτο ἡ ἐξορία, δὲν τὸ ἐδέχθησαν, ἀπὸ δυσπιςίαν ἴσως. — ὅσον ἀπὸ βοῆς ἕνεκεν) ἔκφρασις σύνθετος ἀπὸ δύο ἰσοδυνάμους φράσεις, ὅσον ἀπὸ βοῆς, καὶ βοῆς ἕνεκεν· ἡ ἔννοια περισσότερον μὲ βοὴν καὶ θόρυβον, παρὰ μὲ δύναμιν· μόνον διὰ τὸ φαινόμενον. — μὴ δῆλος) Ἰδ. ΙΕ'. §. 8.

§. 15. οὐδὲν ἄξιον τῆς) ἡ παλαιὰ γραφὴ ἦτον, οὐδὲν ἀπὸ τῆς προςβολῆς, ἐκ τῆς ὁποίας προέκυψεν ἡ νεωτέρα. Ἰδ. ἀριθμ. Ε'. §. 23. » οὐδὲν ὑπ' αὐτῶν, ἐπράχθη τῆς δυνάμεως ἄξιον. » — μόρας.) τὸ ὅλον ςράτευμα διῃρεῖτο παρὰ τοῖς Σπαρτιάταις εἰς διάφορα τάγματα, τῶν ὁποίων ἡ μόρα ἦτον τὸ μεγαλήτερον, καὶ συνίςατο ἀπὸ 400 ἕως 500

νίων δύο μόρας, τῶν δὲ Αθηναίων ἱππέων τρεῖς φυλὰς, παρῆλθεν ἐπὶ τὸν Κωφὸν Λιμένα, σκοπῶν πῆ εὐαποτείχιςος εἴη ὁ Πειραιεύς. 16. Επεὶ δὲ ἀπιόντος αὐτοῦ προςέθεόν τινες, καὶ πράγματά αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε, τοὺς μὲν ἱππέας ἐλαύνειν ἐς αὐτοὺς ἀνέντας, καὶ τοὺς τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. Καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον. 17. Εκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελταςαὶ πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. Καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρησαν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. 18. Ενταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ Ολυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. 19. Ορῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται ἐβοήθουν, καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. Ο δὲ

---

ἀνδρῶν. — Κωφὸν λιμ.) Κωφὸς λιμὴν φαίνεται ὅτι ἦτον εἷς τῶν παρὰ τῷ Πειραιεῖ μικρῶν λιμένων. — σκοπῶν) ἐκαμόνετο ὅτι θέλει νὰ ἀποχωρίσῃ τὸν Πειραιᾶ ἀπὸ τὰ πέριξ μέρη.

§. 16. τινὲς) τῶν ἐκ τοῦ Πειραιῶς. — τοὺς τὰ δέκα ἀφ' ἥβης) τουτέςιν ἡλικίας ἔτη ἔχοντας ὅσοι ἐςράτευον ἤδη δέκα ἔτη. — τὸ θέατρον) ὅπου οἱ φυγάδες εἶχον τὴν μεγάλην αὐτῶν φυλακήν, καθὼς οἱ ὀλιγάρχαι ἐν τῷ Ωιδείῳ.

§. 17. ἐξοπλιζόμ.) Ιδ. περὶ τῆς σημασίας τῆς Εκ. §. 2. — ἐπὶ πόδα) Ιδ. Βιγέρ. σελ. 627.

§. 18. πολεμάρχω) πολέμαρχοι, οἱ παρὰ τῶν βασιλέων ὡς σύμβουλοι αὐτῶν ἐκλελεγμένοι ςρατηγοὶ τῶν μορῶν εἰς τὸ ςράτευμα τῶν Σπαρτιατῶν.

§. 19. ἐπ' ὀκτὼ) ἀνὰ ὀκτὼ τὸ βάθος. Ιδ. Βιγέρ. σελ. 612. II.



Παυσανίας μάλα πιεσθεὶς, καὶ ἀναχωρήσας ὅσον ςάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινὰ, παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. 20. Εκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς Αθηναίους. Οἱ δ' ἐς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν ἐς τὸν ἐν ταῖς Αλαῖς πηλόν, οἱ δ' ἐνέκλιναν. Καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν.

21. Ο δὲ Παυσανίας τρόπαιον ςησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὧς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπεν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας Εφόρους· οἱ δ' ἐπείθοντο. 22. Διΐςησι δὲ καὶ τοὺς ἐν τῷ ἄςει, καὶ ἐκέλευε, πρὸς σφᾶς προςιέναι ὡς πλείςους ξυλλεγομένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι. 23. Ηδέως ταῦτα καὶ Ναυκλείδας, Εφορος ὤν, ξυνήκουεν (ὥςπερ γὰρ νομίζεται, ξὺν βασιλεῖ δύο τῶν Εφόρων ξυςρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλ-

---

§. 20. ἐν ταῖς Αλαῖς) δύο δῆμοι τῆς Αττικῆς ἦσαν, οἱ ὁποῖοι ὠνομάζοντο Αλαί, ὁ μὲν εἷς πρὸς τὰ ἀνατολικὰ παραθαλάσσια, ὁ δὲ ἄλλος πρὸς τὰ δυτικὰ, κατὰ μεσημβρίαν τῶν Αθηνῶν. Ενταῦθα ἐννοεῖται ὁ δεύτερος (Αλαὶ Αἰξωνίδες), ἐπειδὴ ἡ μάχη ἔγινε πλησίον τοῦ Πειραιῶς.

§. 21. ἐδίδασκε) ἀριθμ. ΙΘ'. §. 3. « ὁ δέ, τῆς γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ' αὐτῆς . . . »

§. 22. πρὸς σφᾶς) πρὸς αὐτὸν καὶ πρὸς τοὺς ἐφόρους. — οὐδὲν) ἀριθμ. ΙΕ'. §. 24.

§. 23. ἔπεμπον) οἱ Εφοροι. — ἔχοντας) τὰς πρὸ τῶν κυρίων συμφωνιῶν γεγονυίας διαλύσεις. — ἰδιώτας) ἰδιῶται, ἐναντίον τοῦ τύραννοι. — ἀπὸ τῶν) ἀριθμ. Ι'. 5.

λον ἢ τῆς μετὰ Λυσάνδρου)· διὰ ταῦτα οὖν καὶ ἐς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ Πειραιῶς ἄρχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδὰς, καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄςει ἰδιώτας, Κηφισοφῶντά τε καὶ Μέλιτον. 24. Επεὶ μέντοι οὗτοι ᾤχοντο ἐς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄςεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις, χρῆσθαι ὅ,τι βούλονται· ἀξιοῦν δ' ἔφασαν καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν. 25. Ακούσαντες δὲ πάντων αὐτῶν οἱ Εφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας ἐς τὰς Αθήνας, καὶ ἐπέταξαν ξὺν Παυσανίᾳ διαλλάξαι, ὅπη δύναιντο κάλλιςα. Οἱ δὲ διήλλαξαν ἐφ' ᾧ τε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάςους, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. Εἰ δέ τινες φοβοῖντο τῶν

§. 24. οἱ ἀπὸ τοῦ κοινοῦ) ἀντίθετον τοῦ ἰδιῶται. — λέγοντας) τοὺς πρέσβεις. — ἃ ἔχουσι) ὅτι μέρος τοῦ τείχους κατέσκαπτο. — χρῆσθαι ὅ,τι βούλ.) ἔκφρασις τῆς ὑποταγῆς. Ιδ. ἀριθμ. ΚΒ. §. 49. ΚΑ'. §. 13. Παραβ. καὶ Βιγέρ. σελ. 324. 4.

§. 25. οἱ ἔκκλητοι) ἡ ἐκκλησία τῶν Λακεδαιμονίων. — ὅπη δύν. κάλλιςα) Ιδ. περὶ τῆς θέσεως τῶν λέξεων ταύτης Βιγέρ. σελ. 562. Σημ. καὶ σελ. 807. 356. — ἐφ' ᾧτε) Ιδ. ἀριθμ. ΙΚ'. §. 1. — ὡς πρὸς ἀλλ.) περὶ τῆς χρήσεως τοῦ Ὡς πρὸ τῆς Επὶ καὶ Πρὸς, ἐκφράζοντος τὸν σκοπὸν, Ιδ Γραμ. Βουτ. §. ΡΛΑ'. σελ. 482. π. 448. ν. ἀριθμ. ΙΗ'. §. 13. ΚΒ'. §. 21. — ἐπὶ τὰ ἑαυτῶν) Ιδ. §. 14. — τῶν ἕνδεκα) οἱ ἕνδεκα, ὡς οἱ ἔγγιςα βοηθοὶ τῶν τυράννων. ΙΚ. §. 25. Ις'. §. 10. — εἴτινες φοβ.) ὀνομασία γενικὴ καὶ μετρία τῶν συμμετόχων τῆς τυραννίας. — ἔδοξεν αὐτοῖς) τοῖς περὶ Παυσανίαν. — κατοικ.) τούτους δηλ.



ἐξ ἄςεος, ἔδοξεν αὐτοῖς τὴν Ελευσῖνα κατοικεῖν. 26. Τούτων δὲ περανθέντων, Παυσανίας μὲν διῆκε τὸ ςράτευμα· οἱ δὲ ἐκ τοῦ Πειραιῶς, ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ Αθηνᾷ. Επεὶ δὲ κατέβησαν οἱ ςρατηγοὶ, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν.

27. ,, Υμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄςεος ἄνδρες, ξυμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Μάλιςα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐςίν, ὥς τε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. 28. Πότερον δικαιότεροι ἐςέ; Αλλ' ὁ μὲν δῆμος, πενέστερος ὑμῶν ὢν, οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν· ὑμεῖς δὲ, πλουσιώτεροι πάντων ὄντες, καὶ πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. 29. Επεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρίᾳ ὑμῖν μέγα φρονητέον. Καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; 30. Αλλὰ γνώμῃ φαίητ' ἂν προέχειν, οἵ, ἔχοντες καὶ τεῖχος, καὶ ὅπλα, καὶ χρήματα, καὶ ξυμ-

§. 26. ἐπεὶ δὲ κατ.) οἱ ςρατηγοὶ προηγήθησαν τῆς πομπῆς, τῆς εἰς τὴν Ακρόπολιν ἀνελθούσης· παρὰ τοὺς πρόποδας τῆς ὁποίας, ὅπου ἦτον ὁ συνήθης τόπος τῶν συνελεύσεων τῶν πολιτῶν, ἡ Πνὺξ, φαίνεται, ὅτι ἐξεφωνήθη ὁ λόγος. — ἔνθα δὴ) Ιδ. §. 24. ἀριθμ. ΙΗ'. §. 13.

§. 27. γνῶναι ὑμ. αὐτ.) ἵνα μήτε ὑμεῖς ὑπὲρ τὴν ἀξίαν ἑαυτοὺς τιμήσητε, μήτε ἡμᾶς παρ' ἀξίαν καταφρονήσητε. — ἐπὶ τίνι) εἰς τί θεμελιοῦται ἡ ὑμετέρα μεγαλοφροσύνη.

§. 28. πολλὰ καὶ αἰσχ.) Ιδ. Ερμάν. εἰς Βιγέρ. σελ. 797. §. 223.

§. 29. εἰ ἄρα) Βιγέρ. σελ. 487. — ἢ ὡς) τὸ πλῆρες ἢ εἴ τις σκοπεῖν θέλοι, ὡς ἐπολ.

§. 30. περιελ.) λείπει ἐκ τῆς λέξεως ταύτης ἡ προσθήκη « εἰς τοῦτο, εἰς ταύτην τὴν τύχην.» δηλ. ὑμεῖς, οἱ ὁποῖοι, φθάσαντες εἰς αὐτὴν ὑμῶν τὴν τωρινὴν κατάςασιν, ἐνικήθητε; Αντὶ τοῦ περιεληλύθατε προβάλλουσι τινὲς τὴν ἀνάγνωσιν περιείληφθε, καὶ περιηρέθητε.

μάχους Πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων περιεληλύθατε; 31 Ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φροντητέον εἶναι; πῶς; οἵ γε, ὥσπερ οἱ τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ, οἴχονται ἀπιόντες. 32. Οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ ὧν ὀμωμόκατε παραβῆναι οὐδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοι ἐστέ."

33. Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. 34. Καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο· ὑστέρῳ δὲ χρόνῳ, ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς ἐν Ἐλευσῖνι, στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτούς, τοὺς μὲν στρατηγοὺς αὐτῶν ἐς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις, ἐσπέμψαντες

---

§. 31. πῶς;) ἀναίρεσις μετ' ἐμφάσεως. — οἵ γε) ἀντὶ οὐ γὰρ ὑμᾶς παρέδοσαν τῷ δήμῳ; — ὥσπερ οἱ . . . δήσ.) οὕτω φαίνεται ὅτι ἔγραψεν ὁ Ξενοφῶν, ἀντὶ, οἵ γε τοὺς δάκν. ὥσπερ κλοιῷ δήσ. αἰνιττόμενος εἴς τινα τοῦ Σόλωνος νόμον. » κύνα δάκνοντα παραδοῦναι κλοιῷ τετραπήχει δεδεμένον. » Πλούταρχ. ἐν βίῳ Σόλ. κεφ. 24. — οἴχ. ἀπ.) ἀριθμ. ΙΓ'. 18.

§. 32. ὦ ἄνδρες) ἐπιστρέφων πρὸς τοὺς φίλους αὐτοῦ καὶ ὁπαδούς. — ὧν ὀμωμόκ.) ἀριθμ. Ζ'. - 6. ΙΙ'. 8.

§. 34. ἐπολιτεύοντο) τῇ πολιτείᾳ ἢ δημοκρατίᾳ ἐχρῶντο. — τοὺς ἐν Ἐλ.) Παράβ. §. 9. 25. — ξένους) μισθωτούς. — εἰς λόγ. ἐλθ.) Ιουστῖν. Ε'. 10 » ἀλλ' εἰς λόγους, ὡσπερεὶ τὴν ἀρχὴν ἀνακτησόμενοι, ἐλθόντες, ἐνεδρευθέντες φονεύονται » Sed ad colloquium, velati dominationem, recepturi, progressi, per insidias comprehensi, ut pacis victimae trucidantur". Τὰ πλησιέστερα περιστατικὰ αὐτῆς τῆς ὑποθέσεως δὲν εἶναι γνωστά. — ἦ μὴν) τρόπος ὁρκωμοσίας. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΔ'. σελ. 473. π. 441. γ. — μὴ μνησικ.) ἡ γνωστὴ συνθήκη τῆς ἀμνηστίας, ἡ ὁποία ἀπηγόρευε νὰ παιδευθῶσι τὰς προτητερινὰς ἀδικίας. Μέρος τοῦ περὶ τῆς ἀμνηστίας ὅρκου ἐσώσεν ὁ Ἀνδοκίδης ἐν τῷ Περὶ τῶν μυστηρίων λόγῳ (ἔκδ. Ρεϊσκίου,



τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν ξυναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους, ἦ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ γε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

---

## ΙΗ'.

## Αἰτίαι τῆς αὐξήσεως τῆς δυνάμεως τῶν Ἀθηνῶν· καὶ σχέσεις τῆς πολιτείας ταύτης πρὸς τὴν Λακεδαίμονα μετὰ τὸν δεύτερον κατὰ τῶν Περσῶν πόλεμον, ἕως ὅτου ἐκηρύχθη ὁ Πελοποννησιακὸς πόλεμος.

(Θουκυδ. Α'. 89 καὶ ἑξ.)

---

1. Οἱ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. 2. Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης, νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμ-

---

σελ. 43) λέγων οὕτως ». Καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ, πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα· οὐδὲ τούτων, ὃς ἂν ἐθέλει εὐθύνας διδόναι τῆς ἀρχῆς, ἧς ἦρξε. »

§. 2. Μῆδοι) κυρίως Πέρσαι. Ἰδ. ἀριθμ. Ε'. §. 7. — ναυσὶ καὶ πεζ.) παρὰ τὸ Ἀρτεμίσιον, Σαλαμῖνα καὶ Πλαταιάς. — Μυκάλην) ἀκρωτήριον τῆς Ἰωνίας ἡ Μυκάλη, ἀντικρὺ τῆς Σάμου, ὅπου (Ὀλυμ. ΟΕ'. 2.) ἐνικήθη ὁ στόλος τῶν Περσῶν, κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἔγινε καὶ ἡ ἐν Πλαταιαῖς μάχη. — ἐπ' οἴκου) Ἰδ. ἀριθμ. Ις'. §. 7. — ἔχων) ἀντὶ σὺν τοῖς. . . ξυμμάχοις. Ἰδ. §. 70 » ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι ». ΙΘ'. §. 5. « ὥσπερ καὶ

μάχους· οἱ δὲ Ἀθηναῖοι, καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν, Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτήν, ἐκλιπόντων τῶν βαρβάρων, καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. 3. Ἀθηναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας, καὶ γυναῖκας, καὶ τὴν περιοῦσαν κατασκευήν· καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο, καὶ τὰ τείχη. 4' τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι, αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

(κεφ. 90). 5. Λακεδαιμόνιοι δέ, αἰσθόμενοι τὸ μέλλον, ἦλθον πρεσβείᾳ, τὰ μέν, καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήποτ' ἐκείνους, μηδὲ ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ

---

ἔχων αὐτὸν ἐκαθίζετο» — ἀπὸ βασιλ.) τῶν Περσῶν δηλ. — Σηστόν) Σηστός, πόλις ἐπὶ τῶν δυτικῶν παραλίων τοῦ Ἑλλησπόντου κειμένη, ἀντικρὺ τῆς Ἀβύδου. — Μήδ. ἐχόντων) ἣν πόλιν οἱ Μῆδοι εἶχον. Ἰδ. §. 36. 49. Παράβ. Ἡρόδ. Θ'. 106. — ὡς ἕκαστοι) οὕτω καὶ Συγγρ. Α'. 3. «ὡς ἕκαστοι Ἕλληνες κατὰ πόλεις ξυνίεσαν». Συγγρ. Α'. 15. «κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν». Παράβ. καὶ παρακατ. §. 39. καὶ ΛΥ'. 1.

§. 3. τὸ κοινόν . . . διεκομίζοντο) Ἰδ. ἀριθμ. ΙΑ'. §. 13. — αὐτοῖς . . . ἀπ.) ἀντὶ ἐκ τῆς αὐτῶν χώρας. Ἰδ. §. 56. «τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου». — ὅθεν) ἀντὶ ἐκ τῶν τόπων οὗ. Παράβ. ἀριθμ. Λ'. §. 10. 11.

§. 4. καὶ οἰκίαι, αἱ μέν...) πολλάκις τίθεται τὸ ἄθροισμα εἰς Ὀνομαστικὴν πρὸ τῶν μεριστικῶν. Ἰδ. ἀριθμ. ΚΑ'. §. 1. ΚΒ'. §. 30. Βιγέρ. σελ. 4. Σημ. 8. — ἐσκήνησαν) ᾤκησαν.

§. 5. τὸ μέλλον) τὴν τῶν Ἀθηναίων διάνοιαν. — ἦλθον πρεσβ.) πρεσβεύοντες, ἢ ἔπεμψαν πρέσβεις. — τὰ μέν . . τὸ δὲ πλέον) Βιγέρ. σελ. 14. Σημ. 19. καὶ Ἑρμάνν. εἰς Βιγέρ. σελ. 701. 14. — ἔχοντα) ἡ Μετοχὴ ἐξαρτᾶται ἀπὸ τοῦ ὁρῶντες. Γραμ. Βουτ. §. ΡΑΛ'. β'. α. — αὐτῶν) τῶν Ἀθηναίων.



δὲ πλέον, τῶν ξυμμάχων ἐξοτρυνόντων, καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρώην οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. 6. Ἠξίουν δὲ αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους· τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθέν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἀναχώρησίν τε καὶ ἀφορμὴν ἱκανὴν εἶναι.

7. Οἱ δ' Ἀθηναῖοι, Θεμιστοκλέους γνώμῃ, τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θε-

---

§. 6. ἀλλὰ καὶ τῶν) ἡ Σύνταξ. ἀλλὰ μᾶλλον ξυγκαθελ. μετὰ σφῶν τοὺς περιβ. ὅσοις τῶν ἔξω Πελ. (ναιόντων) ξυνειστ. (ἀντὶ εἱστήκει), τὰ τείχη δηλ. τὸ ὁποῖον περιέχεται ἐν τῷ τειχίζειν. Ἰδ. §. 11 — τὸ βουλόμ.) τουτέστι τὴν βούλησιν. — τὸ ὕποπτ.) §. 46. «τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες». §. 47. «ἀλλά τινος ὑπόπτου γενομένου.» — ὡς δέ) τὸ πλῆρες, ἀλλὰ λέγοντες τοῦτο κελεύειν, μὴ ὁ βάρβαρ. ἔχῃ ὁρμᾶσθαι . . ἀπὸ ἐχυρ. ποθὲν (ἀπὸ ἐχυροῦ τινος τόπου). — ὥσπερ νῦν) ἐν τῷ ἤδη τελευτήσαντι πολέμῳ, ἐν ᾧ αἱ Θῆβαι ἦσαν ἀπὸ τοῦ μέρους τῶν Περσῶν. — ἀναχώρησιν) τόπον καταφυγῆς. — ἀφορμήν) τόπον, ὅθεν ἠμπορεῖ τις νὰ προσβάλλῃ τὸν ἐχθρόν.

§. 7. οἱ δ' Ἀθ.) ἡ Σύνταξ. οἱ Ἀθηναῖοι εὐθὺς ἀπήλλ. τοὺς Λακεδ. ἀποκρινάμενοι — ὡς αὐτούς) ἀντὶ πρός. Ἰδ. Γραμ. Βουτ. §. ΡΑΓ'. σελ. 467. π. 435. ν. καὶ §. ΡΛΑ'. σελ. 483. π. 449. ν. Παράβ. καὶ ἀριθμ. ΙΘ'. §. 6 ΙΑ'. §. 7 — ἕως ἄν . . . ἄρωσ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΚϚ'. ι. Παράβ. καὶ ἀριθμ. Λ'. §. 6. Ι'. §. 1. — ἐκ τοῦ ἀναγκαιοτ.) ὑψηλὸν ἱκανῶς, ἵνα, χρείας τυχούσης, καὶ μάχεσθαι ἀπ' αὐτοῦ δύνωνται. — καὶ αὐτούς) τουτέστι τοὺς ἄνδρας, ὡς τὰ κυριώτερα πρόσωπα. Ἰδ. §. 49. — ὅθεν . . ἔσται) Ἰδ. §. 58. «σκέψασθαι ὅτῳ τρόπῳ διαπορεύσονται.» Παράβ. ἀριθμ. Β'. §. 14.

μιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν ἱκανὸν τὸ τεῖχος ἄρωσιν, ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει, καὶ αὐτοὺς, καὶ γυναῖκας, καὶ παῖδας, φειδομένους μήτε ἰδίου, μήτε δημοσίου οἰκοδομήματος, ὅθεν τις ὠφέλεια ἔσται εἰς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. 8. Καὶ ὁ μὲν ταῦτα διδάξας, καὶ ὑπειπὼν, τὰ ἄλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο. 9. Καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχὰς, ἀλλὰ διῆγε, καὶ προὐφασίζετο, καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων, ὅτι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη, τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι· προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν, καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν.

(91.) 10. Οἱ δὲ, ἀκούοντες, τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων, καὶ σαφῶς κατηγορούντων, ὅτι τειχίζεταί τε καὶ ἤδη

§. 8. τὰ ἄλλα... τἀκεῖ) ἃ ἐν Σπάρτῃ ἐχρῆν πραχθῆναι.

§. 9. διῆγε) τὸν χρόνον, τουτέστιν ἐβράδυνεν. — ὁπότε ἔροιτο) Ἰδ. ἀριθμ. Ε'. §. 16. ΙΑ'. §. 1. — τῶν ἐν τέλει) τῶν ἀρχόντων. — ὅτι) ἀντὶ διὰ τί. Ἐν τῷ ἔροιτο, νοείτω τις τὸ, θαυμάζων ὅτι οὐκ. — ἐπέρχεται) §. 13. Ἡρόδ. Ε. 97. « ἐπελθὼν ἐπὶ τὸν δῆμον. »

§. 10. τῶν ἄλλων) τῶν συμμάχων τῆς Σπάρτης βέβαια. Ἰδ. §. 5. — κατηγορ.) λεγόντων· πλὴν μὲ ἀγανάκτησιν, τὸ ὁποῖον περιέχεται ἐν τῷ κατηγορῶ. — λαμβάνει) τὸ τεῖχος, τὸ ὁποῖον περιέχεται ἐν τῷ τειχίζειν. Ἰδ. §. 6. — οὐκ εἶχον ὅπ.) ἀριθμ. ΙΓ. §. 15. « μηδ' ἔχοντος ὅ,τι χρὴ λέγειν. » Ἀριστείδ. Τόμ. Α'. σελ. 237. « οὐκ ἔχοντες ὅπως χρὴ προσιέναι τοῖς βαρβάροις. »



ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. 11. Γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ, καὶ πιστῶς ἀναγγελοῦσι σκεψάμενοι. 12. Ἀποστέλλουσιν οὖν· καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει, κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν, καὶ μὴ ἀφεῖναι, πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν (ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνυχός τε ὁ Λυσικλέους, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος)· ἐφοβεῖτο γὰρ, μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. 13. Οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις, ὥσπερ ἐπεστάλη, κατεῖχον· καὶ ὁ Θεμιστοκλῆς, ἐπελθὼν τοῖς Λακεδαιμονίοις, ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας ἐν αὐτῇ· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι

§. 11. κελεύει) Ἰδ. ἀριθμ. ΙΖ'. §. 9. — μὴ λόγ. μᾶλλον) ἡ περίοδος ἠμπορεῖ νὰ διαταχθῇ καὶ ἄλλως· κελ. αὐτοὺς πέμψαι μᾶλλον ἄνδρας οἵτινες χρηστοὶ, ἢ λόγοις παράγ. Οὕτω καὶ ἐν ἀριθμ. ΚΗ'. §. 20. « ἐκεῖνο δὲ οἶδα, ὅτι οὐ μᾶλλόν γε ταῦτ' ἔμελλεν αὐτῷ, ἢ τὰς παρόδους λαβεῖν ἠβούλετο. »

§. 12. κρ. πέμπει) τινὰς δηλ. κελεύων, τοὺς τῶν Λακεδαιμονίων ἀγγέλους κατασχεῖν. — ὡς ἥκιστ. ἐπιφ.) Ἰδ. Βιγέρ. σελ. 562. — αὐτοὶ) αὐτὸς καὶ οἱ ξυμπρέσβεις. — καὶ ἧκ.) ὁ Καὶ ἀνήκει εἰς τὸ οἱ ξυμπρέσβεις. — μὴ... ἀφῶσιν) ἀντὶ ἀφεῖεν, τὸ ὁποῖον ἀπῄτει ἡ ἀκολουθία τῶν Ἐγκλίσεων, τὸ ὁποῖον ὅμως ὁ Θουκυδίδης πολλάκις δὲν φυλάττει. Ἰδ. ἀριθμ. Ε'. §. 14 ΚΒ'. §. 10.

§. 13. ἐνταῦθα δὴ) Ἰδ. ἀριθμ. ΙΖ'. §. 26. ΙΘ'. §. 8. 25. — εἰ δέ τι) Ἰδ. Βιγέρ. σελ. 149 XI. — παρὰ σφᾶς) Ἀθηναίους. — ἰέναι) ἂς ἐννοήσῃ τις πρὸς τοῦτο τὸ, ἐκέλευε, διὰ νὰ ἦναι, ἐκέλευεν ἰέναι ὡς πρὸς διαγιγνώσκ. τὸ λοιπὸν τά τε σφίσιν αὐτ. ξυμ. καὶ τὰ κοινά. Η ἔννοια καὶ ἂς μὴ φέρωνται πλέον πρὸς αὐτοὺς ὡς πρὸς ἀνηλίκους, ἀλλ' ὡς πρὸς ἄνδρας, οἱ ὁποῖοι ἤξευρον νὰ δώσωσιν εἰς ἑαυτοὺς συμβουλάς.

παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. 14. Τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι, καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι· καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. 15. Δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι, τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. 16. Οὐ γὰρ οἷόν τ' εἶναι, μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς, ὅμοιόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. Η πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν.

(92.) 17. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις (οὐ δὲ γὰρ

§. 14. ἔφασαν) αἱ πρέσβεις τῶν Ἀθηναίων, ἢ κάλλιον Θεμιστοκλῆς ὁ πρῶτος αὐτῶν. — ἐδόκει) τοῖς Ἀθηναίοις. — ἄμεινον) Ἰδ. §. 90. — ἄνευ ἐκείνων) τῶν Λακεδαιμονίων. — γνόντες) τῇ σφων αὐτῶν χρώμενοι γνώμῃ. — ὕστεροι) ἀναφέρεται εἰς τὴν ἐν τῷ ἔφασαν περιεχομένην Ὀνομαστικήν. — ὅσα... βουλεύεσθαι) ἐνίοτε τίθεται εἰς λόγον πλάγιον Ἀπαρέμφ. καὶ μετὰ τὸ ἀναφορικὸν, ἀντὶ Ὁριστικ. Ἰδ. Ἑρμάνν. εἰς Βιγέρ. σελ. 741. 305. Θουκυδ. Β'. 102 « λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν. »

§. 15. ἐς τοὺς πάντ. ξυμ.) τουτέστι κοινῇ πᾶσι ξυμμάχοις.

§. 16. ἀπὸ ἀντιπάλ.) τουτέστι μὴ ἀντιπάλου παρασκευῆς οὔσης οὐχ οἷόν τ' εἶναι.... Οὕτω καὶ §. 35. ἀριθμ. Θ. §. 3. Πλούταρχ. Τ. Γράκχ. 11. « ἀμφοτέρους περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους ». — ἢ πάντας .... ξυμμ.) συνεστραμμένον· ἀντὶ, ἢ πάντας οὖν ξυμμάχους ἀτειχίστους ἔχειν πόλεις χρῆναι, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν.

§. 17. δῆθεν) τὸ δῆθεν ἐκφράζει τὴν περὶ τῆς καθαρότητος τῆς προφάσεως ἀμφιβολίαν. Ἰδ. ΛΒ'. §. 2. — τῷ κοινῷ) ὑπὲρ τοῦ κοινοῦ, οὐχ' ὑπὲρ ἰδίας σφῶν αὐτῶν ὠφελείας. — ἐν τῷ), ἡ Σύνταξ. ἐν τῷ τότε μάλιστα.



ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν μάλιστα αὐτοῖς ἐτύγχανον), τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. Οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

(93.) 18. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ· καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο. 19. Οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων, καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν· 20. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως· καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο. 21. Ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε), νομίζων τό, τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ, αὐτοὺς ναυτικοὺς γεγενημένους, μέγα προφέρειν ἐς τὸ

§. 18. δήλη.... ὅτι.) Ἰδ. ἀριθμ. ΙΕ'. 8. ΙΖ'. 14. — κατὰ σπ. ἐγέν.) συνηθέστερον κατὰ σπουδὴν γενομένη.

§. 19. θεμέλιοι.. ὑπόκ.) ἀντὶ οἱ ὑποκείμενοι θεμέλιοί εἰσι παντοίων λίθων. — ἔστιν ᾗ) Ἰδ. ἀριθμ. Ιϛ'. §. 6. — εἰργασμ.) ἐντέχνως κατεσκευασμένοι λίθοι ἀπὸ κτιρίων καὶ τεχνουργημάτων.

§. 20. μείζων) ἢ πρότερον. — διὰ τοῦτο) διότι ἦτον χρεία ὕλης πολὺ περισσοτέρας. — πάντα ὁμ.) Ἰδ. §. 8.

§. 21. ὑπῆρκτο) ἀρχὴ τοῦ οἰκοδομεῖν ἐγένετο. — ἐπὶ... ἀρχῆς) ὅτε ἐκεῖνος ἦτον ἄρχων. Ὀλυμπ. ΟΑ'. 4. — Ἀθηναίοις) συνηθέστερον Ἀθηναίων. Η τῆς Δοτικῆς χρῆσις εἶναι ποιητικὴ μᾶλλον· — αὐτοὺς) τοὺς Ἀθηναίους. — μέγα προφέρειν) ὁ συνήθης τῆς γλώσσης ἰδιωτισμὸς ἀπαιτεῖ τὸν Αν. Ἰδ. ἀριθμ. ΙΖ'. §. 12.

κτήσασθαι δύναμιν. 22. Τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐςί, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. Καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν ἔτι δῆλόν ἐςι περὶ τὸν Πειραιᾶ. 23. Δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον· ἐντὸς δὲ οὔτε χάλιξ, οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι, καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. 24. Τὸ δὲ ὕψος ἥμισυ μάλιςα ἐτελέσθη οὗ διενοεῖτο· ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιςάναι τὰς τῶν πολεμίων ἐπιβολάς. Ανθρώπων δὲ ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν, τούς τε ἄλλους ἐς τὰς ναῦς ἐςβήσεσθαι. 25. Ταῖς γὰρ ναυσὶ μάλιςα προσέκειτο, ἰδών, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως ςρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως· καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἦν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτόν, ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίςασθαι. Ἀθηναῖοι μὲν οὖν

§. 22. ἀνθεκτέα) ἀντὶ ἀνθεκτέον (Γραμ. Βουτ. §. ΡΚΑ΄. Σημ. β.) μετὰ Γενικ. — καὶ τὴν ἀρχ.) τὴν θαλασσοκρατίαν ἤρξατο κατασκευάζειν.

§. 23. ἐναντίαι ἀλλ.) ἐπὶ τοῦ τείχους αὐτοῦ, ὡς φαίνεται, τοῦ ὁποίου τὸ πλάτος γίνεται δῆλον ἱκανῶς διὰ τούτου. — ἐγγώνιοι) ὀρθογωνίως τετμημένοι.

§. 24. ἥμισυ μάλιςα) σχεδὸν τὸ ἥμισυ. Ἰδ. §. 55. Πιγέρ. σελ. 416. VII. — οὗ διεν.) ἀντὶ τοῦ ὕψους, ὃ διεν. — ἐβούλετο) συνεςραμμένον· ἀντὶ ἐβούλετο γὰρ μέγεθος καὶ πάχος ἱκανὸν εἶναι ὡς ἀφιςάναι (τουτέςι ἀπείργειν.) τὰς τῶν πολ. ἐπιβολ.

§. 25. ἰδὼν . . οὖσαν.) Ἰδ. §. 5. — τῆς ἄνω πόλεως) ἄνω πόλις, αἱ κυρίως Ἀθῆναι, αἱ ὁποῖαι ἔκειντο βαθύτερον πρὸς τὴν ξηράν· — ἐς αὐτόν) τὸν Πειραιᾶ. — ἅπαντας) τοὺς πολεμίους.



οὕτως ἐτειχίσθησαν, καὶ τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

(94.) 26. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος ςρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου. Ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσί, καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος· καὶ ἐςράτευσαν ἐς Κύπρον, καὶ αὐτῆς τὰ πολλὰ κατεςρέψαντο· καὶ ὕςερον ἐς Βυζάντιον, Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν.

(95.) 27. Ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ, οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιςα οἱ Ἴωνες, καὶ ὅσοι ἀπὸ βασιλέως νεωςὶ ἠλευθέρωντο. Φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενές, καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. 28. Οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους, καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι, τἄλλα τε καταςησόμενοι ᾗ φαίνοιτο ἄριςα αὐτοῖς.

29. Ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν, ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο· καὶ γὰρ

§. 26. ἐς Κύπρον) ἡ νῆσος αὕτη διῳκεῖτο ὑπὸ βασιλέων, οἱ ὁποῖοι ἦσαν ὑποτελεῖς εἰς τὸν Μονάρχην τῆς Περσίας. — Μήδων ἐχ.) Ἰδ. §. 2.

§. 27. ἐν τῇδε τῇ ἡγεμ.) αἱ λέξεις αὗται συνέχονται συνήθως μὲ τὸ προηγούμενον κεφάλαιον. — ἀπὸ βασ.) ἡ πρόθεσις φανερόνει χωρισμόν. Ἰδ. ἀριθμ. Δ΄. §. 16· — κατὰ τὸ ξυγγ.) διότι καὶ οἱ Ἀθηναῖοι ἦσαν ἐκ τῆς Ἰωνικῆς φυλῆς. — μὴ ἐπιτρ. ἤν) ἀντὶ βιάζεσθαι, βίᾳ χρῆσθαι.

§. 28. προς. τὴν γνώμην.) τουτέςι τὸν νοῦν. — ὡς οὐ περιοψ.) Ἰδ. ἀριθμ. ΚΒ. §. 38. Η΄. §. 1. περιόπτομαι, ὡς τὸ περιορῶ. Ἰδ. ἀριθμ. Β. §. 19. Ζ΄. §. 5.

§. 29 καὶ τυρανν.) συνεςραμμένον, ἀντί, ἡ αὐτοῦ ςρατηγία ἐφαίνετο μᾶλλον τυραννίδος εἶναι μίμησις, ἢ ςρατηγία ἀληθής.

ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἡ ϛρατηγία. 30. Ξυνέβη δὲ αὐτῷ καλεῖσθαί τε ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι, πλὴν τῶν ἀπὸ Πελοποννήσου ϛρατιωτῶν. 31. Ἐλθὼν δὲ ἐς Λακεδαίμονα τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιϛα ἀπολύεται μὴ ἀδικεῖν. Κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιϛα Μηδισμὸς, καὶ ἐδόκει σαφέϛατον εἶναι· καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ, ϛρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. 32. Οἱ δὲ, αἰσθόμενοι, ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕϛερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται (ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον), ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι, καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους.

---

§. 30. ξυνέβη αὐτῷ) ἀντὶ αὐτὸν καλεῖσθαι (τουτέϛι μεταπέμπεσθαι.). — μετατάξ.) μεταβῆναι.

§. 31. ἰδίᾳ πρός τινα) ἀδικηθέντων δηλ. ἀντιθετικῶς πρὸς τὸ, ἀδικημάτων εἰς τὸ κοινόν. — εὐθύνθη) εὐθύνας ἔδωκε· μετὰ Γενικ. Ἰδ. Γραμ. Βουτ. §. ΡΙΘ'. δ. γ'. σελ. 417. π. 384. ν. — τὰ δὲ μέγιϛα) ἀπολύτως. — ἀπολύεται μὴ ἀδ.) περὶ τῆς πλεοναϛικῆς χρήσεως τοῦ Μὴ μετὰ τὰ ῥήματα, τὰ περιέχοντα ἐν ἑαυτοῖς ἄρνησίν τινα Ἰδ. Βιγέρ. σελ. 459. καὶ 777. 271. — οὐχ ἥκιϛα) Ἰδ. §. 27. καὶ ἀριθμ. Ε. §. 6. — ἐδόκει) τὸ πρᾶγμα ἐφαίνετο ἀναμφίβολον, ἀλλ' ὅμως ὄχι καὶ ἱκανῶς ἀποδεικτόν. — οἷς) καὶ τούτοις, ἢ, τούτοις δέ.

§. 32. χείρους) διεφθαρμένοι ἀπὸ τὰ ξένα ἤθη, καθὼς ὁ Παυσανίας. — ἀπαλλαξ.) τουτέϛιν ἐπιθυμοῦντες ἀπαλλαγῆναι. Ἰδ. Γραμ. Βουτ. §. ΡΕ. ε. α. σελ. 361. π. 331. ν. — ἐν τῷ τότε παρ.) χρονικ. δηλ. περίφρασις τοῦ τότε. — ἐπιτηδείους) φίλους καὶ εὐμενεῖς.



(96.) 33. Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ, ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον, καὶ ἃς, ναῦς· πρόσχημα γὰρ ἦν ἀμύνεσθαι ὧν ἔπαθον, δῃοῦντας τὴν βασιλέως χώραν. 34. Καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέϛη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον. Οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Ἦν δὲ ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. Ταμιεῖον δὲ Δῆλος ἦν αὐτοῖς, καὶ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο.

(97.) 35. Ἡγούμενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων, καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων, μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας, καὶ Πελοποννησίων τοὺς αἰεὶ προστυγχά-

---

§. 33. τὴν ἡγεμον) Ἰδ. ἀριθμ. Β'. §. 18. — ἅς τε ἔ.). ἡ Σύνταξ.· ἃς τῶν πόλεων .... — πρόσχημα) πρόφασις τοῦ τάξαι τὸν φόρον. — ὧν ἔπαθ.) τουτέϛιν ὑπὲρ ὧν. — δῃοῦντας) ἡ Μετοχὴ τίθεται πολλάκις κατ' Αἰτιατικὴν, χωρὶς νὰ συμφωνῇ μὲ τὴν προηγουμένην πτῶσιν. Ἰδ. ἀριθμ. ΚΓ'. §. 3, 16 καὶ Ἑρμάνν. εἰς Βιγέρ. σελ. 752. 217.

§. 34. Ἑλλην. . . . ἀρχὴ) ἀντὶ ἡ τῶν Ἑλληνοταμιῶν ἀρχή. Ἰδ. ἀριθμ. ΚΓ'. §. 18. « ἔϛειλε πεντήκοντα μυριάδας ϛρατιάν ». — τὸν φόρον) Ἰδ. ἀριθμ. Β'. §. 15. 17. — Δῆλος) μία τῶν Κυκλάδων νήσων, διὰ τὸ παρὰ πάντων τῶν Ἑλλήνων τιμώμενον ἱερόν. — ξύνοδοι) συνελεύσεις τῶν εἰσφερουσῶν πολιτειῶν.

§. 35. ἡγούμενοι) οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν ἔχοντες. — ἀπὸ κοιν. ξυν.) ἀριθμ. Θ'. §. 3. — τοσάδε (ταῦτα, περὶ ὧν διηγήσομαι. Ἰδ. ΚΒ'. §. 12. « τοσῇδε ἤδη τῇ παρασκευῇ ») ἃ ἐγένετο. — ἐπῆλθον) ἐνεχείρησαν. — διαχειρ. πραγμ.) μεταχειρίσει εἰρηνικῶν ἔργων. — τοῦδε τοῦ πολ.) τοῦ Πελοποννησιακοῦ. — τοὺς αἰεὶ) πρὸς τοὺς Πελοποννησίους ἐκείνους, οἱ ὁποῖοι τυχὸν ἀνακατόνοντο ἑκάϛοτε εἰς τὰς μετὰ τῶν συμμάχων διαφοράς.

γοντας ἐν ἑκάςῳ. (98). 36. Πρῶτον μὲν Ἠϊόνα, τὴν ἐπὶ Στρυμόνι, Μήδων ἐχόντων, πολιορκίᾳ εἷλον, καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιάδου ςρατηγοῦντος. Επειτα Σκῦρον, τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν, καὶ ᾤκισαν αὐτοί. 37. Πρὸς δὲ καὶ Καρυςίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο· καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Ναξίοις δὲ ἀποςᾶσι μετὰ ταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεςήσαντο. Πρώτη δὲ αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεςηκὸς ἐδουλώθη· ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάςῃ ξυνέβη.

(99.) 38. Αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποςάσεων, καὶ μέγιςαι, αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποςράτιον εἴ τῳ ἐγένετο. Οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν, οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεςράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν

§. 36. Ἠϊόνα) πόλιν τῆς Θρᾴκης παρὰ τὰς ἐκβολὰς τοῦ Στρυμόνος, οὐ μακρὰν τῆς Ἀμφιπόλεως. Ἰδ. ἀριθμ. Ε. §. 9 καὶ — Μήδ. ἐχόντ.) Ἰδ. §. 2. καὶ §. 26 — Δόλοπες) ἔθνος τοαρχαῖον τῆς Θεσσαλίας. — ᾤκισαν) ἀποίκους ἐκεῖσε πέμψαντες.

§. 37. Καρυςίους) Κάρυςος, πόλις ἐπὶ τῆς μεσημβρινῆς ἄκρας τῆς Εὐβοίας κειμένη. — παρεςήσ.) Ἰδ. ἀριθμ. Ι'. §. 10. — παρὰ τὸ καθες.) τουτέςι παρὰ τὸν νόμον· ἐπειδὴ αἱ συνθῆκαι ἐβεβαίωναν τὴν αὐτονομίαν (Ἰδ. §. 35) τῶν συμμάχων. — ὡς ἑκάςῃ) Ἰδ. §. 2. ἀντὶ ἄλλῃ ἄλλῳ χρόνῳ.

§. 38. εἴ τῳ) ἀντὶ εἴ τις μὴ ἤθελε ςρατεύεσθαι. — ἔπρασσον) τὸν φόρον δηλ. — προςάγ. τὰς ἀνάγκ.) τουτέςιν ἀναγκάζοντες τοὺς ξυμμάχους. — ἐν ἡδονῇ ἄρχ.) τουτέςιν ἡ αὐτῶν ἀρχὴ οὐκέτι τὴν αὐτὴν παρεῖχεν ἡδονήν, ὡς πάρος. — ἀπὸ τοῦ ἴσου) ἴσῳ νόμῳ καὶ ἴσῃ δυνάμει Ἰδ. §. 35. ἀριθμ. ΙΘ'. §. 4. « τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι ». — προσάγεσθαι) δουλοῦν.



τε προςάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφιςαμένους· ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι. 39. Διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν ςρατειῶν, οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. Καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης, ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ, ὁπότε ἀποςαῖεν, ἀπαράσκευοι καὶ ἄποροι ἐς τὸν πόλεμον καθίςαντο.

(100.) 40. Εγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους. Καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου ςρατηγοῦντος· καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας. 41. Χρόνῳ δὲ ὕςερον ξυνέβη Θασίους αὐτῶν ἀποςῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων, καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. Καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀπέβησαν. 42. Επὶ δὲ Στρυμόνα πέμ-

§. 39. διὰ τὴν ἀπόκν.) τουτέςι διὰ τὸν ὄκνον τοῦ ςρατεύεσθαι. Ἰδ. §. 38. — ἵνα .... ὦσι) Ἰδ. §. 12. — ἐτάξαντο) Ἰδ. Γραμ. Βουτ. §. ΡΚΒ'. ζ'. Παράδ. §. 44. 63· — τὸ ἱκνούμ. ἀνάλωμα) ἐπεξήγησις τοῦ χρήματα· ἱκνούμενον, τὸ ἐπιβάλλον αὐτοῖς μέρος. — ξυμφέροιεν) Ἰδ. Ε'. §. 16. Θ'. §. 1.

§. 40. ἐπ' Εὐρυμ.) Ἰδ. ἀριθ. Ε'. 20. — ἀμφότερα) καὶ πεζῇ καὶ ναυσί. Ἰδ. §. 72.

§. 41. Θασίους) Θάσος, νῆσος πλησίον τῶν παραθαλασσίων τῆς Θρᾴκης, ἀντικρὺ τοῦ ποταμοῦ Νέςου, ὅπου ἦσαν μεταλλεῖα χρυσοῦ. — ἐνέμοντο) τὸ ἐνέμοντο ἁρμόζει κατὰ τὴν κυρίαν αὐτοῦ σημασίαν μόνον εἰς τὸ μετάλλου, ἂν καὶ τὸ ἃ ἀναφέρεται καὶ εἰς τὸ ἐμπορίων.

§. 42. ὡς) πρὸς Μέλλοντα τελικόν. Ἰδ. ἀριθμ. ΚΒ'. §. 38. — Εννέα ὁδοὺς) τὴν ἀρχὴν τοῦ ὀνόματος τούτου ἐξηγεῖ ὁ Υγῖνος· μύς

ψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδούς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί· προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν, διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.

(101.) 43. Θάσιοι δὲ νικηθέντες μάχαις, καὶ πολιορκούμενοι, Λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμύνειν ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. Οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων, καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθεεῖς ἐς Ἰθώμην ἀπέστησαν. 44. Πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι· ᾗ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. Πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις. Θάσιοι δὲ, τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγησαν Ἀθηναίοις, τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρή-

59. — Ἠδωνοί) ἔθνος Θρᾳκικόν. — ὑπὸ τῶν Θρᾳκ.) ὅλοι οἱ Θρᾷκες ἑνωθέντες ἐναντιώθησαν εἰς τὴν ὀχύρωσιν τοῦ χωρίου, διότι ἐφαίνετο εἰς αὐτοὺς ἐπικίνδυνον.

§. 43. ἐκέλευον) Ἰδ. §. 11. — ἔμελλον) ἐσβάλλειν. — ἐν ᾧ) περὶ τῶν συμβάντων τούτων Ἰδ. Πλούταρχ. ἐν βίῳ Κίμωνος. 16. Θουριᾶται) Θουρία, πόλις τῆς Μεσσήνης· ἡ θέσις τῆς Αἰθέας εἶναι ἄγνωστος. Ἰθώμη, φρούριον τῆς Μεσσήνης ὀρεινὸν περίφημον διὰ τὴν πολυχρόνιον ἐπὶ τοῦ πρώτου Μεσσηνιακοῦ πολέμου κατὰ τῶν Λακεδαιμονίων ἀντίστασιν.

§. 44. τότε) τὸ πάλαι (οὐκ ὀρθῶς ἤθελέ τις ποτὲ ἀντὶ τοῦ τότε γράψει) ἐν τῷ πρώτῳ Μεσσηνιακῷ πολέμῳ. — ᾗ) διό. — ὡμολόγησαν) ὁμολογίαν ἐποιοῦντο. — ὅσα ἔδει) τὰ πρὸς ἀποζημίωσιν ἔξοδα.



ματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα, ταξάμενοι, καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

(102.) 45. Λακεδαιμόνιοι δὲ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους. Οἱ δ' ἦλθον, Κίμωνος στρατηγοῦντος, πλήθει οὐκ ὀλίγῳ. Μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο, ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι· τῆς δὲ πολιορκίας μακρᾶς καθεστηκυίας, τούτου ἐνδεᾶ ἐφαίνετο. βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. 46. Καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. Οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι, μήτι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν· τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ, ὅτι οὐδὲν προσδέον-

§. 45. πλήθει) ἀντὶ σὺν πλ. Ἰδ. §. 76. Ξυγγρ. Β'. 21. » ἐσβαλὼν . . στρατῷ Πελοποννησίων ». — δυνατοὶ) τουτέστι δεινοί. — ἐνδεᾶ) τὰ τῶν Λακεδαιμονίων πράγματα δηλ. ἢ, αὐτοὶ ταύτης τῆς τέχνης ἐφαίνοντο ἐνδεεῖς. — βίᾳ γὰρ) ἡ ἔννοια τοῦ χωρίου τούτου φαίνεται ὅτι εἶναι ἡ ἑξῆς. » ἐὰν τὸ πρᾶγμα καταντοῦσεν ἁπλῶς εἰς βίαν, βίαια μέσα, ἰσχυράν, ὁρμητικὴν ἔφοδον κατὰ τοῦ τείχους, ἤθελαν κυριεύσει τὸ χωρίον καὶ αὐτοὶ μόνοι ». (Κατὰ τὴν ἑρμηνείαν ταύτην λοιπὸν κεῖται τὸ βίᾳ ἀπολύτως, ἀντὶ εἰ γὰρ βίας ἔργον ἦν. Καὶ ἀληθῶς οἱ Λακεδαιμόνιοι ἔδειχνάν μεγάλην ἀνεπιτηδειότητα εἰς τὴν πολιορκητικὴν τέχνην. ὁ Ἡρόδοτος λέγει (Θ'. §. 70) περὶ αὐτῶν πολιορκούντων ποτὲ ὀχύρωμά τι τῶν Περσῶν». Ἕως μὲν γὰρ ἀπῆσαν οἱ Ἀθηναῖοι, οἱ δ' ἠμύνοντο, καὶ πολλῷ πλέον ἔχον τῶν Λακεδαιμονίων, ὥς γε οὐκ ἐπισταμένων τειχομαχέειν ». Οἱ δὲ Ἀθηναῖοι ἐξ ἐναντίας ἐνίκησαν ἀμέσως μὲ ἀνδρίαν καὶ ἐπιδεξιότητα.

§. 46. ἀλλοφύλους) Ἴωνας, ἐπειδὴ αὐτοὶ ἦσαν Δωριεῖς· — μήτι,) τουτέστι καὶ δείσαντες μὴ νεωτερίσωσι.

ται αὐτῶν ἔτι. 47. Οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου, καὶ δεινὸν ποιησάμενοι, καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτούς, Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο. Καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη.

(103.) 48. Οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους, ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον. Ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν πρὸ τοῦ, τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμάτα ἀφιέναι. 49. Ἐξῆλθον δὲ αὐτοί, καὶ παῖδες, καὶ γυναῖκες. Καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον

§. 47. ἔγνωσαν .... ἀποπεμπ.) Ἰδ. ἀριθμ. ΙΖ'. §. 12. -- ἐπὶ βελτ. λόγῳ) ἡ Ἐπὶ μετὰ Δοτικ. φανερόνει πολλάκις τέλος ἢ σκοπόν, καθὼς ἐπ' εὐνοίᾳ, ἐπὶ βλάβῃ, ἐπ' ὠφελείᾳ, ἐπ' ἐλευθερίᾳ. -- ὑπόπτου) Ἰδ. §. 6. -- δεινὸν ποιησάμ.) Ἰδ. ΑΒ'. §. 10. ΑΓ'. §. 60. -- ἀμφοτέροις) τοῖς Ἀθηναίοις καὶ Ἀργείοις.

§. 48. ἐφ' ᾧτε) πρὸς Μέλλοντ. (Ἰδ. ἀριθμ. ΙΕ'. §. 1.) τοῦ ἐκείνου ἐπέχει τὸν τόπον ἐνταῦθα τὸ ἐξίασιν· Ἰδ. Γραμ. Βουτ. ς'. ἐ. σελ. 251. π. 236. ν. -- ἦν δέ τι καὶ χρησ.) ἡ βάσις τοῦ καλοῦ ἐναντίον τῶν ἡττημένων φερσίματος. -- Ἰθωμάτα) ἀντὶ Ἰθωμήτου, Δωρικ. σχηματισμός. -- ἱκέτ. τοῦ Διὸς) τοὺς κατοίκους τῆς Ἰθώμης, καθότι ὅλοι οἱ δυστυχεῖς ἦσαν ὑπὸ τὴν προστασίαν τοῦ Διός. Ὅθεν καὶ Εὐριπ. Ἐκ. 349. ἀντὶ ἱκεσίαν, τὸν ἱκέσιον Δία, λέγει.

§. 49. αὐτοί) Ἰδ. §. 7. -- Ναύπακτον) πόλιν πλησίον τῆς εἰσόδου τοῦ Κορινθιακοῦ κόλπου, εἰς τὸν τόπον τῶν Ὀζολῶν Λοκρῶν. -- ἐχόντ.) Ἰδ. §. 36.



ᾑρηκότες νεωστί, Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. 50. Προσεχώρησαν δὲ καὶ Μεγαρεῖς Ἀθηναίοις ἐς ξυμμαχίαν, Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον· καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς· καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν· καὶ ἐφρούρουν αὐτοί. Καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφόδρον μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

(104) 51. Ἰνάρως δὲ ὁ Ψαμμητίχου, Λίβυς, βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ, ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως, ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρταξέρξου· καὶ αὐτός, ἄρχων γενόμενος, Ἀθηναίους ἐπηγάγετο· οἱ δὲ (ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων) ἦλθον, ἀπολιπόντες τὴν Κύπρον· καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες, καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν, πρὸς τὸ τρίτον μέρος, ὃ καλεῖται Λευκὸν τεῖχος, ἐπολέμουν. Ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες, καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

§. 50. ὅρων) ἡ Μεγαρὶς συνώρευεν ἀμέσως μὲ τὴν Κορινθίαν. -- Πηγάς) Πηγαί, ἐμπόριον τῶν Μεγαρέων παρὰ τὸν Κορινθιακὸν κόλπον. -- Νίσαιαν) τὸν λιμένα τῶν Μεγάρων. -- οὐχ ἥκιστα ἀπὸ τοῦδε) πάντη μάλιστα ἀπὸ τοῦδε. Ἰδ. §. 27.

§. 51. Μαρείας) πόλεως παρὰ τὴν Μαρεώτιδα λίμνην, κατὰ τὸ μεσημβρινοδυτικὸν τοῦ Φάρου κειμένης. — Ἀρταξέρξ.) Ἀρταξέρξης ὁ Ξέρξου, ὁ ἐπονομαζόμενος Μακρόχειρ. Ἀπὸ τῶν χρόνων τοῦ Καμβύσου ἡ Αἴγυπτος ὑπέκειτο εἰς τὴν ἐξουσίαν τῶν Περσῶν. — ἐς Κύπρον) Παράβ. §. 26. — Μέμφιδος) Μέμφις, μία τῶν πολυανθρωποτάτων τῆς Αἰγύπτου πόλεων, πρὸς τὸ δυτικὸν μέρος τοῦ Νείλου κειμένη. — αὐτόθι) ἐν τῷ Λευκῷ τείχει. — οἱ μὴ ξυναποσ.) ἀπὸ τοῦ βασιλέως δηλ. Ἰδ. περὶ τῆς περαιτέρω ἐκθέσεως τοῦ ἐπιχειρήματος §. 64. 65.

Βιβλίον 10446

(105) 52. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἀλιὰς, πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο· καὶ ἐνίκων Κορίνθιοι. Καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί· καὶ ἐνίκων Ἀθηναῖοι. Πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν· καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν. Καὶ ἐνίκων Ἀθηναῖοι, καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν, καὶ ἐπολιόρκουν, Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. 53. Ἔπειτα Πελοποννήσιοι, ἀμύνειν βουλόμενοι Αἰγινήταις, ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας, πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους, διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανείας κατέλαβον· καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν, ἔν τε Αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς, καὶ ἐν Αἰγύπτῳ· ἢν δὲ καὶ βοηθῶσιν, ἀπ' Αἰγίνης ἀναστήσεσθαι αὐτούς. 54. Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα, Μυ-

§. 52. Ἀλιάς) πόλιν παραθαλασσίαν τῆς Ἀργολίδος, οὐ μακρὰν τῆς Ἐπιδαύρου. — Κεκρυφαλ.) Κεκρυφάλεια, νῆσος πρὸς τὸ δυτικὸν μέρος τῆς Πελοποννήσου. — αὐτῶν) τῶν Αἰγινητῶν.

§. 53. Γεραν.) Γεράνεια, ὄρος, τὸ ὁποῖον διαχωρίζον τὴν Μεγαρίδα, ἐκτείνετο ἕως εἰς τὴν θάλασσαν· ἐσχημάτιζε δὲ καὶ τὸ κατ' αὐτὸν τὸν τόπον εἰς τὴν Κόρινθον φέρον στενόν. — ἀδυνάτους) Ἰδ. §. 86. «ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν». — ἀπ' Αἰγ.) εἰ Ἀθηναῖοι ἤθελαν βιασθῆ τότε νὰ ἀφήσωσι τὴν Αἴγιναν.

§. 54. ἰσοῤῥόπου) ἡ λέξις μεταφορικὴ ἐκ τῶν πλαστίγγων, ὅταν καὶ αἱ δύο ἦναι ἴσαι. — οὐκ ἔλασσ. ἔχειν) Ἰδ. ἀριθμ. ΚΓ'. §. 5. — ἔργῳ) μάχῃ Ἰδ. §. 60. ΚΒ'. §. 3α.



ρωνίδου στρατηγοῦντος. Καὶ μάχης γενομένης ἰσοῤῥόπου πρὸς Κορινθίους, διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. 55. Καὶ οἱ μὲν Ἀθηναῖοι (ἐκράτησαν γὰρ ὅμως μᾶλλον), ἀπελθόντων τῶν Κορινθίων, τροπαῖον ἔστησαν· οἱ δὲ Κορίνθιοι, κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων, καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα, ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες. Καὶ οἱ Ἀθηναῖοι, ἐκβοηθήσαντες ἐκ τῶν Μεγάρων, τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι, καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν.

(106) 56. Οἱ δὲ, νικώμενοι ὑπεχώρουν· καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν, καὶ διαμαρτὸν τῆς ὁδοῦ, ἐσέπεσεν ἔς του χωρίον ἰδιώτου, ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον, καὶ οὐκ ἦν ἔξοδος. Οἱ δὲ Ἀθηναῖοι γνόντες κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις, καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς, κατέλευσαν πάντας τοὺς εἰσελθόντας. Καὶ πάθος μέγα τοῦτο τοῖς Κορινθίοις ἐγένετο. Τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου.

§. 55. κακιζόμενοι) ψεγόμενοι. — δώδεκα μάλιστα) Ἰδ. §. 24. — ἀνθίστασαν) τὸ ἀνθίστασαν φανερόνει ἴσως τὸν σκοπὸν μόνον χωρὶς ἐκβάσεως. — ἐκβοηθήσαντες) (οὕτως εὑρίσκεται εἰς τὰ καλλίτερα χειρόγραφα, ἀντὶ τοῦ ἐκβοήσαντες). Ἰδ. §. 59. ἐβοήθησαν ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι». ἀριθμ. ΚΓ'. §. 26, 35.

§. 56. προσβιασθὲν) ἀντὶ τοῦ ἁπλοῦ βιασθέν. — ἔς του) ἀντὶ, ἐς χωρίον ἰδιώτου τινός. — ᾧ ἔτυχεν) ἦν — περιεῖργον) τοὺς, φεύγοντας· — γνόντες) ὅ, τι γέγονε περὶ αὐτῶν· — εἶργον) ἐκώλυον αὐτοὺς ἐξελθεῖν· — τοῖς ὁπλ.) οἱ ὁπλῖται τῶν Ἀθηναίων κατεῖχον τὴν ἔξοδον. — ἀπεχώρ. αὐτοῖς) Ἰδ. §. 3.

(107) 57. Ηρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη Αθηναῖοι ἐς θάλασσαν οἰκοδομεῖν, τό, τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. Καὶ Φωκέων στρατευσάντων ἐς Δωριᾶς, τὴν Λακεδαιμονίων μητρόπολιν, Βοιὸν, καὶ Κυτίνιον, καὶ Ερινεὸν, καὶ ἑλόντων ἓν τῶν πολισμάτων τούτων, οἱ Λακεδαιμόνιοι, Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου, βασιλέως, νέου ὄντος ἔτι, ἡγουμένου, ἐβοήθησαν τοῖς Δωριεῦσιν, ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις, καὶ τῶν ξυμμάχων μυρίοις. Καὶ τοὺς Φωκέας ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν ἀπεχώρουν πάλιν. 58. Καὶ κατὰ θάλασσαν μὲν αὐτοὺς διὰ τοῦ Κρισσαίου κόλπου εἰ βούλοιντο περαιοῦσθαι, Αθηναῖοι ναυσὶ περιπλεύσαντες ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς, Αθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς, πορεύεσθαι. δύσοδός τε γὰρ ἡ Γεράνεια, καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ Αθηναίων· καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν· ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. 59. Τὸ δέ τι καὶ ἄνδρες τῶν Αθηναίων ἐπῆγον αὐτοὺς κρύφα, ἐλπίσαντες δῆμόν τε καταπαύσειν, καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. Εβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Αθηναῖοι πανδημεὶ, καὶ Αργείων χίλιοι, καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι. Ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. 60. Νομίσαντες δὲ ἀπορεῖν ὅπῃ διέλθωσιν ἐπεστράτευσαν αὐτοῖς· καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψία ἦν. Ηλθον δὲ καὶ Θεσσαλῶν ἱππεῖς τοῖς Αθηναίοις κατὰ τὸ ξυμμαχικὸν, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους.

(108) 61. Γενομένης δὲ τῆς μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας, ἐνίκων Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. Καὶ Λακεδαιμόνιοι μὲν, ἐς τὴν Μεγαρίδα ἐλθόντες, καὶ δενδροτομήσαντες,

---

§. 57. τὰ μακρὰ τείχη) τὰ αὐτὰ ὀνομάζονται καὶ σκέλη. — Φαληρόν δε) ἕως τοῦ Φαλήρου. — Δωριᾶς) ἀντὶ, Δωριέας, Δωριεῖς, ἐκ τοῦ Δωριεύς. Παράβ. §. 78. — μητρόπολιν) οἱ Σπαρτιᾶται κατήγοντο ἐκ τῶν Δωριέων, οἱ ὁποῖοι ὑπὸ τὴν ἀρχηγίαν τῶν Ηρακλειδῶν ἀπὸ τῆς Οἴτης μετοίκησαν εἰς τὴν Πελοπόννησον. Μητρόπολις ὁ τόπος τῆς καταγωγῆς ἐν γένει. Θουκυδ. Συγγ. Γ'. ρχ... ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριεῖς, ἡ μητρόπολις τῶν Λακεδαιμονίων». Πλούταρχ. Τόμ. Β'. σελ. 718. D. «ἡ γεωμετρία ἀρχὴ καὶ μητρόπολις οὖσα τῶν ἄλλων». — ἑλόντων) τῶν Φωκέων — Πλειστοάν. τοῦ βασιλέως, υἱοῦ ἀνηλίκου τοῦ Παυσανίου, ὅς τις δὲν ἦτον βασιλεύς.

§. 58. οἱ Σπαρτιᾶται εὗρον κατὰ τὴν ἐπιστροφὴν δυσκολίας. — διὰ τοῦ Κρισσ. κόλπου) ὡς ἐπεξήγησις τοῦ, κατὰ θάλασσ. Μέρος τοῦ Κορινθιακοῦ κόλπου ὁ Κρισσαῖος, ὅς τις εἰσβαίνει εἰς τὴν Φωκίδα· — ἔμελλ. κωλύσειν) ταὐτὸν τῷ, ἐκώλυεν ἄν. — διὰ τῆς Γεραν.) κατὰ γῆν διὰ τοῦ Ισθμοῦ. Ιδ. §. 51. — τε .... καὶ) Γραμ. Βουτ. §. ΡΛΕ'. σελ. 491. π. 457. ν. — καὶ ταύτῃ) κατὰ γῆν. — ὅτῳ τρόπῳ ... διαπορεύσονται.) Ιδ. §. 7. ἀριθμ. Β'. §. 14.

§. 59. τὸ δέ τι) ἐπέφερε τὸ δὲ, τὸ ὁποῖον ἀναφέρεται πρὸς τὴν αἰτίαν, τὴν ὁποίαν εἶπεν εἰς τὸν προηγηθέντα λόγον, ὡς νὰ προηγήθη, τὸ μέν. Παράβ. §. 88. — ἄνδρ. τῶν Αθην.) ἀντὶ, Αθηναίων τινές· — δῆμον) Ιδ. ἀριθμ. Ι'. §. 3. — καὶ τὰ. μ. τ. οἰκοδ.) ἀντὶ, τὴν οἰκοδομὴν τῶν μακρῶν τειχέων. Η ἕνωσις τῆς πόλεως μὲ τὸν λιμένα ἐφαίνετο, διὰ τὴν μεγάλην πρὸς τὴν δημοκρατίαν κλίσιν τῶν θαλασσινῶν, μέγα ἐμπόδιον εἰς τὴν ὀλιγαρχίαν. Ιδ. Πλούταρχ. ἐν βίῳ Θεμιστοκλ. 19. — ὡς ἕκαστοι) Ιδ. §. 2. 37. 74.

§. 60. ἀπορεῖν) τοὺς Λακεδαιμονίους. — ὅπῃ διέλθ.) ἀντὶ, ὅπῃ ἂν διέλθ. ἢ, ὅπῃ διελεύσονται. — καί τι καὶ) ἀντὶ, ὑποψία τις ἦν, αὐτοὺς τὴν δημοκρατίαν καταλῦσαι μέλλειν. — ἐν τῷ ἔργῳ) Ιδ. §. 54.

§. 61. Τανάγρα) πόλει πλησίον τῶν συνόρων τῆς Αττικῆς, πρὸς τὸ δυτικὸν μέρος τῆς Βοιωτίας.

πάλιν ἀπῆλθον ἐπ' οἴκου, διὰ Γερανείας καὶ Ἰσθμοῦ. Ἀθηναῖοι δὲ δευτέρᾳ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς, Μυρωνίδου στρατηγοῦντος. 62. Καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον· καὶ Λοκρῶν τῶν Οπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον· τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἀπετέλεσαν. 63. Ὡμολόγησαν δὲ καὶ οἱ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις, τείχη τε περιελόντες, καὶ ναῦς παραδόντες, φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ τὸ νεώριον τῶν Λακεδαιμονίων ἐνέπρησαν, καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον, καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

(109) 64. Οἱ δὲ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἔτι ἐπέμενον, καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. Τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου οἱ Ἀθηναῖοι· καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον, ἄνδρα Πέρσην, χρήματα ἔχοντα, ὅπως, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων,

§. 62. Οἰνοφύτοις) ὠνομάσθη ἴσως ὁ τόπος οὕτω, διότι ἦτον φυτευμένος μὲ ἀμπέλια.

§. 63. ὡμολόγησ.) Ἰδ. §. 44. — ταξάμενοι) Τόμ. Β'. 39. — ἐν ἀποβ.) τουτέστιν, ἐκβάντες ἐς τὴν γῆν.

§. 64. ἐν τῇ Αἰγύπτῳ) Ἰδ. §. 51. — πολλ. ἰδέαι) διάφορα εἴδη πολέμου. πεζομαχίαι καὶ ναυμαχίαι, νικῶντες καὶ νικώμενοι. — χρήμ. ἔχ.) σὺν χρήμασιν. Ἰδ. §. 4. — ὅπως . . . ἀπαγάγοι) Γραμ. Βουτ. §. ΡΚς'. 6'. — καὶ ἀπ' Αἰγ.) ὁ πρὸ τῆς Ἀπὸ Καὶ λείπει ἐκ τῶν καλλιτέρων χειρογράφων, καὶ φαίνεται περιττός· ἄλλως γὰρ ἔπρεπε νὰ ἐννοήσῃ τις τὸν λόγον, ὅπως, ὅταν αὐτοῖς ἐν τῇ οἰκίᾳ ζημία ἐπιγίνηται, καὶ ἀπ' Αἰγύπτου, ἀναγκασθέντες, ἀναχωρήσειεν.



(καὶ) ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. 65. Ὡς δὲ αὐτῷ οὐ προὐχώρει, καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἀνεκομίσθη· Μεγάβαζον δὲ τὸν Ζωπύρου πέμπει, ἄνδρα Πέρσην, μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε, καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας, καὶ τέλος ἐς Προσωπῖτιδα τὴν νῆσον κατέκλεισε· καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ μῆνας ἕξ, μέχρις οὗ ξηράνας τὴν διώρυχα, καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ, τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε, καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον· καὶ διαβὰς εἷλε τὴν νῆσον πεζῇ.

(110) 66. Οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη, ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν

§. 65. οὐ προὐχώρει) τὰ πράγματα. Ἰδ. ἀριθμ. ΙΖ'. §. 11. — ἀναλοῦτο) Ἰδ. Γραμ. Βουτ. §. ΡΑ'. σελ. 284. π. 265. ν. Ὀρθῶς κεῖται ἐνταῦθα ὁ Παρατατικὸς φανερόνων τὸ διαρκοῦν· ὁ Πέρσης ἀνάλισκε τὰ χρήματα ματαίως, ἐν ὅσῳ ἦτον ἐκεῖ, καὶ ἐνόμισε τελευταῖον καλλίτερον νὰ ἀναχωρήσῃ μὲ τὰ λοιπὰ ὅπου τῷ ἔμειναν· — πάλιν) ὁ πάλιν ἐπιτείνει τὴν ἐν τῷ ἀνεκομίσθη περιεχομένην ἔννοιαν τῆς ἐπιστροφῆς. — πέμπει) ὁ βασιλεὺς εἰς Αἴγυπτον. — ξυμμ.) τοὺς Ἀθηναίους. — Προσωπ.) Προσωπῖτις, νῆσος εἰς τὸν Νεῖλον. Ἰδ. Ἡρόδ. Β'. 41. — τὴν διώρυχ.) βραχίονα τοῦ Νείλου τινὰ, ὅς τις περιεκύκλονε τὴν νῆσον. — τὰς ναῦς) τῶν Ἀθηναίων. — ἐπὶ τοῦ ξηροῦ ἐποίησε) τουτέστιν ἔθηκε.

§. 66. πολεμήσαντα) ἀντὶ, πολεμησάντων. Πολλάκις εἰς τὰς περιφράσεις συντάσσεται τὸ ἐπίθετον μὲ τὴν περιφράζουσαν λέξιν. — Κυρήνην) πόλιν τῆς Κυρηναϊκῆς (ἐπαρχίας τῆς Λιβύης), συνορεύουσαν πρὸς δυσμὰς μὲ τὴν Αἴγυπτον. — Αἴγυπτος) ἀντὶ, οἱ Αἰγύπτιοι· διὰ τοῦτο καὶ ἐπιφέρει, πλὴν Ἀμυρταίου. — ἐν τοῖς ἕλεσι) τὰ ἕλη τοῦ Δέλτα μετὰ τῶν νήσων αὐτοῦ ἦσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς καταφύγιον τῶν διωγμένων καὶ λῃστῶν. — καὶ ἅμα) ἡ Σύνταξις ἤλλαξεν, ἀντὶ, καὶ διὰ τὸ μάχιμον τῶν ἑλείων Αἰγυπτίων.

πορευόμενοι διὰ τῆς Λιβύης, ἐς Κυρήνην διεσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου, τοῦ ἐν τοῖς ἕλεσι βασιλέως. Τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. 67. Ινάρως δὲ ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς, ἀνεςαυρώθη. Εκ δὲ τῶν Αθηναίων καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον, ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. 68. Καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ, καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν, διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δὲ ἐλάσσους διέφυγον πάλιν. Καὶ τὰ μὲν κατὰ τὴν μεγάλην ςρατείαν Αθηναίων τε καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

(111.) 69. Εκ δὲ Θασσαλίας Ορέςης ὁ Εχεκρατίδου υἱὸς τοῦ Θεσσαλῶν βασιλέως, φεύγων ἔπεισεν

§. 67. τὰ πάντα) τὴν ἐν Αἰγύπτῳ ςάσιν. — διάδοχοι) ὡς ἐπίκουροι τῶν ἐκεῖ — ἔσχον) τουτέςι, προςέσχον, προςωρμίσαντο. — τὸ Μενδ. κέρας) ἀκρωτήριον πλησίον ἑνὸς τῶν ἀνατολικῶν ςομάτων τοῦ Νείλου, οὐ μακρὰν τῆς πόλεως Μένδης. — οὐκ εἰδότες) ἡ μετοχὴ ἀναφέρεται πρὸς τὸ περιεχόμενον τῶν τριηρῶν.

§. 68. ναυτικὸν) τουτέςι, νῆες. — ἐλάσσους) τῶν διαφθαρεισῶν ἐλάσσονες περιεσώθησαν. — πάλιν) τὸν δρόμον ὀπίσω, ὅθεν ἦλθον. — τὰ κατὰ τὴν ςρ.) περιφραςικῶς, ἀντὶ, ἡ ςρατεία. Ιδ. Βιγέρ. σελ. 636. Σημ. 11.

§. 69. φεύγων) ἐκ τῆς πατρίδος ἐκπεσών. — Φάρσαλον) πόλιν ἐπίσημον ἐν τῷ μέσῳ τῆς Θεσσαλίας. (λέγεται ἡ πόλις τώρα Φάρσαλα) — τῆς Θεσσαλ. ἐπὶ Φα) καθὼς καὶ ἐν §. 71. „ τῆς Ακαρνανίας ἐς Οἰνιάδας». καὶ §. 77. „ τῆς Αττικῆς ἐς Ελευσῖνα», καὶ Ηροδ. Η'. 93. „ φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Αθηναίης».



Αθηναίους ἑαυτὸν κατάγειν· καὶ παραλαβόντες τοὺς Βοιωτοὺς καὶ Φωκέας ὄντας ξυμμάχους οἱ Αθηναῖοι ἐςράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. 70. Καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων (οἱ γὰρ ἱππεῖς τῶν Θεσσαλῶν εἶργον), τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προὐχώρει αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐςράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ορέςην ἔχοντες ἄπρακτοι. 71. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕςερον χίλιοι Αθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες (εἶχον δ' αὐτοὶ τὰς Πηγὰς) παρέπλευσαν ἐς Σικυῶνα, Περικλέους τοῦ Ξανθίππου ςρατηγοῦντος· καὶ ἀποβάντες Σικυωνίων τοὺς προςμίξαντας μάχῃ ἐκράτησαν, καὶ εὐθὺς παραλαβόντες Αχαιοὺς, καὶ διαπλεύσαντες πέραν, τῆς Ακαρνανίας ἐς Οἰνιάδας ἐςράτευσαν, καὶ ἐπολιόρκουν, οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἴκου.

(112.) 72. Υςερόν δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Αθηναίοις πεν-

§. 70. ὅσα μὴ πρ.) τοσαῦτα, ὅσα ἦτον δυνατὸν, χωρὶς νὰ ἀπομακρυνθῶσιν ἐκ τῶν τόπων, ὅπου ἦσαν τὰ ὅπλα (τοῦ ςρατοπέδου). Ξυγγρ. Γ'. 1. „ τὸ μὴ προεξιόντας τῶν ὅπλων» Εἰς τὰ ὅσα ἐννοείσθω τὸ ἐξῆν, ἢ, ἐδύναντο κρατεῖν. — Ορές. ἔχοντες) Ιδ. §. 2. §. 64.

§. 71. ἐν Πηγαῖς) Ιδ. §. 50. — Σικυῶνα) Σικυὼν, πόλις καὶ ἐπαρχία μικρὰ μεσημβρινοδυτικῶς ἀπὸ τοῦ Ισθμοῦ κειμένη. — εὐθὺς) τὸ εὐθὺς συνάπτεται μὲ τὸ ἐςράτευσαν. — πέραν) ἐκ τῆς Αχαΐας πρὸς τὴν Ακαρνανίαν διὰ τοῦ Κορινθιακοῦ κόλπου. — Οἰνιάδ.) Οἰνιάδαι πόλις τῆς Ακαρνανίας. Ιδ. §. 69. 77. περὶ τῶν συμβάντων τούτων. Ιδ. Πλούταρχ. Περικλ. 19.

§. 72. ἔσχον) ἑαυτοὺς δηλ. ἀντὶ, ἀπέσχοντο. — Κύπρον) Ιδ. §. 26. 51. ἐνταῦθα ἔκειντο αἱ πόλεις Κίτιον καὶ Σαλαμίς. — ἀμφότερα) Ιδ. §. 40. παρὰ τὰ παράλια τῆς Κύπρου κατὰ θάλασσαν καὶ ξηράν. — ἐλθοῦσαι) ἀντὶ, ἐξελθοῦσαι, αἱ εἰς τὸν ςόλον τοῦτον ἀνήκουσαι. ἑξήκοντα νῆες.

ταετεῖς. Καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐςρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, Κίμωνος ςρατηγοῦντος. Καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος, τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀποθανόντος, καὶ λιμοῦ γενομένου, ἀπεχώρησαν ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ, Φοίνιξι καὶ Κυπρίοις καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα. Καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν ἐπ' οἴκου, καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. 73. Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐςράτευσαν· καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ, παρέδοσαν Δελφοῖς. Καὶ αὖθις ὕςερον Ἀθηναῖοι, ἀποχωρησάντων αὐτῶν, ςρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσι.

(113.) 74. Καὶ χρόνου ἐγγενομένου, μετὰ ταῦτα Ἀθηναῖοι, Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν, καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐςράτευσαν, ἑαυτῶν μὲν χιλίοις ὁπλίταις, τῶν δὲ ξυμ-

§. 73. τὸν ἱερὸν πόλ.) τοῦ πολέμου τούτου, ὁ ὁποῖος διὰ τὴν πρὸς τοὺς Δελφοὺς ἀναφορὰν ἱερὸς ὀνομάζεται, μέμνηται καὶ Πλούταρχ. ἐν βίῳ Περικλ. 21. — πόλεμ. ἐςράτευσαν) ἀντὶ, ἐπολέμησαν. Ἰδ. Α'. §. 1. — αὐτῶν) τῶν Λακεδαιμονίων. — κρατήσ.) τοῦ ἱεροῦ.

§. 74. χρόνου ἐγγεν.) Ἰδ. ἀριθ. ΙΗ'. §. 19. — μετὰ ταῦτα) καθὼς, ἐνταῦθα δὴ, §. 13. μετὰ τὴν Μετοχ. Παράβ. ἀριθμ. ΙΘ'. §. 7. ἡ εἶναι μετάθεσις μόνον τῶν λέξεων, ἀντὶ, καὶ μετὰ ταῦτα, χρόν. ἐγγεν. καθὼς §. 87. « μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕςερον». — Βοιωτ. ἐχόντ.) Ἰδ. §. 2. — φευγόντων) τῶν ὀλιγαρχικῶν, οἱ ὁποῖοι νικηθέντες ἐν τῷ προτέρῳ πολέμῳ §. 61. ἐξω[illegible]σαν. — ὡς ἑκάςοις) Ἰδ. §. 69.



μάχων ὡς ἑκάςοις, ἐπὶ τὰ χωρία ταῦτα, πολέμια ὄντα, Τολμίδου τοῦ Τολμαίου ςρατηγοῦντος. Καὶ Χαιρώνειαν ἑλόντες καὶ ἀνδραποδίσαντες ἀπεχώρουν, φυλακὴν καταςήσαντες. 75. Πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵτε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν, καὶ Λοκροὶ μετ' αὐτῶν, καὶ Εὐβοέων φυγάδες, καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν. Καὶ, μάχῃ κρατήσαντες, τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ, ζῶντας ἔλαβον. Καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες, καὶ οἱ ἄλλοι πάντες αὐτόνομοι πάλιν ἐγένοντο.

(114.) 76. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕςερον Εὔβοια ἀπέςη ἀπὸ Ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους ςρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ, ὅτι Μέγαρα ἀφέςηκε, καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν ἐς τὴν Ἀττικήν· καὶ οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων, πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον· ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους ἀπέςησαν οἱ Μεγαρεῖς. 77. Ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν ςρατιὰν ἐκ τῆς Εὐβοίας. Καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐ-

§. 75. ἐν Κ.) πλησίον. Ἰδ. ἀριθμ. Ι'. §. 11. κατ' ἄλλους ἔγινεν ἡ μάχη πλησίον τοῦ Ἁλιάρτου. Ἰδ. Διόδ. Σικ. ΙΒ'. — ἐφ' ᾧ) πρὸς Μέλλ. Ἰδ. §. 48. — τοὺς ἄνδρας) τοὺς αἰχμαλώτους.

§. 76. ςρατιᾷ) σὺν ςρ. Ἰδ. §. 45. Ἰδ. περὶ τῆς ἐκςρατείας ταύτης Πλούταρχ. ἐν βίῳ Περικλ. 22. — οἱ φρουροὶ) Ἰδ. §. 50. ὅπου καὶ περὶ τῆς Νισαίας.

§. 77. πάλιν . . ἐκόμιζε) ἀνεκόμιζε. — τῆς Ἀττ. ἐς Ἐλ.) Ἰδ. §. 60. 71. — Θρίωζε) Θρία ἢ Θριὼ, δῆμος τῆς Ἀττικῆς. Μέμνηται τοῦ Θριασίου πεδίου Πλούταρχ. ἀριθμ. Λ'. §. 36. — Πλειςοάν.) Ἰδ. §. 57.

λευσῖνα καὶ Θρίωζε ἐσβαλόντες, ἐδῄωσαν, Πλειςοάνακτος τοῦ Παυσανίου βασιλέως Λακεδαιμονίων ἡγουμένου. 78. Καὶ τὸ πλέον οὐκέτι προελθόντες ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ Ἀθηναῖοι, πάλιν ἐς Εὔβοιαν διαβάντες, Περικλέους ςρατηγοῦντος, κατεςρέψαντο πᾶσαν. Καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεςήσαντο, Ἑςιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.

(115.) 79. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας οὐ πολλῷ ὕςερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες Νίσαιαν, καὶ Ἀχαΐαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα. Ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννησίων. 80. Ἕκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο περὶ Πριήνης, καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ, παρ' Ἀθηναίους ἐλθόντες, κατεβόων τῶν Σαμίων. Ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται, νεωτερίσαι βουλόμενοι τὴν πολιτείαν. Πλεύσαντες οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ τεσσαράκοντα, Δημοκρατίαν κατέςησαν, καὶ ὁμήρους ἔλαβον τῶν Σαμίων, πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας, καὶ κατέθεντο ἐς Λῆμνον, καὶ φρουρὰν

§. 78. τὸ πλέον) πορρωτέρω. Περὶ τῶν μυςικῶν αἰτιῶν τῆς ἐπιςροφῆς ταύτης ἴδ. Πλούταρχ. ἐν βίῳ Περικλ. 22. — ὁμολογ.) ἀποκατέςησαν τὴν ἡσυχίαν διὰ τῆς εἰρήνης. — Ἑςιαιᾶς) ἀντί, Ἑςιαιέας. Ἴδ. §. 57. πόλιν πρὸς τὸ ἀρκτικὸν μέρος τῆς Εὐβοίας κειμένην, ἥτις ὠνομάσθη μετὰ ταῦτα Ὠρεός.

§. 79. Ἀχαΐαν) πόλις μὲ τοιοῦτον ὄνομα δὲν εἶναι γνωςή. — Τροιζῆνα) πόλιν παραθαλάσσιον τῆς Ἀργολίδος. — Πηγὰς) Ἴδ. §. 50.

§. 80. ἕκτῳ ἔτει) ἀφ' οὗ ἐσφάλισαν τὴν τριακονταετῆ ἀνακωχήν. Ὀλυμπ. ΠΔ'. 4. — Πριήνης) πόλεως τῆς Λυδίας ἀντικρὺ τῆς Σάμου, πρὸς ἄρκτον τῆς Μιλήτου. Ἴδ. περὶ τοῦ πολέμου τούτου Πλούταρχ. Περικλ. 24. 25. — κατεβόων) κατηγόρουν — νεωτερίσαι) νὰ μεταβάλωσι τὴν ὀλιγαρχίαν εἰς δημοκρατίαν. — ἴσους) ἴσον ἀριθμόν.



ἐγκαταλιπόντες ἀνεχώρησαν. 81. Τῶν δὲ Σαμίων (ἦσαν γάρ τινες οἳ οὐχ' ὑπέμειναν, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον) ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις, καὶ Πισσούθνῃ τῷ Ὑςάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους, διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. Καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέςησαν, καὶ ἐκράτησαν τῶν πλείςων· ἔπειτα, τοὺς ὁμήρους ἐκκλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν, ἀπέςησαν, καὶ τοὺς φρουροὺς τῶν Ἀθηναίων, καὶ τοὺς ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν Πισσούθνῃ· ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο ςρατεύειν· ξυναπέςησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

(116.) 82. Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου, ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο (ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου, περιαγγέλλουσαι βοηθεῖν). τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι, Περικλέους δεκάτου αὐτοῦ ςρατηγοῦντος, ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ, Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι ςρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι· καὶ ἐνίκων

§. 81. οὐχ' ὑπέμ.) τὴν δημοκρατίαν δηλ. — ξυνθέμ. τῶν ἐν τῇ πόλ.) ἡ Σύνταξ. ξυνθέμενοι ξυμμαχ. τοῖς δυνατ. τῶν ἐν τῇ πόλ. (τοῖς ὑποτεταγμένοις τῶν ὀλιγαρχικῶν). — ὃς εἶχε) ὡς Περσικὸς σατράπης τῆς Λυδίας. — ὑπὸ νύκτα) ἀριθμ. ΚΓ'. §. 35. — ἐπανές.) ἐπανέςησαν κατὰ τῶν δημοκρατικῶν, προσέβαλον αὐτούς.

§. 82. ἐπὶ Σάμου) Ἴδ. ἀριθμ. Ις'. §. 7. ΙΗ'. §. 2. — ταῖς μὲν) τὸ ἄρθρον ἐτέθη ἐνταῦθα διὰ τὴν ἑπομένην ἐξήγησιν· ἡ δὲ ἔννοια εἶναι, οὐκ ἐχρήσαντο ταῖς ἑκκαίδεκα ναυσὶν, αἳ ἐπὶ Καρίας ἔτυχον οἰχόμεναι. — δεκάτου αὐτοῦ) Ξυγγρ. Γ'. 3. »Κλεϊππίδης τρίτος αὐτὸς ἐςρατήγει.» Ἴδ. ἀριθμ. Η'. §. 8. — Τραγίᾳ) πλησίον τῆς Σάμου. — ςρατιώτ.) ςρατιώτας τῆς ξηρᾶς ἔχουσαι.

Ἀθηναῖοι. 83. Ὕςερον δὲ αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθη- νῶν νῆες τεσσαράκοντα, καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι· καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ, ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν, καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ, λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν, ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐςαγγελθέντων ὅτι Φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας, καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

(117.) 84. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι, ἀφράκτῳ τῷ ςρατοπέδῳ ἐπιπεσόντες, τάς τε προφυλακίδας ναῦς διέφθειραν, καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τεσσαρεςκαίδεκα, καὶ ἐςεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. 85. Ἐλθόντος δὲ Περικλέους, πάλιν ταῖς ναυσὶ κατεκλείσθησαν· καὶ ἐκ τῶν Ἀθηνῶν ὕςερον προςεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἄγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους· ἐκ δὲ

---

§. 83. ἀποβάντες) ἐς τὴν γῆν.—τρισὶ τείχεσι) ἀπὸ τρία μέρη, ςήσαντες τρία ὠχυρωμένα ςρατόπεδα. (Παράβ. καὶ Πλούταρχ. ἐν βίῳ Περικλ. 27) εἰς δὲ τὸν αὐτὸν καιρὸν ἐπολιόρκουν καὶ ἐκ μέρους τῆς θαλάσσης — Καύνου) λιμένος τῆς Καρίας.—καὶ Καρίας) Ἰδ. ἀριθμ. Δ'. §. 3. ε. §. 7. — εἰςαγγελθέντων) ἀγγελίας ἐλθούσης. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΒ'. Σημ. ς'. ά. σελ. 456. π. 424. ν.—Στησαγόρ.) διὰ νὰ προσκαλέσωσι τὰ πλοῖα τῶν Φοινίκων νὰ ἔλθωσιν νὰ σηκώσωσι τὴν πολιορκίαν τῆς Σάμου.

§. 84. ἐν τούτῳ) τοῦ Περικλέους ἀπόντος.—ἀφρ. τῷ ςρατοπ.) ὅτι αἱ νῆες πολλῶν ἀπουσῶν οὐχ ἅλις πεφραγμέναι ἦσαν. Τὸ λοιπὸν ςρατόπεδον ἐνταῦθα κυρίως τὸ ἐπὶ τῶν νηῶν ςράτευμα.

§. 85. Θουκυδίδου) Θουκυδίδης, υἱὸς τοῦ Μιλησίου, εἷς τῶν ἀρίςων τῶν Ἀθηνῶν. Ἰδ. Πλούταρχ. ἐν βίῳ. Περικλ. 11. 14.



Χίου καὶ Λέσβου τριάκοντα. 86. Καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι· ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐννάτῳ μηνὶ, καὶ προςεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες, καὶ ὁμήρους δόντες, καὶ ναῦς παραδόντες, καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Ξυνέβησαν δὲ καὶ Βυζάντιοι, ὥςπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

(118.) 87. Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕςερον τά τε Κερκυραϊκὰ, καὶ τὰ Ποτιδαιατικὰ, καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέςη. Ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιςα, μεταξὺ τῆς τε Ξέρξου ἀναχωρήσεως, καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεςέραν κατεςήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. 88. Οἱ δὲ Λακεδαιμόνιοι, αἰσθόμενοι, οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχὺ, ἡσύχαζόν τε τὸ

---

§. 86. ἀδύνατοι) οὐ δυνάμενοι. Ἰδ. §. 53. — προςεχώρ. ὁμολ.) Ἰδ. § 44. 63. — κατὰ χρόνους) εἰς διαφόρους διορίας. Ἰδ. ἀριθμ. Λ'. §. 29. Π'. §. 13. — ταξάμενοι) Ἰδ. §. 63. — ὥσπερ.) ἐπὶ τοῖς αὐτοῖς, εἰς καὶ πρότερον ἦσαν.

§. 87. οὐ πολλ. ἔτ.) δεκατέσσαρας χρόνους μετὰ τὰς συνθήκας τῆς ἀνακωχῆς. — τὰ Κερκυρ. καὶ τὰ Ποτιδ.) ἡ μεταξὺ τῆς Κορίνθου καὶ Κερκύρας (τῶν Κορφῶν) διχόνοια, καὶ ἡ ὑπὸ τῆς Κορίνθου συνεργηθεῖσα ἀποςασία τῆς ἐπὶ τοῦ Ισθμοῦ τῆς χερσονήσου Παλλήνης πόλεως Ποτιδαίας, ἔγιναν αἰτία τοῦ Πελοποννησιακοῦ πολέμου. Ὀλυμπ. ΠΖ'. 2. — καὶ ὅσα) ἄλλα δηλ. — μάλιςα) Ἰδ. §. 24. — μεταξὺ) ἀπὸ Ὀλυμπ. ΟΔ'. 4. — τὴν ἀρχὴν) τὴν ἡγεμονίαν τῶν Ἑλλήνων. — ἐπὶ μέγα) ἀντὶ, ἐπὶ μεγάλην δύναμιν —

§. 88. ἐπὶ βραχὺ) βραχέως. Ἰδ. Βιγέρ. σελ. 614. VI. — εἰ μὴ ἀναγκ.) τουτέςιν, εἰ μὴ ἐξ ἀνάγκης κινηθεῖεν. — τὸ δέ τι) Παράβ. §. 59. — πρὶν δὴ) ἕως ὅτου τελευταῖον. — τῆς ξυμμ.) ἀντὶ, τῶν ξυμμάχων, τῶν Κορινθίων.

πλέον τοῦ χρόνου (ὄντες μὲν καὶ προτοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι), πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. 89. Τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχὺς, ἢν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. 90. Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωςο λελύσθαι τε τὰς Σπονδὰς, καὶ τοὺς Ἀθηναίους ἀδικεῖν· πέμψαντες δὲ ἐς Δελφοὺς ἐπηρώτων τὸν θεὸν, εἰ πολεμοῦσιν ἄμεινον ἔςαι. Ο δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ παρακαλούμενος καὶ ἄκλητος.

---

§. 89. ἐποιοῦντο) ἀντὶ, ἡγοῦντο. καθὼς τὸ, δεινὸν ποιούμενοι. §. 47. Ιδ. Βιγέρ. σελ. 288. XIV. -- καθαιρετέα ἡ ἰσχ.) τὰ ῥηματικὰ ἐπίθετα συντάσσονται καὶ μὲ ὀνομαςικὴν καὶ μὲ αἰτιατικήν. Γραμ. Βουτ. ΡΚΑ'. Σημ. Γ'.-- ἀραμένοις) αὐτοῖς δηλ. τὸ ὁποῖον πρέπει νὰ ἐννοηθῇ εἰς τὸ ἐδόκει.

§. 90. αὐτοῖς) οὐ τοῖς ξυμμάχοις μόνον. -- εἰ .. ἄμεινον) Ιδ. §. 14. ἀριθμ. ΑΓ'. §. 37. -- κατὰ κράτος) πάσῃ προθυμίᾳ Ιδ. ἀριθμ. ΚΑ'. §. 20.-- ἔφη ξυλλ. Ιδ. Θ'. §. 2. Γραμ. Βουτ. §. ΡΚΘ'. β'. Α'.-- παρακαλ. καὶ ἀκλ.) ἔκφρασις τῆς μεγάλης προθυμίας. Ορὰτ. ῲδ. Β'. 18. 38...-hic levare functum Pauperem laboribus Vocatus atque non vocatus audit.



## ΙΘ'.

## Τελευταῖαι τύχαι τοῦ Θεμιςοκλέους.

(Θουκυδ. Α'. 135. καὶ ἑξ.)

1. — Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου οἱ Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπῃτιῶντο καὶ τὸν Θεμιςοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων· ἠξίουν δὲ τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν· οἱ δὲ, πεισθέντες (ἔτυχε γὰρ ὠςρακισμένος, καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον), πέμπουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων ξυνδιώκειν, ἄνδρας, οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσιν.

(136) 2. Ο δὲ Θεμιςοκλῆς, προαισθόμενος, φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης.

---

§. 1. Μηδισμοῦ) Ιδ. ΙΗ'. 31. 32. — ὡς εὕρισκ.) κατὰ τὰς εὑρέσεις, τὰς ὁποίας ἐπὶ τῆς ἐξετάσεως τοῦ Παυσανίου ἔκαμαν. — ἠξίουν) οἱ Λακεδαιμόνιοι. — τοῖς αὐτοῖς) τῷ αὐτῷ τρόπῳ. Τὴν παιδείαν τοῦ Παυσανίου διηγεῖται ὁ Θουκυδ. Ξυγγρ. Α'. 134. καὶ Κορνήλιος Νέπως ἐν βίῳ Παυσανίου. 5. — ἔτυχε γὰρ) Πολλάκις προτίθεται μετὰ τοῦ Γὰρ λόγος, τὴν αἰτίαν τοῦ ἑπομένου περιέχων. Οὕτω Θουκυδ. Ξυγγρ. Ζ'. 4. » Καὶ Γύλιππος (ἦν γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενὲς), νυκτὸς ἀναλαβὼν τὴν ςρατιὰν, ἐπῄει πρὸς αὐτό. εἰ δὲ Ἀθηναῖοι (ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι), ὡς ᾔσθοντο, ἀντεπῄεσαν.» -- ὠςρακισμ.) Ιδ. Πλούταρχ. Θεμις. 22. 23. καὶ Κορνήλ. Νέπ. Θεμις. 8. -- 10.

§. 2. αὐτῶν) τῶν Κερκυραίων, τὸ ὁποῖον περιέχεται ἐν τῷ Κέρκυραν. Ιδ. Γ'. 5. -- εὐεργέτης) διὰ τῆς μεσιτείας ἐπὶ τῶν μεταξὺ Κερκύρας καὶ τῆς μητροπόλεως Κορίνθου διαφορῶν. Πλούταρχ. Θεμις. 24. —. δεδιέναι) ἀντὶ, μὴ, αὐτὸν ἔχοντες, Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐχθροὶ γένοιντο. — ἐς τὴν ἤπειρον) εἰς τὴν Ηπειρον.

Δεδιέναι δὲ φασκόντων τῶν Κερκυραίων ἔχειν αὐτὸν, ὥςε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. 3. Καὶ διωκόμενος ὑπὸ τῶν προςτεταγμένων, κατὰ πύςιν οἶ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δὲ, τῆς γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑςίαν. 4. Καὶ, ἐλθόντος οὐ πολὺ ὕςερον τοῦ Ἀδμήτου, δηλοῖ τε ὅς ἐςι, καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι. Καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενέςερος ἐν τῷ παρόντι κακῶς πάσχειν· γενναῖον δὲ εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι· καὶ ἅμα, αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς, καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι, ἐναντιωθῆναι· ἐκεῖνον

§. 3. κατὰ πύςιν) πύςιν ἐχόντων, ἤ, πυθομένων. — κατά τι ἄπορον) ἐν μεγάλῃ ἀπορίᾳ γενόμενος. — Μολοσσῶν) εἰς τὸ μεσημβρινὸν μέρος τῆς Ἠπείρου. — οὐ φίλον) Πλούταρχ. Θεμις. 24. « δεηθεὶς δέ τι (ὁ Ἄδμητος) τῶν Ἀθηναίων, καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιςοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεὶ, καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος». — ἐπιδημῶν) παρών. — διδάσκεται) Ἰδ. ΙΖ΄. §. 21.

§. 4. καὶ οὐκ ἀξ. τουτέςι, καὶ ὅτι οὐκ ἄξιον νομίζει τοῦ Ἀδμήτου. — εἴ τι ἄρα) ἀντὶ, διότι· ἡ μετρία ἔκφρασις τῆς ἀμφιβολίας εἶναι πλέον πρέπουσα εἰς τὸν σκοπὸν τοῦ Θεμιςοκλέους. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΓ΄. σελ. 488. π. 453. ν. — ἀσθενέςερος) ὤν, δηλ. ὁ Ἄδμητος δὲν θέλει πράξει γενναίως, ἐὰν μεταχειρισθῇ τὴν ὑπεροχὴν τῆς δυνάμεως αὐτοῦ. — ἀπὸ τοῦ ἴσου) Ἰδ. ΙΗ΄. §. 38. — χρείας τινὸς) ἕνεκα. τουτέςι, χρείας τινὸς ἔξωθεν καὶ οὐ περὶ ζωῆς καὶ θανάτου. — ἐς τὸ σώζεσθαι σῶμα) κατὰ τὴν τοῦ σώματος σωτηρίαν. — ἐφ' ᾧ) ἐπὶ θανάτῳ δηλ. — σωτηρίας ἂν) περὶ τοῦ, καὶ μάλιςα μετὰ τὴν παρένθεσιν, ἐπαναλαμβανομένου ἄν. Ἰδ. Γραμ. Βουτ. §. ΡΛϚ΄. Σημ. γ΄. σελ. 439· π. 408. ν.



δ' ἂν, εἰ ἐκδοίη αὐτὸν (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται), σωτηρίας ἂν τῆς ψυχῆς ἀποςερῆσαι. 5. Ὁ δὲ, ἀκούσας, ἀνίςησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥςπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο· καὶ μέγιςον ἦν ἱκέτευμα τοῦτο (137). Καὶ ὕςερον οὐ πολλῷ τοῖς τε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι, καὶ πολλὰ εἰποῦσιν, οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποςέλλει, βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ, ἐς Πύδναν τὴν Ἀλεξάνδρου. 6. Ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας, καὶ ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων ςρατόπεδον, ὃ ἐπολιόρκει Νάξον· καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηΐ) δείσας φράζει τῷ ναυκλήρῳ ὅς τις ἐςὶ, καὶ δι' ἃ φεύγει· καὶ, εἰ μὴ σώσει αὐτὸν, ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν εἶναι μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν· 7. Ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ ςρατοπέδου, ὕςερον ἀφι-

§. 5. ἀνίςησί τε....καὶ ὕςερον) οὐ μόνον....ἀλλὰ καί. Ἰδ. Γραμ. Βουτ. §. ΡΛΕ΄. σελ. 491. π. 437. ν. — ὥςπερ καὶ ἔχων) ἀντὶ, εὐθὺς, ὡς ἐκάθητο μετ' αὐτοῦ. — καὶ μέγις.) ἀντὶ, μέγιςον γὰρ ἦν τὸ ἱκ. τοῦτο. — ὡς) ἀντὶ, πρός. — βασιλέα) τῶν Περσῶν δηλ. ΙΗ΄. §. 2. — ἐς Πύδν.) τῆς Μακεδονίας. — τὴν Ἀλεξ.) πόλιν (Ἀλεξάνδρου, υἱοῦ τοῦ Ἀμύντου).

§. 6. ἐπ' Ἰωνίας) Ἰδ. ἀριθμ. ΙΗ΄. §. 82. — Νάξον) Παράβ. ΙΗ΄. §. 37. — ἀγνὼς) εἰς παθητικὴν σημασίαν — εἰ μὴ σώσει) Ἰδ. ΙΛ΄. §. 11. ΚΓ΄. §. 34. — μηδένα ἐκβῆναι) εἰ μηδεὶς ἐκβαίη — χάριν ἀπομνήσ.) συνεςραμμένον, ἀντὶ, χάριν ἀποδώσειν μνησθέντα.

§. 7. ἀποσαλ.) τουτέςιν, ἀπὸ τῆς γῆς ἐν σάλῳ τηρήσας. — ὕςερον) καθὼς τὸ, εἶτα, ἔπειτα, μετὰ ταῦτα, μετὰ τὴν Μετοχ. Ἰδ. ΙΗ΄. §. 13.

κνεῖται ἐς Ἔφεσον. 8. Καὶ ὁ Θεμιςοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕςερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους, ἃ ὑπεξέκειτο), καὶ μετὰ τῶν κάτω Περσῶν τινος πορευθεὶς ἄνω, ἐςπέμπει γράμματα ἐς βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου, νεωςὶ βασιλεύοντα. 9. Ἐδήλου δὲ ἡ γραφὴ, ὅτι, «Θεμιςοκλῆς ἥκω παρὰ σὲ, ὅς κακὰ μὲν πλεῖςα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκη ἠμυνόμην· πολὺ δ' ἔτι πλείω ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καί μοι εὐεργεσία ὀφείλεται (γράψας τήν τε ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προςεποιήσατο τότε, δι' αὐτὸν οὐ διάλυσιν), καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι.»

---

§. 8. ἦλθε) χρήματα δηλ. -- ἃ ὑπεξέκειτο) τουτέςιν ἃ ὑπεξέθηκεν ἐν ταύταις ταῖς πόλεσιν. -- τῶν κάτω) τῶν παρὰ τὴν θάλασσαν οἰκούντων -- ἄνω) εἰς τὰ ἐνδότερα τῆς ξηρᾶς -- ἐς βασιλ.) ἀντὶ, πρὸς τὸν βασιλ. Ἰδ. Βιγέρ. σελ. 593. 11. -- Ἀρταξ. ΙΗ'. §. 51.

§. 9. ὅτι) ὁ Ὅτι, ὅταν τις ἀναφέρῃ τοὺς ἰδίους λόγους τινὸς, πλεονάζει. Ἰδ. Βιγέρ. σελ. 191. 7 a. -- ἐπιόντα ἐμοὶ) κυρίως, τῇ ἐμῇ πατρίδι. -- ἐν τῷ ἀσφαλεῖ) ἀντὶ, ἀσφαλῆ ἦν ἐμοὶ τὰ πράγματα, ἢ, ἀσφαλὲς ἦν ἐμοί. -- ἐν ἐπικινδύνῳ) ἀντὶ ἐπικίνδυνος. Βιγέρ. σελ. 603. VII -- γράψας) καθὼς τὸ, εἰπὼν §. 4. -- τῆς ἀναχωρήσ.) Ἰδ. Πλούταρχ. Θεμις. 12. Ἡρόδ. Η'. 75. -- οὐ διάλυσιν) τὴν οὐ διάλυσιν τῶν ἐπὶ τοῦ Ἑλληςπόντου γεφυρῶν. Οὕτω καὶ Συγγρ. Γ'. 95. "τὴν οὐ περιτείχισιν." Βιγέρ. σελ. 410. 38. -- δι' αὐτὸν) ἐκ -- τοῦ κωλύσαντος. -- ἔχων) δυνάμενος. Παράβ. Πλούταρχ. Θεμις. 16. Ἡρόδ. Η'. 110.



(138) 10. Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν, καὶ ἐκέλευσε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ, ὃν ἐπέσχε, τῆς τε Περσίδος γλώσσης ὅσα ἠδύνατο κατενόησε, καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας. Ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτὸν γίγνεται παρ' αὐτῷ μέγας, καὶ ὅσος οὐδείς πω Ἑλλήνων, διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν, καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν· μάλιςα δὲ ἀπὸ τοῦ, πεῖραν διδοὺς, ξυνετὸς φαίνεσθαι. 11. Ἦν γὰρ ὁ Θεμιςοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. 12. Οἰκείᾳ

---

§. 10. ἀφικόμ.) πρὸς τὸν βασιλέα. -- καὶ τοῦ Ἑλλ.) ἀντὶ, καὶ ὅτι αὐτῷ ἐλπίδα ὑπετίθει αὐτῷ τὸ Ἑλληνικὸν δουλώσειν. -- μάλιςα δὲ) καὶ μάλιςα ὅτι ξυνετὸς ἐφαίνετο ἐκ τῆς πείρας τῆς ὑπ' αὐτοῦ δεδομένης.

§. 11. ἦν.. δηλώσας) Βιγέρ. σελ. 342. καὶ ἑξ. -- βεβαιότατα) μάλα βεβαίως. -- φύσεως ἰσχὺν) δεινότητα. -- ἄξιος θαυμάσαι) συνήθης χρῆσις τοῦ ἐνεργητικ. Απαρεμφ. ἀντὶ τοῦ παθητικοῦ ΚΒ'. 10. » ῥᾴους ἄρχειν». §. 33. »ἦν.. πάντα ὁμοῦ ἀκοῦσαι». -- ἐς αὐτὸ) κατὰ τοῦτο, τὴν φύσεως ἰσχύν.

§. 12. οὔτε προμ. οὔτ' ἐπιμ.) μήτε πρότερον, εἰς τοὺς πρώτους χρόνους τῆς ἡλικίας του, μήτε ὕςερον μαθὼν, ἀλλὰ μόνον διὰ τῆς ἐμφύτου δυνάμεως τοῦ νοός του. Φύσει ἦν ξυνετὸς, καὶ οὐ μαθήσει. -- τῶν παραχρῆμα) τῶν παραπιπτόντων· εἰς τὸ ὁποῖον ἀντίκειται τὸ, τῶν μελλόντων. -- μετὰ χειρὸς) ὡς τὸ διὰ χειρός. ἀριθμ. Ε'. 2. ἐν γένει δὲ, τὸ ὑποκείμενον τῶν ὑποθέσεών του εἰός τε ἦν καὶ ἐξηγήσασθαι, τουτέςι λόγοις διεξελθεῖν, δηλῶσαι. -- κρῖναι) περὶ τούτων ὅμως κρῖναι οὐκ ἦν ἀδύνατος -- ἐν τῷ ἀφανεῖ) ἐν τοῖς ἔτι ἀφανέσι μάλιςα προεώρα τό, τε συνοῖσον καὶ τὸ βλαπτικόν. -- αὐτοσχεδ.) τουτέςιν αὐτοσχεδιαςὶ, παραχρῆμα εὑρίσκειν. Τὴν περικοπὴν ταύτην εἶχε πρὸ ὀφθαλμῶν καὶ Κορν. Νέπ. Θεμις. α. » εὑρίσκε δὲ ταχέως τὰ χρειώδη, καὶ τὰ ἐξηγεῦσεν εὐκόλως μὲ τὸν λόγον, οὐχ ἧττον ἕτοιμος εἰς τὸ νὰ βάνῃ εἰς ἔργον τὰ πράγματα, ἢ νὰ τὰ ἐφευρίσκῃ· διότι καὶ περὶ τῶν ἐνεςώτων (ὡς λέγει ὁ Θουκυδίδης) ἀληθέςατα ἔκρινε, καὶ τὰ μέλλοντα φρονιμώτατα ἐσυμπέραινε.» celeriter quae opus erant reperiebat, neque minus in

γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν, οὔτ' ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' ἐλαχίςης βουλῆς κράτιςος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖςον τοῦ γενησομένου ἄριςος εἰκαςής· καὶ ἃ μὲν μετὰ χειρὸς ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό, τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιςα, καὶ, τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιςος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. 13. Νοσήσας δὲ τελευτᾷ τὸν βίον. Λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐςὶ τῇ Ἀσιανῇ, ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ, Μαγνησίαν μὲν, ἄρτον, ἣ προςέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· Λάμψακον δὲ, οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι)· Μυοῦντα δὲ, ὄψον. 14. Τὰ δὲ ὀςᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προςήκοντες οἴκαδε, κελεύσαντος ἐκείνου, καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ. Οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντος.

---

rebus gerendis promtus, quam excogitandis erat; quod et de instantibus, ut ait Thucydides, verissime judicabat, et de futuris callidissime conjiciebat.

§. 13. Περὶ τοῦ θανάτου τοῦ Θεμιςοκλέους Ἰδ. Πλούταρχ. Θεμις. 31. — μὲν οὖν) ὁ μὲν οὖν χρησιμεύει εἰς τὴν ἐξακολούθησιν τοῦ λόγου. Ἰδ. Ἑρμάνν. εἰς Βιγέρ. σελ. 845. — ἄρτον . . . οἶνον . . . ὄψον) ἀντὶ, εἰς ἄρτον . . . . Αἱ ἐπαρχίαι τοῦ Περσικοῦ βασιλείου ἔφερον τὰ προϊόντα των ὡς δοσίματα εἰς τὴν αὐλὴν τοῦ βασιλέως καὶ τῶν σατραπῶν. Ἡρόδοτ. ΨΑ'. 192. — Μαγνησία, Λάμψακος καὶ Μυοῦς, πόλεις παραθαλάσσιαι τῆς ἐλάσσονος Ἀσίας.

§. 14. τὰ δὲ ὀςᾶ) ἠμπορεῖ τις νὰ συντάξῃ τὴν περίοδον, οἱ προςήκοντές φασι τὰ αὐτοῦ ὀςᾶ κομισθῆναι . . . . ἂν δὲν ἡνώθησαν καὶ ἐνταῦθα δύο διάφοροι Συντάξεις εἰς μίαν, δηλ. τὰ δὲ ὀςᾶ, φασὶν, οἱ



# Κ'.

## Δημόσιος ἐνταφιασμὸς τῶν κατ' ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου ἀποθανόντων Ἀθηναίων.

(Θουκυδ. Β'. 34.)

1. Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι, τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. Τὰ μὲν ὀςᾶ προτίθενται τῶν ἀπογενομένων, πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαςος, ἤν τι βούληται· Ἐπειδὰν δὲ καὶ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάςης μίαν· ἔνεςι δὲ καὶ τὰ ὀςᾶ ἧς ἕκαςος ἦν φυλῆς. 2. Μία δὲ κλίνη κενὴ φέρεται ἐςρωμένη τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. Ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀςῶν καὶ ξένων. Καὶ γυναῖκες πάρεισιν

---

προσήκοντες ἐκομίσαντο. καὶ, φασὶ τὰ ὀςᾶ ὑπὸ τῶν προσηκόντων κομισθῆναι. Ἰδ. ἔπισθ. ἀριθμ. ΙΖ'. §. 14. — οὐ γὰρ) Ἰδ. ἀριθμ. ΙΒ'. §. 22.

§. 1. ἐν τῷδε τῷ πολ.) ΙΗ'. §. ἐν τῷ πρώτῳ ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου. — ἀπογενομ.) ἀντὶ, ἀποθανόντων. Ἰδ. ΚΑ'. §. 14. κατ' εὐφημισμὸν, ὅς τις ἐνταῦθα συντείνει καὶ εἰς τὸ ποικίλον τῆς φράσεως. — πρότριτα) τῇ τρίτῃ ἡμέρᾳ πρὸ τῆς ταφῆς — ἐπιφέρει) περὶ ςολισμῶν καὶ θυσιῶν, τὰ ὁποῖα φέρει ἕκαςος εἰς τοὺς ἀποθανόντας προσήκοντας. — καὶ ἡ ἐκφορὰ) ὡς πρὸς τὰς προςτομασίας — κυπαρισσίνας) διὰ τὸ ἄσηπτον εἶναι. — ἔνεςι) τουτέςι, τὰ ὀςᾶ ἑκάςου ἔνεςι τῇ λάρνακι τῆς φυλῆς, ἧς ἦν.

§. 2. εἰ ἂν μὴ) εἴ τινές εἰσιν, οὓς εὑρεῖν οὐκ ἐδυνήθησαν. — εἰς ἀναίρ.) ἀντὶ, ὥς τε ἀναιρεθῆναι.

αἱ προσήκουσαι ἐπὶ τὸν τάφον, ὀλοφυρόμεναι. 3. Τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως (καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ, διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν)· ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. 4. Μετὰ δὲ τοῦτο ἀπέρχονται. Ὧδε μὲν θάπτουσι· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. Ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ᾑρέθη λέγειν.

## ΚΑ'.

## Λοιμὸς ἐν Ἀθήναις.

(Θουκυδ. Β'. 47.)

1. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτοῦ πρῶτον ἔτος τοῦ πολέμου τούτου ἐτελεύτα. Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τὰ δύο μέρη, ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον εἰς τὴν Αττικὴν (ἡγεῖτο δὲ Ἀρ-

§. 3. προαστείου) ἐν τῷ Κεραμεικῷ, πρὸς τὸ βορειοδυτικὸν μέρος τῆς πόλεως κειμένῳ, πλησίον τῆς Ακαδημίας.—τοὺς ἐκ τῶν πολ.) ἀντὶ, τοὺς ἐν πολέμῳ ἀποθανόντας. Πλάτ. Απολ. 28. «τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας.»—ἐκείνων δὲ) ἀντὶ, γάρ. Ἰδ. Βιγέρ. σελ. 543.—αὐτοῦ) ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ ἀπέθανον.—ὃς ἂν δοκῇ) ἡ Υποτακτ. τίθεται μετὰ τὸ ὃς ἂν εἰς λόγους γενικούς. Ἰδ. §. 2.—ἔπαινον) Ἰδ. τοιοῦτον ἐπιτάφιον λόγον ἀριθμ. ΚΒ'.

§. 4. ὁπότε ξυμβαίη) (Ἰδ. Ε'. §. 26. ΙΑ'. §. 1.) ἀντὶ, ἀνδρῶν ἐν τῇ μάχῃ ἀποθανόντων.

§. 1. ὁ τάφος) περὶ τοῦ ὁποίου Ἰδ. ἀριθμ. Κ'.—Πελοπ. καὶ οἱ ξύμ.) τὸ ἔθνος οἱ Ονομαστικ. πρὸ τῶν μερῶν Ἰδ. ΙΗ'. §. 4.



χίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς.), καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. 2. Καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Αττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Αθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον, καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. 3. Οὔτε γὰρ ἰατροὶ ἤρκουν τοπρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον, ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία. Ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν. Τελευτῶντες δὲ αὐτῶν ἀπέστησαν ὑπὸ τοῦ κακοῦ νικώμενοι.

(48.) 4. Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς

§. 2. οὐ πολλάς πω) ἀντὶ, οὔπω πολ.—ἡ νόσος) ἔθηκεν τὸ ἄρθρ. ἐνταῦθα, προϋποθέτων ὅτι τὸ πρᾶγμα, περὶ οὗ ὁ λόγος, εἶναι εἰς καθένα σχεδὸν ἀναγνώστην γνωστόν·—λεγόμενον) ὡς νὰ μὴ προηγήθη νόσος, ἀλλὰ νόσημα. Ὁ Θουκυδίδης μεταβαίνει συχνάκις ἀπὸ τοῦ ὡρισμένου γένους εἰς τὸ οὐδέτερον. Ἰδ. Βιγέρ. σελ. 43. Σημ.—ἐγκατασκῆψαι) τὸ ἐνσκήπτω λέγεται κυρίως περὶ τοῦ κεραυνοῦ· ἔπειτα δὲ καὶ περὶ παντὸς ἐμπίπτοντος κακοῦ. Φιλόστρ. ἐν βίῳ Απολλ. σελ. 148. «ὁ λοιμὸς... ἐνέσκηψε μὲν ἐς τὰς Ἑλληςποντικὰς πόλεις.»—φθορὰ) τοσαύτη δηλ. ἤ, οὕτω μεγάλη.

§. 3. ἀγνοίᾳ) ἀγνοοῦντες, ὁποία τις νόσος ἦν.—ὅσῳ μάλιστα) Ἰδ. Βιγέρ. σελ. 715. 87. καὶ Συγγρ. Α'. 92. «πολλῷ μάλιστα» καὶ Σοφοκλ. Αντιγ. 1062.» ὅσῳ κράτιστον χρημάτων εὐβουλία.»—οὔτε ἄλλη τέχνη ἤρκει δηλ.—ὅσα) τουτέστιν, αἱ ἱκεσίαι πᾶσαι, καὶ τὰ μαντεῖα οἷς ἐχρήσαντο.—τελευτῶντες) τελευταῖον. Βιγέρ. σελ. 364. 16.—αὐτῶν) τῶν ἱκεσιῶν καὶ μαντείων δηλ.—ὑπὸ τ. κ. νικ.) τουτέστι, τοῦ κακοῦ λίαν αὐξηθέντος. Ἰδ. §. 14.

§. 4. Ἡ περιγραφὴ τοῦ λοιμοῦ μετεφράσθη σχεδὸν κατὰ λέξιν ὑπὸ τοῦ Λουκρετίου ϛ'. 1136. καὶ ἑξ. Παράβ. Βιργίλ. Γεωργικ. Γ'. 478 Οβίδ. Μεταμόρφ. Ζ'. 523.—τῆς ὑπὲρ Αἰγ.) τῆς πρὸς

Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. Ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥςτε καὶ ἐλέχθη ὑπ' αὐτῶν, ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐςβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι· ὕςερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. 5. Λεγέτω μὲν οὖν περὶ αὐτοῦ, ὡς ἕκαςος γιγνώσκει, καὶ ἰατρὸς καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας, ἅςτινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν εἰς τὸ μεταςῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴποτε καὶ αὖθις ἐπιπέσοι, μάλις' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

---

μεσημβρίαν τῆς Αἰγύπτου. Ἰδ. Η'. §. 51. — τὴν πολλήν) Ομ. Ιλ. Ο. 80. ν... ὅςτ' ἐπὶ πολλὴν Γαῖαν ἐληλυθώς. « — ἐνέπεσε) καθὼς καὶ τὸ ἐγκατέσκηψεν. — ὑπ' αὐτῶν) τῶν Ἀθηναίων. — εἰς τὴν ἄνω π.) εἰς τὰς κυρίως Ἀθήνας. — πολλῷ μᾶλλον) τουτέςι πολλοὶ πλείονες.

§. 5. ἀφίνων εἰς ἄλλους τὴν ἐξήγησιν τῶν αἰτιῶν ἀναλαμβάνει ὁ Θουκυδ. τὴν περιγραφὴν μόνον τοῦ φαινομένου. — περὶ αὐτοῦ) τοῦ λοιμοῦ. — ἰδιώτης) τέχνης ἄμοιρος. — ἀφ' ὅτου) ἀπὸ τίνος ἀρχῆς. — δύναμιν ἐς τὸ) τουτέςιν ὥςε δύνασθαι τοσαύτην μετάςασιν ἢ μεταβολὴν τίκτειν. Αἱ λέξεις ἐς τὸ μεταςῆσαι ἐπαναλαμβάνουσι λοιπὸν τὴν ἐν τῷ μεταβολῆς ἐκφρασθεῖσαν ἔννοιαν. Κυκλωτέρα θέλει φανῇ ἡ συνάφεια, ἐάν τις, καθὼς καὶ ἄλλοι πεπαιδευμένοι προβάλλουσι, προσθέσῃ μετὰ τὸ εἶναι Καί. — οἷόν τε... καὶ) Γραμ. Βουτ. §. ΡΛΕ'. σελ. 491. π. 457. ν. — καὶ ἀφ' ὧν) τουτέςι δηλώσω τὰ σημεῖα, ἀφ' ὧν ἄντις ἔχοι μὴ ἀγνοεῖν (τουτέςι γιγνώσκειν) τὴν νόσον, προειδὼς αὐτὴν οἵα τις ἐςίν, εἴ ποτε καὶ αὖθις ἐπιπέσοι. — ἄν τις... ἂν ἔ.) Ἰδ. περὶ τοῦ διπλοῦ Αν ἀριθμ. ΙΟ'. §. 4.



(49) 6. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιςα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι ἐς τοῦτο πάντα ἀπεκρίθη· τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε. 7. Καὶ τὰ ἐντὸς, ἥτε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυςῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο. Καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ ςήθη ὁ πόνος, μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν ςηρίξαι, ἀνέςρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσίν, ἐπήεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης· λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενή, σπασμὸν ἐνδιδοῦσα ἰσχυρόν, τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ

---

§. 6. τὸ μὲν ἔτος ἠμπορεῖ νὰ θεωρηθῇ ὡς Ὀνομαςικὴ ἀπόλυτος· τὸ δὲ κυρίως ὑποκείμενον τοῦ λόγου εἶναι τὸ ἐκεῖνο. — ἐς τὰς ἄλλ.) τουτέςι κατὰ τὰς ἄλλ. Ἰδ. Βιγέρ. σελ. 592. — ἐς τοῦτο ἀπεκρίθη) ἀποκρίνεσθαι ἔς τι, λέξις τεχνικὴ περὶ τῶν ἀσθενειῶν, αἱ ὁποῖαι φαίνονται ὅτι μεταβάλλονται εἰς ἄλλο τι. Ἰδ. §. 12. — τοὺς ἄλλους) οἵτινες οὐ προέκαμνον. — τῆς κεφαλῆς... καὶ τῶν ὀφθαλμῶν.. ἐλάμβ.) Ἰδ. ἀριθμ. Ι'. §. 17 Γραμ. Βουτ. §. ΡΙΘ'. γ'. δ'. σελ. 417. π. 384. ν.

§. 7. τὰ ἐντὸς) μέρη. — ἠφίει) ἡ φάρυγξ. — ἄτοπον) Spiritus ore foras tetrum volvebat odorem. Λουκρέτ. ς'. 1152. — ἐξ αὐτῶν) τῶν συμπτωμάτων· — ὁπότε.. ςηρίξαι) ἑαυτὸν δηλ. Βιγέρ. σελ. 179. ςηρίζειν λέγεται περὶ τῶν ἀσθενειῶν, αἱ ὁποῖαι ςερεόνονται εἰς ἐν[illegible] — καρδίαν) τὸν ςόμαχον. — ἀποκαθάρσεις πᾶσαι) ἐπειδὴ εἶναι διάφορα εἴδη τῆς ἀποχωρίσεως τῆς χολῆς ἀπὸ τοῦ αἵματος. — ὠνομασμέναι) καθόσον ἀποκάθαρσις εἶναι λέξις τεχνικὴ ἰατρική. — μετὰ ταλαιπ.) τουτέςι μετὰ πολλῶν ὀδυνῶν. — λύγξ... κενή) ἀντίκειται τῇ πλήρει, ἡ ὁποία γίνεται ἐκ τῆς ἐπιφορτίσεως τοῦ ςομάχου. — μετὰ ταῦτα) αὐτίκα.

ὕςερον· 8. Καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρόν, ἀλλ' ὑπέρυθρον, πελιδνόν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥςτε μήτε τῶν λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολάς, μήτ' ἄλλο ἢ γυμνὸν ἀνέχεσθαι, ἥδιςά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν· καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων καὶ ἔδρασαν ἐς φρέατα, ἀπαύςῳ τῇ δίψῃ ξυνεχόμενοι. Καὶ ἐν τῷ ὁμοίῳ καθειςήκει τό,τε πλέον καὶ ἔλασσον ποτόν. 9. Καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν, καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ παντός· καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ· ὥςτε ἢ διεφθείροντο οἱ πλεῖςοι ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἤ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγι-

§. 8. ἁπτομένῳ) εἴ τις ἅπτοιτο αὐτοῦ. Ἰδ. §. τκ. Ηρόδ. Λ'. 181. „μεσοῦντι δέ κου τῆς ἀναβάσιός ἐςι καταγωγή“. — χλωρόν) κιτρινόχλωμον, ὡς τὸ τῶν παροξυνομένων. — πελιδνόν) τὸ εἰς κυανοῦν μεταβαῖνον ἐρυθρόν. — ἐξηνθηκὸς) κυρίως ἕλκεα ἐξήνθηκε. — ἢ γυμνόν) τουτέςιν ἢ τὸ γυμνὸν εἶναι. — ὥςτε... ἥδιςα) ἡ Σύνταξ. ὥςε... ἥδιςα ῥίπτειν ἄν. παρακατιὼν „καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων καὶ ἔδρασαν ἐς φρέατα“ ὅπου αἱ λέξεις, ἐς φρέατα, προςετέθησαν ἐπεξηγηματικῶς, ἀντί, ἐς τὰ φρέατα δηλονότι ῥίπτοντες ἑαυτοὺς ἢ ἄλλως, καὶ πολλοί... ἐς φρέατα· δηλ. τοῦτο ἔδρασαν καὶ ἐς τὰ φρ. Η ἔννοια· καὶ πολλοὶ ἔκαμνον τοῦτο οὐ μόνον εἰς ῥέον ὕδωρ, ἀλλὰ καὶ εἰς βαθέα φρέατα. — ἐν τῷ ὁμ. καθ.) τουτέςιν καὶ ὅμοιον ἦν εἴ τις πλέον πίοι ἢ ἔλασσον.

§. 9. ἀπορία τοῦ μὴ ἡσ.) τὸ Μὴ κεῖται [illegible] μετὰ τὸ Οὐσιαςικόν, καθὼς μετά τι ῥῆμα ἐν ἑαυτῷ ἄρνησιν περιέχον. Ἰδ. Βιγέρ. σελ. 777. κγι. — ἐνναταῖοι) περὶ τῆς χρήσεως ταύτης τῶν ἀριθμητικῶν ἐπιθέτων Ἰδ. Βιγέρ. σελ. 71. XV Σημ. 88. — εἰ διαφύγ.) ἐὰν ἡ κυρίως ἀσθένεια παρήρχετο. — ἐπικατιόντος), αἱ ἀπόλυτ. Γενικαὶ αὗται ἀποδίδονται εἰς τὸ διεφθείροντο.



γνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ πολλοὶ ὕςερον δι' αὐτὴν ἀσθενείᾳ διεφθείροντο. 10. διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν· καὶ εἴ τις ἐκ τῶν μεγίςων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε. Κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας καὶ πόδας· καὶ πολλοὶ ςερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. Τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναςάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

(50). 11. Γενομένου γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ ἀνθρωπείαν φύσιν προςέπιπτεν ἑκάςῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλιςα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων

§. 10. τὸ ἐν τῇ κεφαλῇ πρ. ἱδρ.) προσθήκη ἐπεξηγηματικὴ τοῦ ἄνωθεν. — ἱδρυθὲν) ςηριχθέν. Ἰδ. §. 7. — ἐκ τῶν μεγίς.) κινδύνων δηλ. — ἀντίληψις) νόσος, νοσώδης κατάςασις τῶν αὐτοῦ (τοῦ ἀναλαμβάνοντος) ἀκρωτηρίων. — ἐπεσήμαινε) Επισημαίνειν λέγεται περὶ ἀσθενειῶν, αἱ ὁποῖαι φανερόνονται διά τινων συμπτωμάτων· καὶ περὶ τῶν σημείων, τὰ ὁποῖα μένουσι ἀπὸ ἀσθενείας τινός. — διέφευγον) τὸν θάνατον.

§. 11. κρεῖσσον λόγου) ἀντὶ μεῖζον. Ἰδ. Βιγέρ. σελ. 65. Σημ. 77. Εὐριπ. Φοιν. 896. „κρεῖσσον τὸ κακόν ἐςι τἀγαθοῦ.“ — ἢ κατὰ ἀνθρωπ.) Ηρόδ. Η'. 38. „δύο γὰρ ὁπλίτας μέζονα ἢ κατὰ ἀνθρώπων φύσιν ἔχοντας.“ — καὶ ἐν τῷδε) καὶ ἐν τῷ ἑξῆς ἐδήλωσεν (ἡ νόσος) τὸν ἀσυνήθη καὶ ὑπὲρ φύσιν χαρακτῆρα αὐτῆς. — τῶν ξυντρόφων) τῶν εἰωθότων. — τεκμήριον δὲ) Ἰδ. Γραμ. Βουτ. §. ΡΛϛ'. Γ'. ϛ. σελ. 310. π. 474. — οἱ δὲ κύνες) ὡς ἀπόδειξις, ὅτι ἡ νόσος μετεδίδετο καὶ εἰς τὰ ζῶα ἐν γένει. — περὶ τοιοῦτον οὐδὲν) τουτέςι περὶ τὰ ἄταφα σώματα. — αἴσθησ. παρ.) ἀντὶ. ἐν τοῖς κυσὶ μᾶλλον ἦν αἰσθάνεσθαι. — ξυνδιαιτᾶσθαι) τοῖς ἀνθρώποις.

γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο. Τεκμήριον δέ, τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι.

(51) 12. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν· καὶ ἄλλο παρελύπει κατ᾽ ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. Ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι· ἕν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ,τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε· σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτό, ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. 13. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία, ὁπότε τις αἴσθοιτο κάμνων, (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ,

§. 12. παραλιπόντι) εἴτις παραλείπει. Ἰδ. §. 8. συνέχεται δὲ τοῦτο κατὰ τὴν ἔννοιαν μετὰ τοῦ, τοιοῦτον ἦν ἐπίπ. τὴν ἰδ. Εἴ τις παραλείπει πολλὰ καὶ ἄλλα ἐν μέρει ἄτοπα, τοιαύτη ἦν ἐν γένει τὴν ἰδέαν ἡ νόσος, ὡς προείρηται. — ἀτοπίας) ἀντὶ ἄτοπα, σημεῖα δηλ. — ἐτύγχ. γιγνόμενον) ἀντὶ ἐγίγνετο. — πρὸς ἕτερ.) ἡ Πρὸς ὡς ἔκφρασις τῆς παραβολῆς. Βιγέρ. σελ. 665. XIII. — ἄλλο . . οὐδὲν) νόσημα. — ἕν τε οὐδὲν) ἦσαν μὲν πολλὰ ἰατρικά, οὐδὲ ἓν ὅμως κατέστη εἰδικόν. — ὅ, τι χρῆν) τουτέστιν ἐδύνατο. — προσφέροντας) τουτέστι τοὺς αὐτῷ χρησαμένους· ἀντὶ ὅ, τι προσφερόμενον ὠφελεῖν ἐδύνατο. — ὂν διεφάνη) ἐμφαντικώτερον παρὰ τὸ ἦν. — αὔταρ. πρὸς αὐτὸ) ἱκανὸν ὥστε ἀντέχειν τῷ νοσήματι. — ἰσχύος π.) τουτέστιν εἴτε ἰσχυρὸν ἦν, εἴτε ἀσθενές. — πάντα) σώματα.

§. 13. τὸ ἀνέλπιστον) ἀντὶ τὴν ἀνελπιστίαν· καθὼς ἀριθμ. ΙΗ'. §. 6. τὸ ὕποπτον. §. 27. τὸ ξυγγενές. — προΐεντο) ἠμέλουν. — ἀφ᾽ ἑτέρου θερ.) ἕτερον τινὰ θεραπεύων. ἀναπιμπλάμενοι) τῆς νόσου δηλ.



πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτούς, καὶ οὐκ ἀντεῖχον), καὶ ὅτι ἕτερος ἀφ᾽ ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα, ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. Εἴτε γὰρ μὴ θέλοιεν, δεδιότες, ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι· καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο· καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. 14. Αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι. Δὶς γὰρ αὐτὸν ὥστε καὶ κτείνειν οὐκ ἐπελάμβανε· καὶ ἐμακαρίζοντό τε

Τὸ πληθυντικὸν ἀναπιμπλάμενοι διὰ τὸ ἕτερος, τὸ ὁποῖον ἐκληπτέον ὡς περιληπτικόν. — ὥσπερ τὰ πρ.) Πλούταρχ. εἰς Περικλ. 34. ἐξηγῶν τὰς αἰτίας τῆς νόσου ταύτης λέγει „ τούτου δ᾽ αἴτιος ὁ τῷ πολέμῳ τὸν ἀπὸ τῆς χώρας ὄχλον εἰς τὰ τείχη καταχεάμενος, καὶ . . . ἐῶν, ὥσπερ βοσκήματα καθειργμένους, ἀναπίμπλασθαι φθορᾶς ἀπ᾽ ἀλλήλων „. — ἐκενώθησαν) ἐρημώθησαν. — μεταποιούμ. ἀρετῆς) φροντίζοντες· τὸ ἀρετὴ φανερόνει ἐνταῦθα ἀγάπην τῶν καθηκόντων ἠνωμένην μὲ θάρρος. Παράβ. Λουκρέτ. ἐν τῷ ῥηθέντι τόπῳ 1241.

§. 14. ἐπεὶ . . . ἐξέκαμνον) ἡ Σύνταξ. ἐπεὶ καὶ οἱ οἰκεῖοι ἐξέκαμ. τελευτῶντες (τελευταῖον. Ἰδ. §. 3.) καὶ τὰς ὀλοφ. (ὀλοφυρόμενοι ὑπὲρ τῶν ἀποθανόντων) τῶν ἀπογεν. Παράβ. Κ'. §. 1. Η πρόθεσις τοῦ ἐξέκαμνον συμβάλλει εἰς ἐπίτασιν τῆς ἐννοίας. — ὑπὸ τοῦ κακ.) Ἰδ. §. 3. — ἐπὶ πλέον) Ἰδ. Βιγέρ. σελ. 628. Σημ. — οἱ διαπεφευγ.) τὸν θάνατον δηλ. — ἐν τῷ θαρσ.) ὡς τὸ ἐν ἀσφαλεῖ. ΙΘ'. §. 9. — οὐκ ἐπελάμβ.) ἡ νόσος. — ὥστε καὶ κτείν.) τοὐλάχιστον τὸ ἐξανακτύπημα δὲν ἦτον θανατηφόρον. — τῷ παραχ. περιχ.) ἀντὶ ἡ παροῦσα χαρὰ ἐλπίδα αὐτοῖς ἐνεποίει. — ἐλπίδος . κούφης) ἐλπίδος, ἥτις δὲν ἐστηρίζετο εἰς τίποτε, ὅθεν κενῆς· ἡ ὁποία σημασία εἶναι πλέον ἀνάλογος εἰς τὴν συνέχειαν, παρὰ ἡ ποιητικωτέρα κουφιζούσης τὴν λύπην.

ὑπὸ τῶν ἄλλων, καὶ αὐτοί, τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης, μήποτ' ἂν ὑπ' ἄλλου νοσήματος ποτὲ ἔτι διαφθαρῆναι.

(52.) 15. Ἐπίεσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. Οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων, ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ· ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας, ἡμιθνῆτες, τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ· τά τε ἱερά, ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων. 16. Ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι, οὐκ ἔχοντες ὅ,τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως· νόμοι τε πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον

§. 15. μᾶλλον) τὸ ἐπιτατικὸν μάλα, ἄγαν. — ἡ ξυγκομιδὴ) Παράβ. Πλούταρχ. εἰς Περικλ. 34. — οὐχ ἧσσον) λιτότης· ἀντὶ τοῦ λίαν, μάλιστα. Ἰδ. Βιγήρ. σελ. 465. XII. — τοὺς ἐπελθ.) ἐκ τῶν ἀγρῶν δηλ., τοὺς ἀγροίκους. — ὥρᾳ ἔτους) ὥρα ἔτους, κατ' ἐξοχὴν τὸ ἔαρ καὶ τὸ θέρος. — οὐδενὶ κόσμῳ) πάνυ ἀκόσμως. Ἰδ. ΚΒ'. §. 47. — νεκροὶ) ἡ Σύνταξ. νεκροὶ ἔκειντο, ὡς τὸ ἑπόμενον τοῦ ἐπ' ἀλλήλοις ἀποθνήσκ. — τά τε ἱερὰ) ἐπειδὴ οἱ νεκροὶ ἐμίαινον τοὺς ἱεροὺς τόπους, διὰ τοῦτο ἀπέφευγε καθεὶς τὸ εἰς τοιούτους τόπους ἀποθνήσκειν (Ἰδ. ἀριθμ. ΙΓ'. §. 27.)· ὅθεν αἱ λέξεις αὐτοῦ (ἐκεῖ) ἐναποθν. δὲν κεῖνται περιττῶς.

§. 16. οὐκ ἔχοντ. ὅ,τι) Ἰδ. Βιγήρ. σελ. 252. XIV. — ἱερῶν καὶ ὁσίων) Ἰδ. ΚϚ'. §. 4. — ἐς ἀναισχ. θήκας) ἀντὶ ταφάς. Ἀντὶ δὲ νὰ εἴπῃ ἀλλοτρίας, τῷ ἐπιτηδείων ἀντιθετικῶς, μεταχειρίζεται ὁ Θουκυδ. τὸ ἀναισχύντους, τὸ ὁποῖον ἐκφράζει ἐν ταὐτῷ καὶ τὴν αἰτίαν τοῦ φερσίματος τούτου καὶ τὴν ἰδίαν αὐτοῦ περὶ τούτου κρίσιν. — ἐπὶ πυρὰς ἀλλ.) τὸ ἐπὶ πυρ. ἀλλ. πρέπει νὰ συναφθῇ καὶ μὲ τὰ δύο ῥήματα ἐπιθέντες καὶ ἐπιβαλόντες. — φθάσ. τοὺς νήσ.) τουτέστι πρὶν αὐτοὺς τοὺς νήσαντας καύσαι τὴν πυράν, ὑφῆπτον αὐτήν.



περὶ τὰς ταφάς· ἔθαπτον δὲ ὡς ἕκαστος ἠδύνατο· καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο, σπάνει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μέν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον· οἱ δέ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόντες, ὃν φέροιεν, ἀπῄεσαν.

(53.) 17. Πρῶτον μὲν ἦρξε καὶ ἐς τἄλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. Ῥᾷον γὰρ ἐτόλμα τις, ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων· ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. 18. Καὶ τὸ μὲν προς-

§. 17. ἦρξεν . . ἀνομίας) ἀρχὴ ἐγίνετο. — ἐπὶ πλέον) Ἰδ. §. 34. — ἀπεκρύπτ. μὴ καθ' ἡδ.) Οὕτω Λυσίας σελ. 61. « περὶ ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι. » Ἰδ. §. 9. ΙΗ'. §. 31. — ὁρῶντες) ἀναφέρεται εἰς τὸ περιληπτικὸν τις. Ἰδ. §. 13. — τἀκείνων) τὰ τῶν τεθνηκότων κτήματα. — καὶ πρὸς τὸ τερπνὸν) τουτέστι καὶ τερπνοτάτας.

§. 18. δόξαντι καλῷ) διὰ δόξαν τινὰ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς· ἔκφρασις ὀλιγωρητικὴ τοῦ πλήθους, τὸ ὁποῖον ἀληθινὴν ἀρετὴν δὲν πιστεύει. — ἐπ' αὐτό) ἐπὶ τὸ τοῦ καλοῦ τέλος. — ὅ,τι δὲ) ἀναφέρεται πρὸς τὸ τὸ μέν. — ἥδει) τις δηλ. τὸ ὁποῖον περιέχεται ἐν τῷ οὐδείς. — τὸ ἐς αὐτὸ) τὸ ἡδύ. (τὸ ἐς αὐτό, κατὰ τὰ καλλιώτερα χειρόγραφα, ἀντὶ τοῦ ἀργοῦ αὐτόν). — ἀπεῖργε) αὐτούς. — τὸ μέν . . . τῶν δὲ) αἰτίαι τῆς συμβάσης καταφρονήσεως καὶ θείων καὶ ἀνθρωπίνων δικαιωμάτων. — κρίνοντες) ἀντὶ κρινόντων αὐτῶν· ὡς νὰ προηγήθη οἱ ἄνθρωποι οὐδενὶ φόβῳ . . . ἀπείργοντο. — ἐν ὁμοίῳ) ὅμοιον καὶ ἴσον. Ἰδ. §. 8. Βιγήρ. σελ. 603. — ἐκ τοῦ . . ὁρᾶν) ὅτι ἑώρων. — ἐλπίζων) καθὼς καὶ τὸ κρίνοντες. Ὀνομασ. ἀπόλυτ. — οὐδεὶς ἐλπ.) ἡ Σύνταξ. οὐδεὶς ἐλπίζων ἀντιδοῦναι ἂν τὴν τιμ. βιοὺς μέχρι τοῦ γεν. δίκην. — πολὺ μείζω) δίκην δηλ. — ἐπικρεμ.) Ἰδ. ΚΒ'. §. 45. « ὑπὸ μεγέθους τοῦ ἐπι-

ταλαιπωρεῖν τῷ δόξαντι καλῷ, οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων, εἰ, πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ,τι δὲ ἤδη τε ἡδύ, καὶ πανταχόθεν τὸ ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. Θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μέν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μή, ἐκ τοῦ πάντας ὁρᾷν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

19. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ, οἷα εἰκός, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι·

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις, μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως λοιμὸν εἰρῆσθαι. Οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο. 20. Ἢν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς

---

κρεμαμένου ἤδη κινδύνου. » Τὸ Απαρέμφ. ἐξαρτᾶται ἐκ τοῦ ἐλπίζων, τὸ ὁποῖον εἰς τὴν συνέχειαν ταύτην πρέπει νὰ ἐκληφθῇ ἀντὶ νομίζων. — ἣν πρὶν) ἀντὶ καὶ εἰκὸς εἶναι ταύτην ἐμπεσεῖν πρὶν τοῦ ἀπολ.

§. 19. ἔνδον) ἐν τῇ πόλει. — ἀνεμνήσθησαν) οἱ πρεσβύτεροι. — Δωριακὸς) τῶν Πελοποννησίων. — μὴ . . ὠνομ.) τουτέστι μὴ τὸ τοῦ λοιμοῦ, ἀλλὰ τοῦ λιμοῦ ὄνομα ἐν τῷ ἔπει γενέσθαι. — τὴν μνήμην) τὴν ἀνάμνησιν.

§. 20. καταλάβῃ) ἐμπέσῃ. — οὕτως ᾄσ.) τουτέστι λιμόν, οὐ λοιμὸν θήσουσιν. — κατὰ κράτος) Ἰδ. ΙΙΙ'. §. 90. — ὅμοια) αὐτῷ



τοῦδε ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμόν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεόν, εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι· περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα εἴκαζον ὅμοια εἶναι· ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς. Καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ,τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. Ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

# ΚΒ'.

## Ἀποσπάσματά τινα ἐκ τῆς ἱστορίας τοῦ κατὰ τῆς Σικελίας ἐπιχειρήματος τῶν Ἀθηναίων.

### α') Παρασκευὴ καὶ ἀναχώρησις.

(Θουκυδ. Ϛ'. 30).

1. Μετὰ δὲ ταῦτα, θέρους μεσοῦντος ἤδη, ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. Τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις, καὶ ταῖς σιταγωγοῖς ὁλκάσι, καὶ τοῖς

---

δηλ. — ἐσβεβλ. δὲ) ὁ δὲ ἐξηγηματικός, δηλονότι. — καὶ . . μάλιστα) ἐν τούτῳ μάλιστα ἐφαίνετο ὅτι ἐδείχθη ἡ εὔνοια τῶν θεῶν πρὸς τοὺς Πελοποννησίους. — ὅ,τι ἄξιον καὶ εἰπεῖν) συνηθέστερον ὅ,τι ἄξιον λόγου. — ἐπενείματο) ἡ μεταφορὰ ἀπὸ τῆς φλογός.

§. 1. μετὰ ταῦτα) μετὰ τὰς δυσκολίας, αἱ ὁποῖαι συνέβησαν τῷ Ἀλκιβιάδῃ, ὅς τις ἦτον μετὰ τοῦ Νικίου καὶ Λαμάχου ἀρχηγὸς τοῦ ἐπιχειρήματος. Ἰδ. Κορν. Νέπ. Ἀλκιβ. 3. 4. — τοῖς πλείστοις)

πλοίοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν Ιαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν. 2. Αὐτοὶ δ' Ἀθηναῖοι, καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν, ἐς τὸν Πειραιᾶ καταβάντες, ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς, ὡς ἀναξόμενοι. 3. Ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας, ὡς εἰπεῖν, ὁ ἐν τῇ πόλει, καὶ ἀστῶν καὶ ξένων· οἱ μὲν ἐπιχώριοι, τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μέν, ἑταίρους, οἱ δέ, ξυγγενεῖς, οἱ δέ, υἱεῖς· καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο· ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο. (31). 4. Καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ τὸ πλῆθος ἑκάστων ὧν ἑώρων τῇ ὄψει, ἀνεθάρσουν.

5. Οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἧκεν, ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. Παρασκευὴ γὰρ

τοῖς μικροῖς. — ὅση παρασκ.) ἀντὶ καὶ τῇ ἄλλῃ παρασκευῇ ἁπάσῃ, ὅση ξυν. — Ιαπυγ. ἄκραν) τὸ Ιαπύγιον ἢ Σαλεντινικὸν ἀκρωτήριον σχηματίζει τὴν πρὸς ἄρκτον ἄκραν τοῦ Ταραντίνου κόλπου. — τὸν Ἰόνιον) Ἰδ. §. 13.

§. 2. αὐτοὶ) κατ' ἀντίθεσιν εἰς τὸ ξυμμάχοις. ΙΗ'. §. 7. — εἴ τινες) ἀντὶ οἱ παρόντες τῶν ξυμμάχων.

§. 3. ὁ ἄλλος ὅμ.) ὁ τῆς πόλεως. — ὡς εἰπεῖν) σχεδόν. Ἰδ. Πιγέρ. σελ. 732. 154. — οἱ μὲν ἐπιχ.) μὲ τοῦτο συμφωνεῖ τὸ §. 5. οἱ δὲ ξένοι. — τὰ μὲν ὡς) τὰ μέν, ἐλπίζοντες κτήσασθαι τὰ ἐν Σικελίᾳ, ὀλοφυρόμενοι δέ, ἀγνοοῦντες εἴ ποτε τούτους ὄψοιντο.

§. 4. μετὰ κινδύνων) τοῦ κινδύνου ἤδη παρόντος. — ἐσῄει) Ἰδ. Ζ'. §. 6. — ἀνεθάρσουν) θάρσος ἐγίνετο αὐτοῖς. — διὰ τὸ πλῆθος) ἐξήγησις τοῦ ῥώμῃ· ὁρῶντες τὴν παροῦσαν ῥώμην καὶ τὸ πλῆθος ἑκάστων. — ἑώρων τῇ ὄψει) τουτέστιν αὐτοῖς ὄμμασι.

§. 5. διάνοιαν) τὸν σκοπὸν τοῦ ἐπιχειρήματος καὶ τὰς ἑτοιμασίας αὐτάς. — ἡ ἐς Ἐπίδαυρ.) ἐν τῷ δευτέρῳ χρόνῳ τοῦ Πελο-



αὕτη, πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ, πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν ἐς ἐκεῖνον τὸν χρόνον ἐγένετο. Ἀριθμῷ δὲ νεῶν, καὶ ὁπλιτῶν, καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους, καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἅγνωνος, οὐκ ἐλάσσων ἦν. Τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων, καὶ τριακόσιοι ἱππεῖς, καὶ τριήρεις ἑκατόν, καὶ Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν. 6. Ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν, καὶ παρασκευῇ φαύλῃ· οὗτος δὲ ὁ στόλος, ὡς χρόνιός τε ἐσόμενος, καὶ κατ' ἀμφότερα, οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος, καὶ ναῦς παρασχόντος κενάς, ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγούς,

ποννησιακοῦ πολέμου. Μετὰ τὴν ἐπιστροφὴν τοῦ Περικλέους ἀπὸ ταύτης τῆς εἰς τὰ παραθαλάσσια τῆς Πελοποννήσου ἐκστρατείας, λαβὼν ὁ Ἅγνων τὸν στόλον, αὐτὸν ἐστράτευσεν ἐπὶ Ποτίδαιαν. Ἰδ. Θουκυδ. Β'. 56. 58. — πεντήκοντα) τριήρεις.

§ 6. ἐπὶ βρ. πλῷ) εἰς πλοῦν ἁπλῶς, μήτε νὰ ἀργοπορήσωσι μήτε πόλεμον εἰς τὴν ξηρὰν νὰ κάμωσι. — φαύλῃ) μικροτέρᾳ. — οὗ ἂν δέῃ) εἴτε γῇ, εἴτε θαλάσσῃ. — τὸ μὲν ναυτικὸν) ἀναφέρεται εἰς τὸ τὸ δὲ πεζόν. Ταύτῃ τῇ προτάσει ὑπάγονται αἱ τοῦ μὲν δημοσίου, καὶ καὶ τῶν τριηρ. τουτέστι τῶν δὲ τριηράρχων (Ἰδ. Βιγέρ. σελ. 537. Τριήραρχοι ἦσαν πολῖται ἐν καταστάσει, οἱ ὁποῖοι ἦσαν ὑποχρεωμένοι νὰ ἑτοιμάζωσι τὰς τριήρεις μὲ ὅλα τὰ ἀναγκαῖα ἐξ ἰδίων των· τὰς δὲ τριήρεις αὐτὰς ἐδίδεν ἡ πολιτεία. — δραχμὴν) ἡ κοινὴ ἀργυρᾶ Ἀττικὴ δραχμὴ τιμᾶται 1 γρόσι σχεδόν. (18. ὀβολ. Κερ.) ταχείας) πολεμικάς. — ὁπλιταγωγ.) πλοῖα, δι' ὧν μετακομίζουσι στρατεύματα πεζὰ κ. τ. τ. — ταῖς ὑπηρεσίαις) τοῖς ὑπηρέταις. — διδόντων) ἀναφέρεται καὶ εἰς τὸ ταύταις, καὶ εἰς τὸ τοῖς θρανίταις. — τοῖς θρανίταις τῶν ναυτῶν) τουτέστι τούτοις τῶν ναυτῶν, οἳ θρανῖται ὀνομάζονται. Οἱ θρανῖται ἐδιοίκουν τὰ μακρύτερα κωπία, καὶ εἶχον βαθμὸν ἀνώτερον ἢ αἱ ὑπηρεσίαι. — σημείοις) Ση-

καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριηράρχων, ἐπιφοράς τε, πρὸς τῷ ἐκ δημοσίου μισθῷ, διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἄλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου, ὅπως αὐτῷ τινι εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει, καὶ τῷ ταχυναυτεῖν· τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθέν, καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν. 7. Ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος προσετάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας, ἢ ἐπὶ πολεμίους παρασκευήν. — Καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο, ἢ στρατιᾶς, πρὸς οὓς ἐπῆσαν ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας, καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

---

μεῖα, στολισμοὶ τῆς πρώρας καὶ πρύμνης τοῦ πλοίου. — ἑνὸς ἑκάστου) τῶν τριηράρχων. — ἐς τὰ μακρ.) ἡ Σύνταξ. ἐς τὰ μακρότατα προθυμ. (ὄχι ἐς τὰ μακρ. προέξει) τουτέστιν ἐπὶ πλεῖστον. Ἰδ. Βιγέρ. σελ. 596. — εὐπρεπείᾳ τινί) κόσμῳ τινί. — καταλόγοις χρηστοῖς) ἀπροσωποληπτῳ στρατολογίᾳ. — ἁμιλληθέν) δι' ἁμίλλης παρασκευασθέν.

§. 7. ξυνέβη) Ἰδ. ΙΗ'. §. 30. ΚΒ'. §. 54. — ἅμα ἔριν) ἔρις τῶν πολιτῶν πρὸς πολίτας, τῆς πολιτείας πρὸς ἄλλας. — εἰκασθῆναι) δοκεῖν, ἀντὶ τοῦ συνήθους ἐπιδεῖξιν μᾶλλον εἰκέναι ἢ παρασκευὴ ἐπὶ πολ. — τόλμης θάμβει) ἀντὶ τόλμῃ θάμβους ἀξίᾳ, ἢ θαυμασίᾳ· διὰ τὸ ἐμφαντικώτερον μετέβαλε τὸ Ἐπίθετον εἰς τὸ Οὐσιαστ. — πρὸς οὓς) συνεστραμμένον, ἀντὶ πρὸς τὸ πλῆθος τῶν ἐχθρῶν. Ἡ Πρὸς φανερόνει σύγκρισιν. Βιγέρ. σελ. 664. — τῶν μελλ. πρὸς τὰ ὑπάρχ.) ἐννοείσθω ἔξωθεν τὸ ἐπέρχεσθαι, τὸ ὁποῖον δυνάμει περιέχεται ἐν τῷ πρός.



32. 8. Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν, καὶ ἐσέκειτο πάντα ἤδη ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς, οὐ κατὰ ναῦς ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο, κρατῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα, καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες· ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς, τῶν τε πολιτῶν, καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι. 9. Παιωνίσαντες δέ, καὶ τελεώσαντες τὰς σπονδάς, ἀνήγοντο. Καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες, ἅμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο· καὶ οἱ μὲν ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι· ἐς δὲ τὰς Συρακούσας ἠγγέλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν.

## β') Διάπλους καὶ ἄφιξις εἰς Σικελίαν.

(κεφ. 42) 10. Οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ, αὐτοί τε καὶ οἱ ξύμμαχοι ἅπαντες, ἦσαν· καὶ πρῶτον μὲν

---

§. 8. ἐσέκειτο) τουτέστιν ἐν ταῖς ναυσὶν ἔκειτο. — ὑπὸ κήρυκος) τὰς εὐχὰς τοῦ κήρυκος ἐκφωνοῦντος. Ἰδ. ΙΔ'. §. 10. « τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων ». Μετὰ τῶν εὐχῶν ἔσπενδον καὶ εἰς τοὺς θαλασσίους θεούς. — σφίσι) τοῖς πλέουσιν, ἢ τοῖς Ἀθηναίοις.

§. 9. ἐπὶ κέρως) ἐπὶ κέρως (κέρατος), καὶ ἐπὶ κέρας πλεῖν, κατ' εὐθεῖαν γραμμήν, ὁ εἷς κατόπιν τοῦ ἄλλου πλέειν. — ἅμιλλ. ἐποιοῦντο) ἐρέσσοντες δηλ. — οἱ μέν) οὗτος ὁ στόλος. — ἐς δὲ τὰς Σ.) ἀντὶ τοῖς δὲ Συρακουσίοις ἠγγέλθη. — οὐ μέντοι) ΙΗ'. §. 19. ΚΑ'. §. 2.

§. 10. ἐπεξέτασιν) δευτέραν ἐξέτασιν. — ἐν ἑκάστῳ) ἕκαστος τῶν τριῶν στρατηγῶν (Ἰδ. §. 1.) ἔλαβεν ἓν μέρος τοῦ στόλου, ὁ ὁποῖος ἤδη, διὰ περισσοτέραν εὐκολίαν, ἔπλεε κατὰ τάγματα (κατὰ τέλη). (ἓν, κατὰ τὴν διόρθωσιν τοῦ Ῥεϊσκίου, ἀντὶ ἐν). — ἅμα πλέοντες)

ἐπεξέτασιν τοῦ στρατεύματος, καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο. Καὶ τρία μέρη νείμαντες ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα πλέοντες ἀπορῶσιν ὕδατος, καὶ λιμένων, καὶ τῶν ἐπιτηδείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι. ια. Ἔπειτα δὲ προὔπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς, εἰσομένας, αἵτινες σφᾶς τῶν πόλεων δέξονται. Καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσι.

(κεφ. 43.) ιβ. Μετὰ δὲ ταῦτα, τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κερκύρας, ἐς τὴν Σικελίαν ἐπεραιοῦντο τριήρεσι μὲν ταῖς πάσαις τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατόν, καὶ δυεῖν Ῥοδίοιν πεντηκοντόροιν· τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατόν, ὧν αἱ μὲν ἑξήκοντα ταχεῖαι, αἱ δ' ἄλλαι στρατιώτιδες· τὸ δὲ ἄλλο ναυτικὸν, Χίων, καὶ τῶν ἄλλων ξυμμάχων· ὁπλίταις δὲ τοῖς ξύμπασιν, ἑκατὸν καὶ πεντακισχιλίοις (καὶ τούτων, Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ, θῆτες, ἐπιβάται τῶν νεῶν· ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν, τῶν ὑπηκόων, οἱ δ' Ἀργείων, πεντακόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι)· τοξόταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις (καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν,) καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς, φυγάσιν, εἴκοσι καὶ ἑκατόν· καὶ ἱππαγωγῷ μιᾷ, τριάκοντα ἀγούσῃ ἱππέας.

(44.) ιγ. Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. Τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοί, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι, καὶ λιθολόγους, καὶ τέκτονας, καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ ἑκατὸν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει, πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλε τὸν Ἰόνιον κόλπον.

---

πάντες ὁμοῦ (ἅμα πλ. κατὰ τὴν διόρθωσιν τοῦ Βέλλα, ἀντὶ τοῦ ἀναπλέοντες.) — λιμένων) ἂν οἱ λιμένες δὲν ἦσαν τόσον μεγάλοι, ὥστε νὰ χωρήσωσι τόσον στόλον. — ἐν ταῖς καταγωγ.) εἰς τοὺς τόπους, ὅπου ἀπέβαινον. — ὦσι) τὸ ὦσι ἐξαρτᾶται ἀκόμη ἀπὸ τοῦ ἵνα. Περὶ τῆς ἀνωμάλου ἀκολουθίας τῶν Ἐγκλίσεων. Ἰδ. Β'. § 14. ΙΗ'. §. 12. — ῥᾴους ἄρχειν) περὶ τοῦ ἐνεργητικοῦ Ἀπαρεμφ. Ἰδ. ΙΘ'. ιι.

§. ια. εἰσομένας) διὰ νὰ γνωρίσουν. — ἐπιστάμενοι) τὰ ἀναγκαῖα, ὧν ἕνεκα τὰς ναῦς προὔπεμψαν.

§. ιβ. τοσῇδε (ΙΗ'. 35)· τῇ παρασκευῇ) ὅλα τὰ ἑπόμενα εἶναι ὡς ἐπεξήγησις τῆς λέξεως ταύτης. — αἱ μὲν ἑξήκοντα) Ἰδ. § 6. — τὸ δὲ ἄλλο ναυτικ.) ἀντὶ αἱ δὲ ἄλλαι νῆες. — ὁπλίταις δὲ) εἰς τὸ τριήρεσι μέν. — ἐκ καταλόγου) ἐκ τοῦ καταλόγου πολιτῶν ἐπιτηδείων εἰς στρατείαν. — θῆτες) πολῖται ἀκτήμονες, οἱ ὁποῖοι ἔζων ἀπὸ τῶν καθημέραν ἐγχειρίων. — οἱ ἄλλοι) ἀντὶ οἱ δὲ ἄλλοι ξυστρατεύοντες ξύμμαχοι, οἱ μὲν ἐκ τῶν ὑπηκ. οἱ δὲ Ἀργ. ἦσαν πεντάκ. κ. δ. — Κρῆτες) οἱ Κρῆτες ἦσαν ὡς ἄριστοι τοξόται περίφημοι. — φυγάσιν) τὰ Μέγαρα ἀπέστησαν ἀπὸ τῶν Ἀθηνῶν ὀλίγον τι πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου· μέρος δέ τι τῶν κατοίκων αὐτῶν, ὀπαδῶν τῶν Ἀθηναίων, ἀπεσώθη εἰς τὰς Ἀθήνας.



§. ιγ. τούτοις) τὸ τούτοις ἀναφέρεται εἰς τὸ παρασκευή, καὶ συμφωνεῖ μὲ τὸ ξυνηκολούθουν, εἰς τὸ ὁποῖον διὰ τὸ συγγενὲς τῆς περιόδου προσετέθη καὶ ἄλλη νέα δοτικὴ τῇ στρατιᾷ. — ἐξ ἀνάγκης) πλοῖα, ὡς φαίνεται, τὰ ὁποῖα ἥρπαζον ἀπὸ τοὺς τόπους, ὅπου ἀπέβαινον, καὶ ἠνάγκαζον ν' ἀκολουθῶσι τὸν στόλον. Πολλὰ ἄλλα συνώδευον τὸν στόλον ἑκουσίως διὰ πραγματείαν. Ἄλλοι ἐκλαμβάνουσι τὸ ἐξ ἀνάγκης ὡς μέρος ἀναγκαῖον καὶ ἄφευκτον τοῦ στόλου. — Ἰόνιον κόλπον) τὸ μεσημβρινὸν μέρος τοῦ Ἀδριατικοῦ κόλπου.

14. Καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν Ἰαπυγίαν, καὶ πρὸς Τάραντα, καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ, οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὅρμῳ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις, ἕως ἀφίκοντο ἐς Ῥήγιον, τῆς Ἰταλίας ἀκρωτήριον, καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο· καὶ ἔξω τῆς πόλεως (ὡς αὐτοὺς εἴσω οὐκ ἐδέχοντο) στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον. 15. Καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν· καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας ὄντας Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν· οἱ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι, ἀλλ' ὅ,τι ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδο-

§. 14. Ἰαπυγίαν) ἰδ. §. 1. — Τάραντα) Τάρας, πόλις εἰς τὸ ἐνδότερον βόρειον μέρος τοῦ Ταραντίνου κόλπου. — ὡς ἕκ. εὐπόρ.) τουτέστιν ἄλλοι πρὸς ἄλλον τόπον, ὡς ἕκαστοι ἐδύναντο. — ἀγορᾷ) τουτέστιν ἀγορὰν οὐ παρεχουσῶν. — Λοκρῶν) τῶν Ἐπιζεφυρίων, εἰς τὴν μεσημβρινὴν ἄκραν τῶν Βρουττίων, οὐ μακρὰν τοῦ Ζεφυρίου ἀκρωτηρίου· εἰς δὲ τὸ δυτικὸν μέρος, παρὰ τὸν Σικελικὸν πορθμὸν, ἔκειτο τὸ Ῥήγιον. — ἤδη) διότι, ἀπὸ τοῦ ἐκ Κερκύρας ἀπόπλου, ἦσαν χωρισμένοι. — ἱερῷ) εἰς ὅλον τὸν εἰς τὸν ναὸν καθιερωμένον περίβολον· ἤ, ἐν τῷ ἱερ. πλησίον, εἰς τὰ πέριξ τοῦ ἱεροῦ. — παρεῖχον) οἱ Ῥηγῖνοι.

§. 15. Χαλκιδ.) ἀπὸ Χαλκίδος τῆς Εὐβοίας ἀπῆλθον πολλαὶ ἀποικίαι εἴς τε τὴν Ἰταλίαν καὶ Σικελίαν, αἱ ὁποῖαι ἐθεωροῦντο ὡς συγγενεῖς· τὸ Ῥήγιον ἐκτίσθη ὀλίγον τι μετὰ τὴν ΚΗ'. Ὀλυμπ. 1. τὸ δὲ Λεόντιον περὶ τὴν ΙΒ'. 3. Μὲ τὰς Χαλκιδικὰς ταύτας πόλεις, ὡς Ἰωνικὰς, ἀντεμάχοντο αἱ Δωρικαὶ ἀποικίαι, αἱ ὁποῖαι ἐνόμιζον ἑαυτὰς συμμάχους φυσικὰς τῆς Σπάρτης. Οἱ Ἀθηναῖοι, διὰ νὰ ἐμποδίσωσι τὴν συμμαχίαν ταύτην, ἔπεμψαν εἰς τοὺς Λεοντίνους ἐν τῷ πέμπτῳ ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου βοήθειαν, καὶ ἤδη ἤλπιζον ὑποτάσσοντες τὰς Συρακούσας νὰ ἀδυνατίσωσι τὴν φυλὴν τῶν Δωριέων. Θουκ. ς'. 6 — Ἰταλιώταις) τοῖς ἐν Ἰταλίᾳ κατοικοῦσι τῶν Ἑλλήνων, οὐχὶ ἐναντίον τὸ Ἰταλοὶ, οἱ ἐντόπιοι, οἱ ἐν Ἰταλίᾳ γεγεννημένοι.



κῇ, τοῦτο ποιήσειν. 16. Οἱ δὲ πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν, ὅτῳ τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων, εἰ ἔστιν, ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

## γ') Ἑτοιμασίαι τῶν Συρακουσίων.

(κεφ. 45.) 17. Τοῖς δὲ Συρακουσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο, ὅτι ἐν Ῥηγίῳ αἱ νῆές εἰσι, καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ, καὶ οὐκέτι ἠπίστουν, καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα μὲν, φύλακας, πρὸς δὲ τοὺς, πρέσβεις· καὶ ἐς τὰ περιπόλια, τὰ ἐν τῇ χώρᾳ, φρουρὰς ἐσεκόμιζον· τά τε ἐν τῇ πόλει, ὅπλων ἐξετάσει καὶ ἵππων, ἐσκόπουν, εἰ ἐντελῆ ἐστι· καὶ τἆλλα, ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι, καθίσταντο.

## δ') Οἱ Ἀθηναῖοι ἀπατῶνται.

(46). 18. Αἱ δὲ ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παραγίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι,

§. 16. οἱ δὲ) Ἀθηναῖοι δηλ. Συνηθέστερον, οἱ δὲ (Ἀθηναῖοι) ἐσκόπουν ὅτῳ τρόπῳ ἄριστα προσοίσ. τοῖς ἐν Σικ. πράγμασι. — τὰς πρόπλους) ἰδ. §. 11. — Ἐγέστης) ἀποικίας τῶν Τρώων, ἐπὶ τῶν δυτικῶν παραθαλασσίων τῆς νήσου. Δι' αὐτῆς παρεκινήθησαν οἱ Ἀθηναῖοι εἰς τοῦτο τὸ ἐπιχείρημα. Θουκυδ. ς. 8.

§. 17. ὡς ἐπὶ τούτοις) ἰδ. ΙΙ'. §. 25. — ἔνθα μὲν) εἰς τινας, ὅπου ἀπῃτεῖτο ἀσφάλεια περισσοτέρα. — περιπόλια) τὰ ἐν τῇ χώρᾳ φρούρια. — τά τε... ἐσκόπουν, εἰ) ἔν τε τῇ πόλει τὰ ὅπλα καὶ τοὺς ἵππους ἐξετάζοντες ἐσκόπουν, εἰ πάντα ἐντελῆ ἐστιν. Οὕτω καὶ §. 16.

§. 18. πρῶτον) πρῶτον μὲν τοῦτο, ἔπειτα δὲ καὶ οἱ Ῥηγῖνοι οὐκ ἠθελήσ. ξυστ. — ἀντεσκρ.) τουτέστι παρὰ γνώμην ξυνέβη. — οἱ Ῥηγῖνοι) τὰ τῶν Ῥηγίνων αὐτοῖς ἐδόκει ἐναντία. — εἰκὸς ἦν) τουτέστι καὶ οὓς μάλα εἰκὸς ἦν πείσειν. — ἐπιτηδείους) εὐμενεῖς. Ἰδ. ΙΙΙ'. §. 32.

ὅτι τἆλλα μὲν οὐκ ἐςὶ χρήματα, ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα φαίνεται. Καὶ οἱ ςρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκεκρούκει, καὶ οἱ Ρηγῖνοι, οὐκ ἐθελήσαντες ξυςρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν, καὶ εἰκὸς ἦν μάλιςα, Λεοντίνων τε ξυγγενεῖς ὄντας, καὶ σφίσιν ἀεὶ ἐπιτηδείους. 19. Καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ παρὰ τῶν Εγεςαίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. Οἱ δὲ Εγεςαῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε, ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Αθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν τῶν χρημάτων. 20. Ες τε τὸ ἐν Ερυκι ἱερὸν τῆς Αφροδίτης ἀγαγόντες αὐτοὺς

---

§. 19. προσδεχομένῳ ἦν) Θουκυδ. Β'. 3 ». τῷ γὰρ πλήθει τῶν Πλαταιέων οὐ βουλομένῳ ἦν τῶν Αθηναίων ἀφίςασθαι ». Ισοκρ. πρὸς Φίλιπ. σελ. 151 ». εἴ τῳ μὲν εἴη βουλομένῳ λέγειν. » οὕτω καὶ Λίβιος „ quibus bellum volentibus erat " Γραμ. Βουτ. §. ΡΛΑ'. Σημ. γ'. — τὰ παρὰ τῶν Εγ.) ἀγγελθέντα δηλ. Ο Νικίας ἐνόμιζεν ἐξ ἀρχῆς σχεδὸν τὰς ὑποσχέσεις τῶν Εγεςαίων ὡς λόγια κενά. « τὰ δὲ παρ' Εγεςαίων, ἃ λέγεται ἐκεῖ ἕτοιμα, νομίσατε καὶ λόγῳ ἂν μάλιςα ἕτοιμα εἶναι. » Θουκυδ. ς'. 22. — καὶ ἀλογ.) τουτέςιν ἔτι μᾶλλον παρὰ γνώμην· διότι οἱ ἄλλοι ἔβαζον θεμέλιον ςερεὰ εἰς τὰς ὑποσχέσεις ἐκείνας.

§. 20. Ερυκι) Ερυξ, πόλις ἐπί τινος ὄρους παρὰ τὴν δυτικὴν ἄκραν τῆς Σικελίας. Η ἐνταῦθα λατρευομένη Ερυκινὴ Αφροδίτη ἀναφέρεται πολλάκις. — πολλῷ πλείω) τουτέςι μείζω τὴν ὄψιν παρείχετο ἢ κατὰ δύναμιν· ἢ, μικρὰν δύναμιν ἔχοντα μεγάλην ὅμως παρ. τὴν ὄψιν. Η τοῦ Συγκριτικοῦ χρῆσις εἶναι ὁμοία τῇ παρ' Εὐριπ. Ικέτ. 421. » ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους μείζω δίδωσιν. » — ἀπ' ὀλίγης δυν.) Πλούταρχ. Φύθ. Μάξ. 4. « καθάπερ φλόγα λάμψασαν ἀπὸ μικρᾶς καὶ κούφης δυνάμεως ». Ιδ. ΙΗ'. §. 16. — δυναμ. χρημ.) τῆς χρηματικῆς κυρίως τιμῆς. — ἰδίᾳ ξεν. ποιούμ.) οἱ ἰδιῶται ξενίζοντες, τουτέςιν ἑςιῶντες τοὺς τριηρ. τουτέςι τοὺς ἐν ταῖς τριήρεσιν ἀφικομένους, κατ' ἐξοχὴν ὅμως τοὺς ςρατηγούς. — Φοινικ.) τῶν Καρχηδονίων. Οἱ Καρχηδόνιοι, οἱ ὁποῖοι, ὡς ἐκ τῶν Φοινίκων καταγόμενοι, ὀνομάζονται πολλάκις Φοίνικες, ἔκαμαν πολλὰς ἀποικίας εἰς τὴν Σικελίαν.



ἐπέδειξαν τὰ ἀναθήματα, φιάλας τε καὶ οἰνοχόας, καὶ θυμιατήρια, καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην· ἃ, ὄντα ἀργυρᾶ, πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως χρημάτων παρείχετο· καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηριτῶν, τά τε ἐξ αὐτῆς Εγέςης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες, καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ελληνίδων αἰτησάμενοι, ἐςέφερον ἐς τὰς ἑςιάσεις, ὡς οἰκεῖα ἕκαςοι. 21. Καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων, καὶ πανταχοῦ πολλῶν φαινομένων, μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριηρῶν Αθηναίοις παρεῖχε· καὶ ἀφικόμενοι ἐς τὰς Αθήνας διεθρόησαν, ὡς χρήματα πολλὰ ἴδοιεν. Καὶ οἱ μὲν, αὐτοί τε ἀπατηθέντες, καὶ ἄλλους τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος, ὅτι οὐκ εἴη ἐν τῇ Εγέςῃ τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν ςρατιωτῶν· οἱ δὲ ςρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο.

---

§. 21. τοῖς αὐτοῖς) ἐκπώμασι. — παρεῖχε) οὗτος ὁ πλοῦτος. — τοῖς ἐκ τῶν τρ.) ἐπὶ τῶν τοιούτων περιφράσεων ἡ Εκ φανερόνει τὸν τόπον, ἐκ τοῦ ὁποίου ἔρχεταί τι. — διεθρόησαν) διελάλησαν. — αἰτίαν εἶχον) Ιδ. ΛΓ'. §. 19. Δ'. §. 24. « ἔλεον εἶχον »

## ε') Οἱ Συρακούσιοι, πολιορκούμενοι ὑπὸ τῶν Ἀθηναίων, λαμβάνουσιν ἐκ τῆς Πελοποννήσου βοήθειαν, νικῶσι τὸν ἐχθρὸν νίκῃ μεγάλῃ, καὶ ἀποκλείουσι τὸν ςόλον αὐτοῦ ἐν τῷ λιμένι, μεθ' ὃ ἀποφασίζουσιν οἱ Ἀθηναῖοι βιάσασθαι τὸν διέκπλουν. Ἔκβασις τῆς ἀποφάσεως ταύτης.

(Θουκυδ. Ζ'. 69.)

22. Καὶ οἱ μὲν τῶν Συρακουσίων ςρατηγοί, καὶ Γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις ςρατιώταις παρακελευσάμενοι, ἀντεπλήρουν τὰς ναῦς εὐθύς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο. Ὁ δὲ Νικίας, ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος, καὶ ὁρῶν, οἷος ὁ κίνδυνος, καὶ ὡς ἐγγὺς ἤδη ἦν (ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι), καὶ νομίσας (ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι)

§. 22. Συρακ. ςρ.) ἐκ τούτων ἀξιοσημείωτος κατ' ἐξοχὴν ἦτον ὁ Ἑρμοκράτης· Γύλιππος, ὁ Σπαρτιάτης, ἔφερεν εἰς τὴν Σικελίαν τὰ τῆς Πελοποννήσου ςρατεύματα εἰς βοήθειαν. Θουκυδ. ϛ'. 93. — τοιαῦτα) τὰ τοιαῦτα ἀναφέρεται εἰς τὰ παρὰ τοῦ Θουκυδ. προειρημένα. — τοὺς Ἀθην.) τὰς αὐτῶν ναῦς πληροῦντας δηλ. — [illegible]) Ἴδ. Γραμ. Βουτ. § ΡΛϚ'. σελ. 493. π. 460. ν. — ὅπερ πάσχουσιν) οἱ ἄνθρωποι δηλ. ὅτι νομίζουσι, πάντα . . . τουτέστιν, οὔπω ἱκανὰ αὐτοῖς εἰρῆσθαι, οὔτε εἰργάσθαι. — αὖθις) ἀναφέρεται πρὸς τὰς προηγουμένας τοῦ Ν. διατάξεις καὶ ὁμιλίας. — ἕνα ἕκαςον). Οὕτω καὶ ὁ Ἀγαμέμνων, παραγγέλλων τὸν Μενέλαον νὰ ἦναι ἐν τῇ ἀνάγκῃ κοινωνικὸς πρὸς πάντας. Ἰλ. Κ. ςίχ. 67. — 9. «Φθέγγεο δ' ᾗ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι ἄνωχθι, Πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαςον, Πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ» — ἀξιῶν) τουτέστι μηδένα τὴν ἑαυτοῦ λαμπρότητα, εἴ τις ὑπῆρχε, προδιδόναι, μήτε τὴν τῶν προγόνων ἀρετὴν ἀφανίζειν. — καὶ τῆς . . . ἐξουσίας) ἀντὶ καὶ ὅτι ἑκάςῳ ἐν αὐτῇ ἀνεπιτάκτως διαιτᾶσθαι ἔξεςι.



πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι, καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαςον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων, καὶ αὐτοὺς ὀνομαςί, καὶ φυλήν, ἀξιῶν τό,τε καθ' ἑαυτόν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινά, καὶ τὰς πατρικὰς ἀρετάς, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν· πατρίδος δὲ τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων, καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας· ἄλλα τε λέγων, ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. 23. Καὶ ὁ μέν, οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι, ἀποχωρήσας, ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν, καὶ παρέταξεν ὡς ἐπὶ πλεῖςον ἐδύνατο, ὅπως ὅτι μεγίςη τοῖς ἐν ταῖς ναυσὶν ὠφέλεια ἐς τὸ θαρσεῖν γίγνοιτο· ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων ςρατηγοὶ ἐπέβησαν), ἄραντες ἀπὸ τοῦ ἑαυτῶν ςρατοπέδου, εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος, καὶ τὸν καταλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.

§. 23. οὐχ ἱκανὰ μᾶλλ.) ἀντί, ἀναγκαῖα μᾶλλον ἢ ἱκανά. Ἴδ. ΚΗ'. §. 20. — Δημοσθ. Μέν. Εὐθ.) οὗτοι ἐςάλησαν ἐν τῷ δευτέρῳ χρόνῳ τοῦ Σικελικοῦ πολέμου τῷ ἀσθενοῦντι Νικίᾳ εἰς βοήθειαν. Ὁ Λάμαχος (Ἴδ. §. 1.) ἐσκοτώθη εἴς τινα μάχην. Θουκυδ. ϛ'. 101. — τὸ ζεῦγμα) τὴν σειρὰν τῶν πλοίων, διὰ τῶν ὁποίων ἔκλεισαν οἱ Συρακούσιοι τὸν λιμένα, ἐν ᾧ ἦσαν τὰ τῶν Ἀθηναίων πλοῖα. Θουκυδ. Ζ'. 59. — διέκπλουν) τινὲς ἐκλαμβάνουσι τὸ διέκπλουν ὡς τόπον ἀνοικτὸν μεταξὺ τῶν ἀποκλειόντων τὸν λιμένα πλοίων· ἀλλὰ τάχα δὲν πρέπει νὰ ἐκληφθῇ ὡς αὐτὸ τὸ ἀποκλειόμενον ςόμα τοῦ λιμένος, ὡς ἡ μόνη ὑπόλοιπος ἔξοδος εἰς φυγήν, τὴν ὁποίαν μὲ βίαν νὰ ἀνοίξωσιν ἔπρεπε; — βιάσ. εἰς τὸ ἔξω) Συγγρ. Α'. 63. «δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν.» Ξενοφ. Κύρ. Παιδ. Γ'. γ'. 69. «εἰ καὶ βιάσαιντο εἴσω.»

(70.) 24. Προεξαναγόμενοι δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν, καὶ πρότερον κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον, καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παραβοηθῇ, ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν. Ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. 25. Ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προςέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλήσεις. Μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακουσίων καὶ ξυμμάχων ἐπιφερομένων, οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ, καὶ οἵα οὐχ ἑτέρα τῶν πρότερον. 26. Πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη,

§. 24. μέρει αὐτῶν) τῶν νεῶν. — ἐφύλ.) ἐν φυλακῇ ἦσαν. — ᾗπερ) τῆς χθονὸς δηλ. Ἐπειδὴ ὁ τόπος ἦτον ςενὸς εἰς μάχην, ἔπρεπε νὰ προσμένῃ τις ὅτι τὰ πλοῖα ἤθελαν ἀμπωχθῇ εὐθὺς εἰς τὰ παράλια. — τοῖς Συρακ.) Ξενοφ. Αναβ. Α'. ϛ'. 16. » εἴ περ ὑμεῖς εἰ κράτιςοι ἄρχειν ἀξιοῦνται. » — Πυθὴν) ὁ Κορίνθιος, ὅς τις ἦλθεν εἰς Σικελίαν μὲ τὰ βοηθητικὰ ςρατεύματα. Θουκυδ. ϛ'. 104.

§. 25. προςέμισγ.) ἐπλησίαζον. Ξενοφ. Κύρ. Παιδ. Β'. δ'. 16. » προςμίξας πρὸς τὰ ὅρια τῶν Αρμενίων ἐδειπνοποιήσατο ». Ηρόδοτ. Η'. 130. » ὁ δὲ ναυτικὸς ὡς προσέμιξε τῇ Ασίῃ. » — νεῶν) τῶν ἐν φυλακῇ οὐσῶν. — κλήσεις) τὰ κλεῖθρα, τὸ ζεῦγμα, κυρίως δὲ τὰ δεσίματα, διὰ τῶν ὁποίων ἐβαςάζοντο συνεσφιγμένα τὰ πλοῖα. — τῶν πρότερον) γεγενημένων ναυμαχιῶν δηλ.

§. 26. προθ. ἀπὸ τ. ν.) Ιδ. Γ'. §. 5. — ἐπιβάται) ςρατιῶται τῆς ξηρᾶς, τοὺς ὁποίους ὁ Νικ. ἔβαλεν εἰς τὰ καταςρώματα τῶν πλοίων του. Θουκυδ. Ζ'. 62. — ἐθεράπ.) ἐπιμελοῦντο. Θουκ. ϛ'. 61. » θεραπεύοντες ... μὴ θορυβεῖν. » Λουκιαν. Τόμ. Γ'. σελ.



ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους. Οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προςπέσοι ναῦς νηὶ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταςρώματος τῆς ἄλλης τέχνης, πᾶς τέ τις, ἐν ᾧ προςετέτακτο, αὐτὸς ἕκαςος ἠπείγετο, πρῶτος φαίνεσθαι. 27. Ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖςαι γὰρ δὴ αὗται ἐν ἐλαχίςῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι), αἱ μὲν ἐμβολαὶ, διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους, ὀλίγαι ἐγίγνοντο· αἱ δὲ προσβολαὶ, ὡς τύχοι ναῦς νηὶ προςπεσοῦσα, ἢ διὰ τὸ φεύγειν, ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. Καὶ ὅσον μὲν χρόνον προςφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταςρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προςμίξειαν, οἱ ἐπιβάται, εἰς χεῖρας ἰόντες, ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. 28. Ξυνετύγχανε δὲ πολλαχοῦ διὰ τὴν ςενοχωρίαν, τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμ-

250. » θεραπεύω ἀεὶ ἐν ἀργύρῳ ἢ χρυσῷ πίνειν. » — τὰ ἀπὸ τοῦ καταςρ.) τὰ ὅσα ἀπὸ τοῦ καταςρ., ὅπου οὗτοι ἵςαντο, ἔπρεπε νὰ κάμωσιν. — αὐτὸς ἕκαςος) ἐπεξήγησις τοῦ πᾶς τις κατ' ἐπίτασιν.

§. 27. ἐν ὀλίγῳ) ἐν μικρῷ διαςήματι. — ἀπέλιπον) ἀντὶ ἀπέλιπε ξυναμφοτέρας διακοσίας γεν. Η Σύνταξ. αὕτη ὁμοιάζει τῇ τοῦ Αἰέω· Ιδ. ΚΕ'. §. 12. — ἐμβολαὶ) αἱ ἀπὸ τοῦ ἔμπροσθεν προσβολαί· αἱ ὁποῖαι διὰ νὰ γένωσιν ἦτον χρεία εὐρυχωρίας. Θουκυδ. Ζ'. 62. — διέκπλους) τὸν ἐλεύθερον πλοῦν μεταξὺ τῶν σειρῶν τῶν νεῶν, ὁ ὁποῖος ἦτον ἀναγκαῖος εἰς τὴν ἔφοδον. — προσβολαὶ) αἱ ὡς ἔτυχε συγκρούσεις. — προςφέροιτο) προςελαύνοι.

§. 28. ξυνετύγχανε) ξυνέβαινε. Ιδ. §. 7. — τὰ μέν .... τὰ δὲ) ἀπὸ μὲν τοῦ ἑνὸς μέρους... ἀπὸ δὲ τοῦ ἄλλου. — ἔςιν ᾗ) ἐνιαχοῦ. — συνηρτ.) συμπεπλέχθαι· — τῶν μὲν) προςφερομένων νεῶν. Ἔπρεπε νὰ ἦναι ἐν ταὐτῷ ἕτοιμοι καὶ εἰς προσβολὴν καὶ εἰς ἀπάντησιν. — ἀποςέρησιν τῆς ἀκ.) τουτέςιν ἐκώλυεν ὥςε μὴ ἀκούειν ὧν οἱ κελευςαὶ (οἱ ὁποῖοι ἔδιδον τὰ σημεῖα εἰς τοὺς κωπηλάτας) φθέγγοιντο.

βεβλῆσθαι, δύο τε περὶ μίαν, καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς, κατ' ἀνάγκην συνηρτῆσθαι· καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακήν, τῶν δ' ἐπιβουλήν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν νεῶν ξυμπιπτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς, ὧν οἱ κελευσταὶ φθέγγοιντο, παρέχειν. 29. Πολλὴ γὰρ δὴ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς, κατὰ τὴν τέχνην, καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν, ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις, βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι· τοῖς δὲ Συρακουσίοις καὶ ξυμμάχοις, καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν, καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντες ἐπαυξῆσαι. 30. Καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον, ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην γῆν οἰ-

§. 29. τοῖς κελ.) τουτέστιν ὑπὸ τῶν κελευστῶν. — κατὰ τὴν τέχνην) καθὼς ἀπαιτεῖ τὸ ἀξίωμά των. — πρὸς τὴν αὐτίκα (ἐν τῷ παρόντι; φιλον.) ἐκ τῆς ἀμοιβαίας ἁμίλλης. — ἐπιβοῶντες) ἀντὶ ἐπιβοῶσι. Πολλάκις μεταβαίνει ὁ Θουκυδ. ἀπὸ πλαγίας πτώσεως εἰς τὴν Ὀνομαστ. (Παράβ. §. 41. ἀπολειπόμενοι). Ἐνταῦθα ὡς νὰ προηγήθη οἱ μὲν Ἀθηναῖοι πολλὰ παρεκελεύοντο. — βιάζεσθαι) Ἰδ. §. 23 — προθύμ. ἀντιλαμ.) τουτέστι προθυμίαν ποιεῖσθαι. Συνήθως τὸ ἀντιλαβέσθαι συντάσσεται μετὰ Γενικ. καὶ ὄχι καθὼς ἐνταῦθα μετὰ τῆς Περί. — σωτηρ. ἐς τὴν πατρ.) καθὼς λέγουσι σώζεσθαι ἐς τὴν πατρίδα.

§. 30. οἱ στρατηγοί) Ἰδ. περὶ τῆς Ὀνομαστικ. τοῦ ὅλου ἀθροίσματος πρὸ τῶν [illegible] ΙΗ'. §. 4. — οὐ δι' ὀλίγου) ἀναφέρεται πρὸς τὴν πολυχρόνιον θαλασσοκρατίαν τῶν Ἀθηνῶν. — ἀποχωροῦσιν) ἀπὸ τῆς ναυμαχίας δηλ. — φεύγοντας) ἐπαναλαμβάνει τὴν ἐν ταῖς προηγουμέναις λέξεσιν ἐκφρασθεῖσαν ἔννοιαν τῆς ἐμφαντικῆς ἀντιθέσεως ἕνεκα.



κειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου κεκτημένης θαλάσσης ἡγούμενοι, ἀποχωροῦσιν· οἱ δὲ Συρακούσιοι, εἰ, οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν.

(71.) 31. Ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες, μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. Πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ,τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. 32. Δι' ὀλίγου γὰρ οὔσης τῆς θέας, καὶ οὐ πάντων ἅμα

§. 31. Περιγραφὴ τῶν αἰσθημάτων τῶν ἐπὶ τοῦ αἰγιαλοῦ θεατῶν. Ἰδ. ΚΓ'. §. 29. καὶ ἑξ. — ἐκ τῆς γῆς) θεώμενος δηλ. Ἰδ. §. 21. — ξύστασιν) ἐκ τοῦ ξυνιστάναι. — φιλονεικῶν) ἀντὶ φιλονεικούντων μὲν τῶν Συρακουσίων. . . τῶν δὲ Ἀθηναίων (τῶν ἐπελθόντων) δεδιότων. — πάντων ἀνακειμ.) εἰς μεταφορικὴν ἔννοιαν, ἀντὶ πάσης τῆς αὐτῶν ἐλπίδος ἐν ταῖς ναυσὶν οὔσης. — οὐδενὶ ἐοικώς) μέγιστος. — καὶ διὰ τὸ ἀν.) ἐκληφθήτω τὸ ἀνώμαλον διττῶς, καὶ ὡς πρὸς τὴν ἀνωμαλίαν τῆς ναυμαχίας ἐν διαφόροις τόποις, καὶ τῆς ἐκ τῆς γῆς ἐπόψεως, ἵνα ᾖ, τῆς ναυμαχίας ἐν διαφόροις τόποις ἀνωμάλου οὔσης, καὶ τὴν ἔποψιν τοιαύτην γενέσθαι ἀνάγκη ἦν. Ἢ ἄλλως, καὶ διὰ τὸ ἀνώμ. δηλ. καὶ διὰ τὴν τόσον ἀνώμαλον καὶ ἀμφίβολον κατάστασιν, ἠναγκ. ἔχειν καὶ τὴν ἔποψ. δηλ. ἔπρεπε νὰ θεωρῶσι τὴν ναυμαχίαν καὶ ἐκ τῆς γῆς. Ὥστε ὁ μὲν πρῶτος Καὶ νὰ ἐκληφθῇ συμπλεκτικῶς, ὁ δὲ δεύτερος ἐπιτατικῶς.

§. 32. δι' ὀλίγου) διαστήματος δηλ. — ἀνεθάρσησάν τε ἄν.) ὁ Ἂν φανερόνει ἐπανάληψιν. Βιγέρ. σελ. 785· 286. Γραμ. Βουτ. §. ΡΚϛ'. Σημ. δ'. σελ. 439. πὶ 408. ν. — οἱ δὲ) ἀναφέρεται εἰς τὸ προηγηθὲν οἱ μέν τινες. — ἐπὶ τὸ ἡσσώμ.) μέρος δηλ. — καὶ ἀπὸ τῶν δρωμ.) ἡ Σύντ. ἀπὸ τῆς ὄψεως τῶν δρωμ. ἐδουλοῦντο μᾶλλον ἢ οἱ ἐν τῷ ἔργῳ ὄντες, τουτέστιν οἱ μαχόμενοι — ἀντίπαλον) ἰσοῤῥοποῦντι μέρος τῆς μάχης. — τὸ ἀκρίτως ξυνεχές) ἀντὶ τὸ ξυνεχῶς ἄκριτον. — τῇ δόξῃ) τῇ περὶ τὸ γιγνόμενον προσδοκίᾳ. — ξυναπονεύοντες) τοῖς σώ-

ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πη τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἄν, καὶ πρὸς ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο· οἱ δ', ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο, καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. Ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο. 33. Ἦν δὲ ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός, βοή, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. 34. Παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρίν γε δὴ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. 35. Τότε δὴ ὁ μὲν ναυτικὸς στρατός, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρα-

---

μασι τῇ δε' κἀκεῖσε νεύοντες. — ἐν τοῖς χαλεπ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΛϚ', σελ. 500. π. 465. ν. Βιγέρ. σελ. 765. κ50. — ἀπώλλυντο) νῦν μὲν διαφεύγειν τὸν κίνδυνον ἐδόκουν, νῦν δὲ ἀπολλύναι.

§. 33. ἦν. . . ἀκοῦσαι) Ἰδ. ΙΘ'. §. 11. — πάντα) εἰς τὴν Σύνταξ. ταύτην ἡ Ονομαστικὴ εἶναι κανονικῶς ἐν χρήσει. Αἰσχύλ. Πέρσ. 419. » θάλασσα δ' οὐκέτι ἦν ἰδεῖν ναυαγίων πλήθουσα. » — ὅσα. . . πολυειδῆ) ἀντὶ πάντα ἄλλα εἴδη φθεγμάτων, ὅσα ἀναγκάζοιτο φθέγματα.

§. 34. αὐτοῖς) τοῖς πεζοῖς. — πρίν γε δὴ) ἕως ὅτου τελευταῖον.

§. 35. μετέωροι) ἐν τῇ θαλάσσῃ. καὶ Ξυγγ. Η'. 16. » μετεωρισθεὶς ἐν τῷ πελάγει, » — ἐξέπεσον) ἐξέφυγον. Ἰδ. Β'. §. 23. —



τόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς, οἰμωγῇ τε καὶ στόνῳ πάντες, δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μέν, ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δέ, πρὸς τὸ λοιπὸν τοῦ τείχους, ἐς φυλακήν· ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτούς, καὶ ὅπῃ σωθήσονται διεσκόπουν. Ἦν δὲ ἐν τῷ παραυτίκα οὐδὲ μιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. 36. Παραπλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ. Διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες. Καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παράλογον γίγνηται.

(72). 37. Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας, καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων, οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τρόπαιον ἔστησαν. Οἱ δ' Ἀθηναῖοι, ὑπὸ μεγέ-

---

ἀπὸ μιᾶς ὁρμ.) τουτέστι μιᾷ ὁρμῇ. Ἰδ. ΙΗ'. §. 38. » οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου. » — ἄλλοι δὲ καὶ οἱ πλ.) (κατὰ τὴν ἀνάγνωσιν τῶν καλλιωτέρων χειρογράφων, ἀντὶ τοῦ, ἄλλοι δὲ οἱ πλ.) Ἰδ. ΙϚ'. §. 1. — ἐν τῷ παρ.) τουτέστιν ἡ ἐν τῷ παρόντι ἔκπλ. οὐκ ἦν ἐλάσσων οὐδὲ μιᾶς τῶν ξυμπασῶν προτέρων. Ἰδ. §. 25. §. 50. » πλεῖστος γὰρ ὁ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ. »

§. 36. παραπλήσιά καὶ) Ἰδ. περὶ τῆς χρήσεως ταύτης τοῦ Καὶ μετὰ τὰς λέξεις, αἱ ὁποῖαι φανερόνουσιν ὁμοιότητα, Βιγέρ. σελ. 522. VIII. καὶ ἀριθμ. ΚΓ'. §. 59. » ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. » — Ἰδ. τὴν ἱστορίαν τῶν περὶ τῆς Πύλου ἐν τῇ Μεσσηνίᾳ διαφορῶν τῶν Σπαρτιατῶν καὶ Ἀθηναίων Θουκ. Δ'. 3. — ἐν τῇ νήσῳ) Σφακτηρίᾳ. — διαβεβ.) εἰς αὐτὴν δηλ. — ἀνέλπιστον) οὐδεμία ἦν σωτηρίας ἐλπίς.

§. 37. ναυάγια) τὰ θραύσματα τῶν πλοίων μετὰ τῶν ἐπ' αὐτῶν ἴσως εὑρισκομένων, βοηθείας δεομένων ἀνθρώπων. Θουκυδ. Α'. 50."

θους τῶν παρόντων κακῶν, νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. 38. Δημοσθένης δὲ, Νικίᾳ προσελθὼν, γνώμην ἐποιεῖτο, πληρώσαντες ἔτι τὰς λοιπὰς τῶν νεῶν, βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν· λέγων, ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις (ἦσαν γὰρ τοῖς Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα)· καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ, καὶ βουλομένων πληροῦν αὐτὰς, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν, διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ, καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. Καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

## ϛ'.) Τὸ ςράτευμα τῶν Ἀθηναίων ἀναχωρεῖ ἐκ τῶν Συρακουσῶν.

(Θουκυδ. Ζ'. 75.)

39. Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρασκευάσασθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ ςρατεύματος τρίτη ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. Δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ ςρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάςῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. 40. Τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίςατο· καὶ οἱ ζῶντες καταλειπόμενοι, τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν, καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. 41. Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίςασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαςον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ὅσον δύναιντο· εἴ τῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι, ὥςτε δάκρυσι πᾶν τὸ ςράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ, μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε, καὶ μείζω ἢ κατὰ δάκρυα, τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιό-

ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο. » Ξενοφ. Ἑλληνικ. Α'. ϛ'. 36. » πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους. » διὰ τοῦτο αὐτόθι Ζ'. 31. λέγει » ἀναιρεῖσθαι τὰ ναυάγια καὶ τοὺς ναυαγούς. »

§. 38. γνώμ. ἐποιεῖτ.) τουτέςι προὐτίθει. — βουλομένων) αὐτῶν. καὶ μὴ ἂν) ἡ Σύνταξ. διὰ τὸ οἴεσθαι μὴ κρατῆσαι ἂν ἔτι.

§. 39. καὶ ἡ ἀνάς.) ὁ Καὶ φανερόνει ἐνίοτε εἰς τὸν ἑπόμενον λόγον τὴν ἄμεσον ἀκολουθίαν πράξεως τινός. — οὐ καθ' ἓν) τουτέςιν, οὐχ ἑνὶ τρόπῳ, ἀλλὰ κατὰ πάντα ὁμοίως.

§. 40. μετὰ φόβου) ἐπειδὴ τὸ νὰ ἀφήσῃ τις νεκρὸν ἄταφον ἦτον ἁμάρτημα. — πολὺ .... λυπηρότεροι) ἀντὶ. πολὺ λυπηρότερον θέαμα τοῖς ζῶσι παρεῖχον, καὶ ἀθλιώτεροι ἐδόκουν εἶναι τῶν ἀπολωλότων.

§. 41. εἴ τῳ προλείποι) συνηθέςερον, εἴ τινα προλ. — ἡ ῥώμη καὶ τὸ σ.) ἀντὶ, ἡ τοῦ σώματος ῥώμη. — οὐκ ἄνευ ὀλίγων) ὁ ἀναγνώςης ἐπρόσμενεν ἐνταῦθα τὸ ἐναντίον, δηλ. οὐκ ἄνευ πολλῶν, ἢ, μετ' οὐκ ὀλίγων. Μήπως ἔγραψεν ὁ Θουκυδίδης, οὐκ ἄνευ λυγρῶν ἐπιθειασμῶν; ἀλλὰ πῶς πάλιν ἤθελε διαφθαρῆ γραφὴ τόσον εὔκολος; — ἀπολειπόμενοι) (ἀναφερόμενον πρὸς τὸ περιληπτικόν τῳ. Ἰδ. Κϛ'. §. α.) ἀνακόλουθος ἡ Σύνταξις. Ὁ Θουκυδ. ἐςοχάσθη νὰ γράψῃ, ἀπολειπόμενοι ἔπλησαν τὸ ςρατόπ. δάκρυσιν, ὥςε μὴ ἀφ. Ἰδ. §. 39. — καίπερ ἐκ πολ.) τὸ ὁποῖον ἔπρεπε νὰ ἐλαφρύνῃ τὴν ἀναχώρησίν των. — μείζω ἢ κατὰ) Ἰδ. Ἡρόδ. Γ'. 4. » μέζω ἢ ἀνακλαίειν ». Σοφοκλ. Ἀντιγ. 779. » φρονείτω μεῖζον ἢ κατ' ἄνδρα ». — τὰ ἐν ἀφανεῖ) τὰ μέλλοντα, ἀφανῆ ὄντα.

τας, μή τι πάθωσι. 42. Κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. Οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ. Μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. 43. Καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅ,τι τις ἐδύνατο, κατὰ τὸ χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς, παρὰ τὸ εἰωθός, αὐτοί τε καὶ τὰ σφέτερα αὐτῶν σιτία, ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν, ἀπορίᾳ ἀκολούθων, οἱ δὲ, ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε, καὶ οἱ πλεῖστοι παραχρῆμα· ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἐν τῷ στρατοπέδῳ· καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως, τὸ μετὰ πολλῶν, κούφισιν, οὐδ' ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο· ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. 44. Μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο

§. 42. οὐδὲν ἄλλο ἢ) Ἰδ. Γραμ. Βουτ. §. ΡΛϚ'. σελ. 498. π. 4β. γ.

§. 43. αὐτοί τε) πρὸς πλείονα ἔμφασιν. — ὑπὸ τοῖς ὅπλοις) ἔφερον δηλ. — πάλαι) τὸ πλῆρες τῆς ἀντιθέσεως, ἔνιοι μὲν ἤδη πάλαι, οἱ δὲ πλεῖστοι ἐν τῷ παρόντι. — ἡ ἄλλη) ἡ ἔννοια, ἡ ἄλλη αἰκία καὶ τὰ ἄλλα κακὰ, ὧν ἴσην πάντες μοῖραν εἶχον· ὥστε ἡ δύναμις τοῦ ἐν τῇ ἰσομοιρίᾳ περιεχομένου ἐπιθέτου μεταβαίνει καὶ εἰς τὸ αἰκία. — τὸ μετὰ πολλῶν) παθεῖν δηλ. παροιμιωδῶς· καὶ ἐνταῦθα ἐπανάληψις τῆς» ἐν τῇ ἰσομοιρίᾳ τῶν κακῶν» ἐννοίας. Δύο ἐκφράσεις συνέῤῥευσαν καὶ ἐνταῦθα (Ἰδ. ΙΖ'. §. 14.) εἰς μίαν, ἔχοντος ὅμως τοῦ μετὰ πολλῶν κούφισίν τινα. καὶ, ἡ ἰσομοιρία ἔχουσα διὰ τὸ μετὰ πολλῶν, κ. τ. — ῥᾳδία) κουφίζουσα. ἄλλως τε καὶ) Βιγέρ. σελ. 378. 9. — ἀπὸ οἵας) τουτέστιν, ἐνθυμουμένους ὅτι ἀπὸ τοιαύτης .... Θεόκρ. Εἰδ. Β'. 9. » καὶ μέμφομαι, οἷά (ὅτι τοιαῦτα) με ποιεῖ » Σοφοκλ. Οἰδ. Τύρ. 700 » Κρέοντος, οἷά με βεβουλευκὼς ἔχει». Ἰδ. ΚΓ'. §. 28.

§. 44. μέγιστον) μάλα μέγα. — οἷς) ἀντὶ, ᾧ, ἀναφερόμενον πρὸς τὸ περιληπτικὸν, στρατεύματι. — αὐτοὺς .. δεδιότας) καὶ, αὐτοῖς δεδιόσιν, ὤφελεν εἶναι ὀρθόν. ἡ Σύνταξ. μὴ πάθωσι τοῦτο — ἀντὶ εὐχῆς) Ἰδ. §. 8. 9. — τούτων τοῖς) τοῖς τούτων ἐναντίοις. — προσχόντας) τὸν νοῦν· ὀριθμ. Λ. §. 2.



τῷ Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς, ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι, ξυνέβη ἀπιέναι· ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι· πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσχόντας μᾶλλον ἢ ναυτικῷ. 45. Ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

## ζ'.) Οἱ Συρακούσιοι διώκουσι τοὺς ἀναχωροῦντας Αθηναίους, καὶ προξενοῦσιν εἰς αὐτοὺς πολλὰ δεινά. Οἱ μετὰ τοῦ Δημοσθένους παραδίδονται, ὁ δὲ Νικίας ἐξακολουθεῖ τὸν δρόμον αὐτοῦ πρὸς τὸν Ασσίναρον ποταμόν.

(Θουκυδ. Ζ'. 84)

46 Νικίας δὲ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον, πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. Καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν, βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι

§. 46. τὸν αὐτ. τρ.) καθὼς τῇ προτεραίᾳ ἡμέρᾳ· — ῥᾷον ἔσεσθαι) ὡς τὸ, ῥᾷον ἔχω, εἰμὶ, γίνομαι. Ο λόγος ἐνταῦθα περὶ ἐλαφρώσεως τῆς βίας, τὴν ὁποίαν ἔκαμνεν εἰς αὐτοὺς ἡ τῶν ἐχθρῶν προσβολή. Η Σύνταξ. ἅμα μὲν οἰόμενοι.... Τὸ δὲ» βιαζόμενοι.... ὄχλου» ἐν παρενθέσει ἀναγνωστέον.

σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμόν· ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας, καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. 47. Ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐςπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος. Καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν. Ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν, ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέῤῥεον. 48. Ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι (ἦν δὲ κρημνῶδες) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους, καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. Οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον· καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾑματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς.

§. 47. οὐδενὶ κόσμῳ) Ἰδ. ΚΑ'. §. 15. — πᾶς τις) ἐξέπιπτεν, ἀντὶ, ἑκάστου πρώτου διαβ. βουλομένου. — περί τε τοῖς δορ.) Λουκιαν. Τόμ. Ζ'. 222 « πολλὰ τραύματα λαμβάνοντες περὶ τραχείαις ταῖς πέτραις». Πλούταρχ. Σύλ. 18 « ἀλλὰ κατὰ πρανοῦς φερόμενοι (οἱ βάρβαροι) τοῖς δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν, καὶ κατεκρήμνιζον ὠθοῦντες ἀλλήλους, ἄνωθεν ἐπικειμένων τῶν πολεμίων.» — ἐμπαλασσόμ.) συμπλεκόμενοι. μὴν ἠμποροῦντες πλέον νὰ σταματήσωσιν εἰς τὰ ποδάριά των·

§. 48. ἐς τὰ ἐπὶ θάτερα) ἐς τὸ ἕτερον μέρος· Θουκυδ. Α'. 87. « ἀναστήτω.... ἐς τὰ ἐπὶ θάτερα.» ὡσαύτως καὶ, ἐκ τοῦ ἐπὶ θάτερα. — κρημνῶδες) ὡς νὰ προεξέχῃ μέρος. — ἐν κοίλῳ) βαθεῖ, πολὺ ὕδωρ ἔχοντι. Πολύβ. ΚΒ'. 4 « ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον» Ἡ, κοῖλος ποταμὸς, ὁ μεταξὺ δύω ὑψηλῶν καὶ κρημνωδῶν ὀχθῶν ῥέων. — οἵ τε Πελοπον.) Ἰδ. §. 22. Θουκυδ. ς'. 88. 93. — ὁμοῦ τῷ πηλ.) συνεστραμμένον, ἀντὶ, καὶ πηλῷ ταρασσόμενον καὶ ᾑματωμένον.



(85.) 49 Τέλος δὲ, νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ, καὶ διεφθαρμένου τοῦ στρατεύματος, τοῦ μὲν, κατὰ τὸν ποταμὸν, τοῦ δὲ, καὶ εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, ὁ Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακουσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους ὅ, τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. Καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε, καὶ τούς τε λοιποὺς, ὅσους μὴ ἀπεκρύψαντο (πολλοὶ δὲ οὗτοι ἐγένοντο) ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς διωξομένους, ξυνέλαβον. Τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν, πολύ. 50. Καὶ κατεπλήσθη πᾶσα Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως, ὥσπερ τῶν μετὰ Δημοσθένους, ληφθέντων. Μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε. Πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. Καὶ ἐν ταῖς ἄλλαις προςβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν. Πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ παραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες, καὶ διαδιδράσκοντες ὕστερον. Τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

§. 49. τοῦ μέν.. τοῦ δέ) αἱ λέξεις αὗται, ἂν καὶ συνάπτωνται γραμματικῶς μὲ τὸ στρατεύματος, φανερόνουσιν ὅμως μέρη μόνον τοῦ ὅλου. — χρῆσθαι.. ὅ, τι βούλ.) Ἰδ. ΙΖ'. §. 24. Θουκυδ. Β'. 4. « σφᾶς τε αὐτοὺς παραδοῦναι καὶ τὰ ὅπλα, χρήσασθαι ὅ, τι ἂν βούλωνται.» — καὶ ἐπὶ τοὺς) ἀντὶ, καὶ τοὺς τριακοσίους ξυνέλαβον, πέμψαντες ἐπ' αὐτοὺς.... Ἐμνήσθη τῆς φυγῆς ταύτης τῶν 300 Ἀθηναίων Θουκυδ. κεφ. 83.

§. 50. ἅτε οὐκ) τὸ μετὰ τοῦ Δημοσθένους στράτευμα παρεδόθη ἐπὶ συμφωνίᾳ νὰ μὴ θανατωθῇ. Θουκυδ. Ζ'. 82. — οὐδενὸς ἐλάσσων) Ἰδ. §. 35. — Κατάνην) πόλιν τῆς Σικελίας, σύμμαχον τῶν Ἀθηναίων

(86.) 51. Συναθροισθέντες δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, τῶν τε αἰχμαλώτων, ὅσους ἐδύναντο πλείστους, καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. Καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων, ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς Λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν. Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος Γυλίππου ἀπέσφαξαν.

(87.) 52. Τοὺς δὲ ἐν ταῖς Λιθοτομίαις οἱ Συρακούσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. Ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει, διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι, τοὐναντίον μετοπωριναὶ καὶ ψυχραί, τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον. 53. Πάντα δὲ ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ, καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων, καὶ διὰ τὴν μεταβολήν, καὶ τὸ τοιοῦτον, ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα καὶ δίψῃ ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου· ἄλλα τε, ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ,τι οὐκ ἐπεγένετο αὐτοῖς. 54. Καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διητήθησαν ἀθρόοι· ἔπειτα, πλὴν Ἀθηναίων, καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. Ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων· ξυνέβη τε ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι· δοκεῖν δ' ἐ-

---

§. 51. Λιθοτομίας) Κικέρων Act. II. in Verr. V. 27. Latumias Syracusanas omnes audistis, plerique nostis. Opus est ingens, magnificum, regum ac tyrannorum; totum est ex saxo in mirandam altitudinem depresso, et multorum operis penitus exciso; nihil tam clausum ad exitus, nihil tam septum undique, nihil tam tutum ad custodias nec fieri nec cogitari potest. In has latumias, si publice custodiendi sunt, etiam ex ceteris oppidis, Siciliae deduci imperantur. « Τὰς λιθοτομίας τῶν Συρακουσίων ὅλοι τὰς ἠκούσατε, καὶ πολλοὶ τὰς ἠξεύρετε. Αὗται εἶναι ἔργον ὑπερφυὲς καὶ μεγαλοπρεπὲς βασιλέων καὶ τυράννων· συνίσταται δὲ ἐκ μιᾶς πέτρας θαυμάσιον βάθος ἐχούσης, καὶ σκαλισμένης ἐσωτερικῶς ὑπὸ πολλῶν τεχνιτῶν. Τίποτε δὲν ἠμπορεῖ οὔτε νὰ γίνῃ, οὔτε νὰ ἐννοηθῇ τόσον ἀποκλεισμένον περὶ τὴν ἔξοδον, οὔτε τόσον περιφραγμένον πανταχόθεν, οὔτε ἀσφαλέστερον εἰς φύλαξιν. Εἰς αὐτὰς τὰς λιθοτομίας φυλακώνονται, ὅσοι εἶναι ἄξιοι δημοσίου φυλακῆς, καὶ ἀπὸ τῶν ἄλλων τῆς Σικελίας πόλεων.

§. 52. οἵ τε ἥλιοι) ἡ τοῦ πληθυντικοῦ χρῆσις ὀλιγώτερον μὲν συνήθης, συμβάλλει ὅμως εἰς τὸ νὰ μεγαλύνῃ τὴν ἰδέαν. — πνῖγος) ἡ καταπνίγουσα ἐν τῇ στενοχωρίᾳ καῦσις. — ἐς ἀσθέν. ἐνεωτέρ.) τὸ ῥῆμα νεωτερίζειν φανερόνει ἐν γένει τὴν νέων φαινομένων γένεσιν, ὥστε αἱ λέξεις ἐς ἀσθένειαν σημαίνουσι τὴν ὡρισμένην ἐνέργειαν, ἀντί, ἐς ἀσθένειαν καὶ νέα νόσων εἴδη τοὺς ἀνθρώπους ἐνέβαλλον.

§. 53. πάντα δὲ ποιούντων) τὰς κατεπειγούσας τῆς φύσεως χρείας ὀνομάζει μὲ τρόπον κόσμιον. — ξυννενημ.) σεσωρευμένων. — καὶ τὸ τοι.) τουτέστι, καὶ ἄλλας τινὰς αἰτίας — ἄλλα.... οὐδὲν) ἀντί, καὶ τῶν ἄλλων ὅσα.... οὐδὲν ἦν ὅ,τι..

§. 54. ἑβδομ. τινὰς) τὸ Τὶς μετὰ ἀριθμητικῶν φανερόνει ὅτι ὁ ἀριθμὸς ἐπιδέχεται ἀκόμη προσθήκην Θουκυδ. Γ'. 111. « καὶ ἐς διακοσίους τινὰς αὐτῶν ἀπέκτειναν». — ἀθρόοι) ὅλον ὁμοῦ τὸ πλῆθος τῶν αἰχμαλώτων· — Σικελιωτῶν) τῶν ἐν Σικελίᾳ κατοικούντων Ἑλλήνων. — Ἰταλιωτῶν) Ἰδ. §. 15. — ἀπέδοντο) ἐπώλησαν· — ἀκριβείᾳ) ἀντί, καίπερ χαλεπὸν ἀκριβῶς ἐξειπεῖν τὸν ἀριθμόν. — δοκεῖν) ὡς ἔμοιγε δοκεῖ. Βιγέρ. σελ. 732. 154. — καὶ ὧν) καὶ πάντων τῶν ἄλλων Ἑλληνικῶν, ὧν ἀκηκόαμεν. — κατὰ πάντα) καὶ κατὰ γῆν, καὶ κατὰ θάλασσαν, καὶ κατὰ πάντα τὰ αὐτῶν ἐπιχειρήματα. — οὐδὲν ὀλίγον) ἀλλὰ τὰ μέγιστα. — ἐς οὐδὲν) ἐν παντὶ πράγματι. — τὸ λεγόμενον) ἀπολύτως, ἀντί, ὥσπερ λέγεται. Ἰδ. Γραμ. Βουτ. §. ΡΙΗ'. Σημ. δ'. σελ. 414. π. 381. ν.

μοί γε, καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον, καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον. Κατὰ πάντα γὰρ πάντως νικηθέντες, καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ, τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες, καὶ οὐδὲν ὅ, τι οὐκ ἀπώλετο· καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. Ταῦτα μὲν τὰ περὶ τὴν Σικελίαν γενόμενα.

## ΚΓ'.

## Λυσίου λόγος Ἐπιτάφιος ἐπὶ τῶν ἐν τῷ πολέμῳ ὑπὲρ τῶν Κορινθίων ἀποθανόντων.

Αἰτία. Εἰς τὴν Κόρινθον, καθὼς καὶ εἰς τὰς περισσοτέρας πόλεις τῆς Ἑλλάδος, ἦσαν δύο φατρίαι, ἡ μία ἀριστοκρατικὴ, καὶ ἡ ἄλλη δημοκρατική· καὶ ἡ μὲν ἀριστοκρατικὴ ἔκλινε πρὸς τοὺς Σπαρτιάτας, ἡ δὲ δημοκρατικὴ πρὸς τοὺς Ἀθηναίους. Ἐν δὲ τῷ τρίτῳ χρόνῳ τῆς ϥϛ'. Ὀλυμπ., συμβάσης μεταξὺ αὐτῶν διαφορᾶς, ὑπερίσχυσεν ἡ δημοκρατικὴ φατρία, τῶν δὲ ἑτεροφρονούντων οἱ μὲν ἔφυγον, οἱ δὲ ἐφονεύθησαν. Ἡ Σπάρτη καὶ τὸ Ἄργος μετέσχον τῆς διαφορᾶς ταύτης. Μετὰ δὲ τοῦ Ἄργους ἡνώθη στράτευμα μισθοφόρων τῶν Ἀθηναίων ὑπὸ τὴν στρατηγίαν τοῦ Ἰφικράτους· συνέβησαν τινὲς μάχαι, καὶ τῶν εἰς αὐτὰς φονευθέντων τὴν ἀνδρίαν ἐγκωμιάζει ὁ Λυσίας ἐν τῷ παρόντι λόγῳ. Ἰδ. πλατύτερον τὴν ἱστορίαν τῶν διαφορῶν ἐκείνων παρὰ Ξενοφ. Ἑλληνικ. Δ'. 4. Διοδώρ. Σικελ. ΙΔ'. 89. καὶ ἑξ. καὶ Manso's Sparta Τόμ. Γ'. μέρος ά. σελ. 69. καὶ ἑξ.



Τὴν περιγραφὴν τοιαύτης κηδείας Ἰδ. ἀριθμ. Κ'. Οἱ ἐπιτάφιοι λόγοι ἐπανελαμβάνοντο κατ' ἔτος, καὶ σπονδαὶ ἐγίνοντο, καὶ ὅτε ἐνεταφιάζετο νέον σῶμα γενναίων πολεμιστῶν, ἀνανεοῦτο ἐν ταὐτῷ καὶ ἡ τῶν παλαιῶν ἡρώων μνήμη, οἵτινες ἦσαν εἰς αὐτὸν τὸν τόπον τεθαμμένοι. Διὰ τοῦτο διατρέχοντες οἱ τοὺς ἐπιταφίους λόγους ἐκφωνοῦντες ῥήτορες ὡς ἐπὶ τὸ πλεῖστον ἱστορικόν τινα κύκλον συνδέουσι τὰ νέα συμβεβηκότα μετὰ τῶν μεγάλων κατορθωμάτων τῶν ἀρχαίων χρόνων.

---

1. Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. 2. Ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων,

---

§. 1. 2. Εἰς τὴν εἰσαγωγὴν δεικνύει ὁ Ῥήτωρ τὸ μέγεθος καὶ τὴν ἀφθονίαν τῆς ὑποθέσεως, τὴν ὁποίαν δὲν ἠμπορεῖ κατ' οὐδένα τρόπον ἱκανῶς καὶ κατ' ἀξίαν νὰ πραγματευθῇ. — τῶν ἐνθάδε) πρῶτον μὲν τῶν ἐν τῷ Κορινθιακῷ πολέμῳ πεσόντων, ἐν ταὐτῷ δὲ καὶ τῶν ἄλλων τῶν ἐν τῷ Κεραμεικῷ κειμένων. — εἰ ἡγούμην . . . ἐμεμψάμην ἂν) Ἰδ. Ἑρμάν' εἰς Βιγέρ. σελ 791. 303. — ἐξ ὀλίγ. ἡμερ.) τουτέστιν, ὀλίγας ἡμέρας μελετῶντα — ἡγουμένη . . . τυγχάνειν) πλατυτέρα ἐξήγησις τοῦ, προνοουμένη τῶν ἐνθάδε λεγ. — τυγχάνειν ἂν), ἀντὶ τεύξεσθαι. Ἰδ. ΙΖ'. §. 12.

§. 2. ὁ ἀγὼν) ὁ Ῥήτωρ παρίσταται ὄχι μόνον ὡς πρὸς τοὺς ἐναντίους καὶ ἀνταγωνιστάς του, ἀλλὰ καὶ ὡς πρὸς τὴν ὕλην, τὴν ὁποίαν σπουδάζει νὰ ὑπερνικήσῃ ὡς ἀγωνιστής. — τοῖς ποιεῖν δυν.)

ὁ δ᾽ ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ᾽ αὐτοῖς εἰρηκότας. Τοσαύτην γὰρ ἀφθονίαν παρασκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥςτε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι λέγειν. Οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης οὐδεμιᾶς· πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσιν.

3. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών. Ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ᾽ ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις, τιμῶντας δ᾽ ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ᾽ ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

4 Ἀμαζόνες μὲν γὰρ Ἄρεως μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμόν, μόναι δὲ ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς, πρῶται δὲ τῶν πάντων ἐφ᾽ ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως, δι᾽ ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας· ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδέαις ἐλλείπειν. 5. Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐςράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. 6. Τυχοῦσαι δ᾽ ἀγαθῶν ἀνδρῶν, ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κιν-

---

τουτέςι, τοῖς ποιηταῖς, πρὸς τοὺς ὁποίους ἀντίκειται τό, οἱ εἰπεῖν βουληθέντες (οἱ ῥήτορες). — ἐκείνοις παρ.) τουτέςιν, ὑπ᾽ ἐκείνων. — οὔτε ... ἄπειροι) τουτέςιν, ἡ περὶ αὐτῶν φήμη πᾶσαν διῆλθε γῆν. — οἱ τὰ αὑτ.) τουτέςιν, οἱ τοιούτων ἀνδρῶν ςερηθέντες. — ὑμνοῦσιν) ἐπαινοῦσιν. Ἰδ. §. 3. §. 58.

§. 3. Ἐγκώμιον τῶν ἀρχαίων Ἀθηναίων. — κινδύνους) μάχας, πολέμους. — ὑμνοῦντας) ὡς νὰ προηγήθη, ἄξιον γὰρ πάντας ἀνθρώπους μεμνῆσθαι. Ἰδ. ΙΗ΄. §. 33. — ἐν ... ἔργοις) περὶ τῆς πλεοναςικῆς χρήσεως τῆς Ἐν Ἰδ. Βιγέρ. σελ. 842. 387. — τῶν τεθνεώτων) τὸ πρὸ τοῦ τεθνεώτων ἀναγκαίως ἀπαιτούμενον ἄρθρον ἐλήφθη ἔκ τινων χειρογράφων.

§. 4. — 16. Ἀπαρίθμησις τῶν ἐνδόξων κατορθωμάτων τῶν Ἀθηναίων, τῶν ἐν τῷ κατὰ τῶν Ἀμαζόνων πολέμῳ· ἐν τῷ ὑπὲρ τῶν ἐνδόξων, τῶν ἐν τῇ ὑπερασπίσει τῶν Ἡ-
ρακλειδῶν. Ἡ τοῦ πανηγυρικοῦ λόγου τούτου βάσις παρ᾽ Ἡροδότῳ Θ΄. 27. — Ἀμαζόνες) Ἰδ. περὶ τοῦ Σκυθικοῦ τούτου γυναικείου ἔθνους, τοῦ παρὰ τὸν Πόντον καὶ τὰς ὄχθας τοῦ Θερμώδοντος ποταμοῦ οἰκοῦντος, Πλούταρχ. ἐν βίῳ Θησ. 27. — πρῶται δὲ) τοιαύτην συχνὴν ἐπανάληψιν τοῦ Δὲ Ἰδ. §. 24. §. 27. — οἷς) ἵπποις. Ξενοφ. Ἀναβ. Γ΄. ά. 2. » ἱππέα οὐδένα σύμμαχον ἔχοντες· ὥςτε εὔδηλον ἦν, ὅτι νικῶντες μὲν οὐδ᾽ ἂν ἕνα φεύγοντα κατακαίνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.» — ἐνομίζοντο) ἀντί, καίπερ γυναῖκες οὖσαι τὴν φύσιν, ὅμως διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες εἶναι ἐνομίζοντο. — ταῖς ψυχαῖς) τῇ εὐψυχίᾳ.

§. 5. περὶ τῆσδε τ. χ.) τῆς Ἀττικῆς δηλ. Ἰδ. περὶ τῆς περιφραζούσης Περὶ ἀριθμ. ΚΒ΄. §. 29. Βιγέρ. σελ. 656. — παραλ. τὰ μαχ.) εἰς ξυμμαχίαν δηλ. Σκύθαι συνεμάχουν αὐταῖς ἐπὶ τῆς ἐκςρατείας ταύτης. Ἰουςίν. Β΄. 4.

§. 6. τυχοῦσαι) εὑροῦσαι. — ἀγαθ. ἀνδρ.) τουτέςι, τῶν Ἀθηναίων κρατερῶς μαχομένων. — ὁμοίας ... τῇ φ.) τουτέςιν, ἀνάνδρους. — μᾶλλον .... γυναῖκες) ἀντί, οἱ κίνδυνοι μᾶλλον αὐτὰς γυναῖκας οὔσας ἔδειξαν ἢ αἱ αὐτῶν φύσεις. Ῥητορικὴ ὑπερβολικὴ ἀντίθεσις εἰς τὸ §. 4. — ἐκ τῶν ἡμαρτ. μαθ.) τὴν παροιμιώδη φράσιν, παθὼν ἔμαθες, ὑπαινίττεται. Ἡρόδ. Α΄. 207 » τὰ δέ μοι παθήματα μαθήματα γέγονε.»



104245

δύνων ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. Μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. 7. Αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν ἀθάνατον μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν, ἀνώνυμον κατέστησαν.

8. Ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν αὐτῶν δικαίως ἀπώλεσαν. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων, καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν Καδμείων θάπτειν τοὺς νεκροὺς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μὲν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον, πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν ἀναίρεσιν (νομίζον-

§. 7. ἀθάνατον) τὸ ἀθάνατον ὡς κατηγορούμενον, καὶ ὄχι ὡς ἐπίθετον τοῦ μνήμην. — ἀνών. κατέστ.) τουτέστι, τῆς πρότερον δόξης ἀπεστέρησαν.

§. 8. Ἀδράστου) ἐν τῷ πολέμῳ τῶν ἑπτὰ ἡγεμόνων κατὰ τῶν Θηβῶν. — οὐκ ἐώντων) αἱ νέαι αὗται ἀπόλυτ. Γενικ. πρέπει, ὡς τὴν θέσιν τοῦ ἀπομένου περιέχουσαι, νὰ ἀποχωρισθῶσιν ἐκ τῶν προηγουμένων, αἱ ὁποῖαι φανερώνουσι τὸν χρόνον καὶ τὰς περιστάσεις· ὅθεν δὲν πρέπει νὰ προσθέσῃ τις, καθὼς ὁ Ταϋλῶρος, Τε, μετὰ τὸ ἐώντων. — δίκην ἔχειν) ἀντὶ δίκην δοῦναι, κοινοτέρα χρῆσις. — ἱερῶν μιαιν.) ἐξηγεῖ τοῦτο Σοφοκλ. ἐν Ἀντιγ. 1016. ὅπου ὁ Τειρεσίας κατηγορεῖ τὴν παρὰ τοῦ Κρέοντος ἀπαγόρευσιν τῆς ταφῆς τοῦ σώματος τοῦ Πολυνείκους.

βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.



τες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς, ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι). 9. Οὐ δυνάμενοι δὲ τούτων τυχεῖν ἐστράτευσαν ἐπ' αὐτοὺς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσι τῶν Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν, πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν· ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν· ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ Ἑλληνικοῦ νόμου στερηθέντες, καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. 10. Ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι. 11. Καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες μεί-

§. 9. (τούτων) ὧν ἐδέοντο. — οὐδεμιᾶς .... ἐκινδύν.) ἀπόδειξις τῆς αὐτῶν καθαρότητος ἀπὸ ἰδιωφελῶν παθῶν. — τῶν νομιζομένων) τῶν κατὰ τοὺς νόμους καὶ ἔθιμα τοῖς νεκροῖς ἀνηκόντων. — πρὸς τοὺς ἑτέρ.) τοὺς Θηβαίους. — ὑπὲρ ἀμφοτέρων) τῶν Θηβαίων ἅμα καὶ Ἀργείων. — ἐξυβρίσωσιν .... ἀπέλθωσιν) ἐναντίον τῆς κανονικῆς ἀκολουθίας τῶν χρόνων. Ἰδ. Β'. §. 7. Ε'. §. 14. ΙΗ'. §. 12. ΚΒ'. §. 10. — ἐξυβρίσωσι) ἐμφατικώτερον παρὰ τὸ ἀσεβήσωσι. — μὴ πρότερον) μετὰ τὸ, μὴ πρότερον ἀπαιτεῖται λόγος καταφατικὸς, οἷον, ἢ τυχεῖν πατρίου τιμῆς· τὸν ὁποῖον ὅμως μεταβάλλει ὁ Ῥήτωρ διὰ τὰς ἑπομένας Μετοχὰς, δι' ὧν τὸ πρότερον γίνεται περιττόν.

§. 10. κτώμενοι) καίπερ ἔχοντες.

§. 11. τῆς τύχης) τῆς νίκης. — ἐκείνοις) τοῖς Καδμείοις, τουτέστι, Θηβαίοις. — ἐν τῇ αὐτῶν) ἐν τῇ αὐτῶν χώρᾳ, δηλαδὴ τῇ Ἐλευσῖνι, ὅπου ἦσαν ἀνεγηγερμένα τὰ μνημεῖα τῶν ξένων ὡς τρόπαια τῆς νίκης. Ἰδ. περὶ τῶν συμβάντων τούτων Πλούταρχ. Θησ. 29. Ἰσοκρ. Πανηγ. 15. καὶ Εὐριπ. Ἱκέτιδ.

ζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ, λαβόντες τὰ ἆθλα, ὧνπερ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὑτῶν Ἐλευσῖνι.

12. Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν· ὑςέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο, ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεςέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. 13. Ἐπιςρατεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν

§. 12. ἠφανίσθη) ἀφανίζεσθαι λέγεται περὶ ἀνθρώπων, οἱ ὁποῖοι ἀφίνουσι τὰ γήϊνα διὰ νὰ μεταβῶσιν εἰς τοὺς θεούς.— Εὐρυσθέα) ὁ ὁποῖος ἐζήτει αὐτοὺς ὡς σκλάβους του ὀπίσω. Ἰδ. Ἰσοκρ. Πανηγ. 15. καὶ Εὐριπ. Ἡρακλείδ. — τὸν βωμὸν) τοῦ Ἐλέου, διὰ τὸν ὁποῖον ἐκαυχῶντο αἱ Ἀθῆναι ὡς οἰκεῖον αὐτῶν προτέρημα.— μετὰ τοῦ δικαίου) τὸ δίκαιον ἔχοντες σύμμαχον. §. 10.

§. 13. τῶν δεινῶν) τῶν τοῦ πολέμου κινδύνων.— ἀλλὰ τὴν) τουτέςιν, ἔμειναν ἐν τῇ πρότερον γνώμῃ.— ἀγαθὸν... ἤραντο) ἀπόδειξις τῆς ἀφιλοκερδίας τῶν Ἀθηναίων.— τοῦ πατρ. αὐτῶν) τῶν Ἡρακλειδῶν πρὸς τοὺς ὁποίους ἀναφέρεται καὶ τὸ, ἐκείνους. Περὶ τῆς συντάξ. τοῦ, ἐκείνους οὐκ εἰδότες.... Ἰδ. ἀριθμ. ΙΑ'. 7.— ἄνδρες γενόμενοι) ἀνδρωθέντες — ἡγούμενοι) ἠκολούθησαν κατὰ τοῦτο τὴν πρὸς τὴν ἐλευθερίαν καὶ δικαιοσύνην αὐτῶν ἀγάπην, πρὸς τὸ ὁποῖον πρέπει νὰ ἀναχθῶσιν αἱ λέξεις, ὑπὲρ ἀμφοτέρων (δηλ. τῆς ἐλευθερίας καὶ δικαιοσύνης).



γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερον· ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι, δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο· τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες· καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες· ἡγούμενοι ἐλευθερίας μὲν εἶναι σημεῖον, μηδὲν ποιεῖν ἄκοντας· δικαιοσύνης δὲ, τοῖς ἀδικουμένοις βοηθεῖν· εὐψυχίας δ', ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. 14. Τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥςθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου ςρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέςησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐ-

§. 14. οἱ μετ' Εὐρ.) οἱ Ἀργεῖοι καὶ ὁ Εὐρυσθεὺς αὐτός.— οὐδὲν... ἐζήτουν) αἱ προτάσεις αὗται πρέπει νὰ ἐκληφθῶσι, κατὰ τὴν ἀκολουθίαν τῆς ἱςορίας, ὑποθετικῶς· διὸ καὶ πρέπει εἰς τὸ ἐζήτουν καὶ ἠξίουν ἤτοι νὰ ἐννοήσῃ τις, ἢ νὰ προςθέσῃ τὸ μόριον ἄν. (καὶ αὐτὸς ὁ Εὐρ. ἂν ἱκέτης παρ' αὐτοῖς ἐκαθέζετο, οὐκ ἂν ἠξίουν αὐτὸν ... ) — ἰδίᾳ δυν.) τουτέςιν, αὐτοὶ, ἄνευ συμμάχων. — τοῖς αὐτ. κινδ.) τουτέςιν, αὐτοὶ ὑπὲρ ἐκείνων κινδυνεύσαντες — διὰ δὲ τὴν... ἐκείνους τοῖς) παρελήφθη ἡ γραφὴ αὕτη κατὰ τὸ πρόβλημα τοῦ Ταϋλώρου (ἀντὶ τῆς, διὰ τήν... ἐκείνους τοῖς), καὶ διὰ τὴν ἁρμονίαν τοῦ λόγου, καὶ διὰ τὴν συνάφειαν τῶν λέξεων, διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, μετὰ τοῦ ἑπομένου κώλου.

κείνους τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. 15. Τοσοῦτον δ' εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός· ὁ μὲν γὰρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ, καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐχ' οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

16. Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι· ἥτε γὰρ ἀρχὴ τοῦ βίου δικαία· οὐ γὰρ, ὥσπερ οἱ πολλοὶ, πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλοτρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα. Πρῶτοι καὶ μόνοι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην· κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐ-

§. 15. τοὺς μὲν ἄλλους ἀδικ.) τουτέστιν, οἳ ἄλλους ἠδίκουν. — εἰς αὐτὸν) ἀντιθετικῶς πρὸς τὸ, ἄλλους, τοὺ [illegible] κόσμου.

§. 16. Αἴτια τοῦ ἰδίου τοῖς Ἀθηναίοις πρὸς τὴν δικαιοσύνην ζήλου. α') ἡ ἀρχαία αὐτῶν ἀρχή. β') τὸ πολιτικὸν αὐτῶν σύστημα. — πολλὰ) ἡ Σύνταξ. πολλὰ ὑπῆρχον ὥστε διαμάχ. — ἡγούμενοι . . . μεγίστην) συνεστραμμένως ἀντὶ, ἐν τῇ πάντων ἐλευθερίᾳ εἶναι μεγίστης ὁμονοίας ἀρχήν. — κοινὰς) ἀντὶ, ἐν γὰρ τοῖς κινδύνοις κοιναῖς ἐλπίσι χρώμενοι. — νόμῳ) τὸ νόμῳ ἀντίκειται τῷ βίᾳ· εἰς τὸ [illegible] ἀντίκειται προσέτι καὶ τὸ λόγῳ. — τούτοις) τῷ νόμῳ καὶ τῷ λόγῳ. — ὑπὸ . . . διδασκ.) Αἱ [illegible] [illegible] εἰς τὰ ἀνθρώπους, ἂν καὶ, [illegible] [illegible] ἴσως τῆς [illegible] διὰ τὰ παρενθέσει [illegible] κεῖνται κατ' Αἰτιατικήν. Ἰδ' §. 1. ἀριθμ. ΙΗ'. §. 33.



λευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο· νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι, ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν, νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους.

17. Καὶ γάρ τοι καὶ φύντες καλῶς, καὶ γνόντες ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὐτῶν ἀρετὴν κατέλιπον. Μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. 18. Ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Ἡγησάμενοι δὲ, εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο· ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα· νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧ τινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀ-

§. 17. — 39. Μνεία τῶν κατὰ τοὺς Περσικοὺς καὶ ἄλλους πολέμους ἐνδόξων κατορθωμάτων τῶν ἐκ τῶν προρρηθέντων αἰτίων πηγασάντων. — γνόντες) καὶ γνώμην καλῶς ἔχοντες. — οἱ ἐξ ἐκείν.) τῶν προγόνων δηλ. — μόνοι) τὸ μόνος σημαίνει ἐνίοτε μόνον ἐξοχήν· [illegible] καὶ ὁ Λυσίας ἀποδίδει ἴσως καθ' ὑπερβολὴν ῥητορικὴν τοῖς Ἀθηναίοις μόνοις ὅ,τι αὐτοῖς κατ' ἐξοχὴν ἀνήκει.

§. 18. μυριάδας στρατιάν.) ἀντὶ, μυριάδων. Ἰδ. ΙΗ'. 34. — ἡγησάμενοι . . . ἄρξειν) τὸ αὐτὸ κρίνει καὶ Αἰσχύλ. Πέρσ. 232. καὶ [illegible] — νομίσ. ἂν εἶναι) τουτέστιν, ἔσεσθαι. Ἰδ. §. 1. — ᾧ τινι χρὴ) Ἰδ. ἀριθμ. ΙΗ. §. 10.

μύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. 19. Ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειςήκει, ὡς, εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σώζοντας, φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. 20. Οἱ μὲν τοίνυν τοιαῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι, οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίςευσαν· καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους· οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. 21 Ταῦτα

---

§. 19. ἔτι δ' αὐτοῖς) ἡ Σύνταξ. παρειςήκει (τουτέςιν, ἦν) αὐτοῖς τοιαύτη δόξα περὶ τῆς πόλ. . . ., — ὡς. . . πολεμήσ.) Ἰδ. ἀριθμ. Β'. §. 14. — εἰ. . ἴασιν) (εἰ ἴασιν, καὶ οὐχί, ἴωσιν, τὸ ὁποῖον δὲν ἐπιδέχεται τὸν Ἐλ.) ἔχει σημασίαν μέλλοντος. Ἰδ. Γραμ. Βουτ. §. ϞϚ'. Ε'. ἑ. σελ. 251. π. 236 ν. καθὼς καὶ τὸ παρακατ. εἰ . . . ἀφίξονται. ὅπου τὸ ἀφίξωνται ἤθελεν εἶναι σόλοικον. — ἥξουσι βοηθ.) ἐκφράζει τὴν μεγάλην βεβαιότητα, ἀντί, ἔγνωσαν γὰρ αὐτοὺς ἥξειν βοηθήσοντας. — τολμήσειν) ἐξαρτᾶται ἀπὸ τοῦ, δόξα παρειςήκει. — ἐκείνους) τοὺς Πέρσας. — αὐτῶν) τῶν Ἀθηναίων.

§. 20. τοιαῦτα) κατά τινα τῶν καλλίςων χειρογράφων, ἀντὶ τοῦ, ταῦτα. — εἰδότες τ. κινδ. (τουτέςι, γνόντες) λογισμ.) μὴ λογιζόμενοι ἐπιμελῶς τὸν κίνδυνον. — περὶ τῶν ἀγαθῶν) γινομένων δηλ. — πυθέσθαι) ἀντί, ἕως ἂν οἱ σύμμαχοι πύθωνται καὶ βοηθήσωσιν.

§. 21. προςήκειν) καθὼς τό, θέμις εἶναι, χρῆναι — ἀγαθοὺς) ἀφηρημένως τις ἐνταῦθα τὸ ἀγαθοῖς, πλὴν οἱ παλαιοὶ συντάσσουσι τὸ αὐτὸ ῥῆμα μὲ τὰς διαφόρους αὐτοῦ συντάξεις, καθὼς ἐνταῦθα·



μιᾷ γνώμῃ πάντες γνόντες, ἁπάντων ὀλίγοι πρὸς πολλούς. Ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προςήκειν, ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων· καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν δ' οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μέν, ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δέ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν. 22. Ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔςησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων, ἐκ τῆς αὐτῶν ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων

---

προςήκει ἐμὲ εἶναι ἀγαθόν, καί, ἐμοὶ εἶναι ἀγαθῷ. — ἀλλοτρίας) εἰς χρῆσιν τρόπον τινὰ μόνον δεδομένας· Εἰς διάφορόν πως ἔννοιαν λέγει ὁ Ἰσοκράτης Πανηγυρ. σελ. 78.» ἁπάντων ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥςπερ ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύσειν.» Θουκυδ. Α'. 70.» τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται.» — διὰ τὸν θάν.) ἀντί, διὰ τὴν τοῦ θανάτου ἀνάγκην — τῶν ἄλλων) τῶν μὴ μαχεσομένων.

§ 22. σωμ. ἀφειδ. Γραμ. Βουτ. §. ΡΙΘ'. δ'. γ. σελ. 417. π. 384. ν. — ὑπὲρ τῆς ἀρ.) ὑπὲρ τῆς ἐκτελέσεως τῆς ἐντολῆς τῆς ἀρετῆς. — τοὺς νόμους) κατὰ τὴν ἔννοιαν τοῦ ἐπιγράμματος, τοῦ ἐπὶ τοῦ τάφου τῶν ἡρώων τῶν ἐν Θερμοπύλαις·

ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

— τρόπαια τῶν βαρβάρων) ἢ, κατὰ τῶν βαρβάρων. — ὑπὲρ χρημάτων) Ἰδ. §. 18. — ἐκ τῆς αὐτῶν) ἡ κοινὴ γραφή, ἐν τῇ αὐτῶν καί, παρὰ τοὺς ὅρκους τῆς χώρας, διωρθώθη μὲν ἔκ τινων καλῶν χειρογράφων· ἀλλὰ καὶ οὕτω πάλιν αἱ λέξεις, παρὰ τοὺς ὅρκους, εἰσὶν ὕποπτοι, ἐπειδὴ δὲν εἶναι κάμμία συμφωνία γνωςή, ὁποίαν παρέβησαν οἱ Πέρσαι τότε.

[παρὰ τοὺς ὅρκους]. 23. Οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν τήν τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων νίκην. Καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἥσθησαν. Ὥστε οὐδὲν θαυμαστόν, παλαιῶν τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

24. Μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεύς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος, χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. 25.

§. 23. διὰ ταχέων) ἀντὶ, ταχέως. Ἰσοκρ. Συμμ. σελ. 179. «τὸν δὲ πλεῦσαι διὰ ταχέων προςκαλεῖν.» — οἱ αὐτοὶ) ἔγγελοι. — παλ. τῶν ἔργων) τῆς γλώσσης τὸ ἰδίωμα ἀπῄτει ἐνταῦθα τὸ ἄρθρον, τὸ ὁποῖον αἱ κοιναὶ ἐκδόσεις δὲν ἔχουσιν. — αὐτῶν) τῶν ἀρχαίων [illegible].

§. 24. Συμβάντα τῷ δευτέρῳ κατὰ τῶν Περσῶν πολέμῳ. — ἐψευσμ. — συμφορᾷ) αἱ συμφοραὶ τοῦ πρώτου Περσικοῦ πολέμου [illegible] σημαίνονται, διὰ τὴν διαρκῆ αὐτῶν ἐνέργειαν, ὡς συμφορὰ τοῦ Ξέρξου. — τοῖς αἰτίοις) τοῖς Ἀθηναίοις. — ἀπειρ. ἀγαθ. ἀνδρ.) τουτέστιν, οὔπω πεῖραν γνοὺς τί ἡ ἀρετὴ δύναται. — δεκάτῳ) ἀντὶ, δεκάτῳ ἔτει μετὰ τὴν ἐν Μαραθῶνι μάχην. — καταλέξαι) Ἰδ. τὸν κατάλογον αὐτῶν εἰς τὸν Ἡρόδ. Ζ΄, 61.

§. 25. τὸ δὲ μέγιστον) Ἰδ. ΚΖ΄ §. 8. Γραμ. Βουτ. §. Ρ[illegible]Ζ΄. Γ΄. 1. σελ. 60 [illegible] — ἐξὸν) Γραμ. Βουτ. §. ΡΑΒ΄. Σημ. 5΄. β΄. Αἱ χιλίαι νῆες τοῦ Ξέρξου ἔπρεπε νὰ κάμωσι πολλάκις τὸν δρόμον. ὅθεν λοιπὸν ἡ ἔκφρασις κατὰ τὸ στενότατον εἶναι [illegible]



Τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι· ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω, ὑφισταμένου οὐδενός, ἀλλὰ τῶν μέν, ἀκόντων ὑπακουόντων, τῶν δέ, ἑκόντων προδιδόντων. Οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. 26. Ἀθηναῖοι δέ, οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μέν, εἰς τὰς ναῦς εἰσβάντες, ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν, Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον

— ὑπεριδὼν) καταφρονῶν. — ἠνάγκασε) Ἰσοκρ. Πανηγ. σελ. 89. «οὐ πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ πάντες θρυλλοῦσιν· ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάσσης.» — ζεύξας) γεφύρᾳ δηλ. — τὸν Ἄθω) ἀκρωτήριον τῆς Χαλκιδικῆς χερσονήσου, ἀντικρὺ τῆς Λήμνου. (τὸ ἅγιον ὄρος τώρα καλούμενον).

§. 26. Ἀρτεμίσιον) ἀκρωτήριον τῆς Εὐβοίας πρὸς ἄρκτον κείμενον. — Θερμοπύλ.) τὰ στενὰ τῆς Οἴτης, τὰ ὁποῖα φέρουσιν ἐκ τῆς Θεσσαλίας εἰς τὴν Λοκρίδα. — οὐδὲν (οὕτως ἔγραψε καὶ Ῥέισκιος, ἀντὶ, οὐδὲ) ταῖς ψυχ.) καθὼς §. 21. «οὐ φιλοψυχήσαντες.» — καὶ οὓς φυλ.) ἀντὶ, καὶ τούτων, οὓς φυλ. — καὶ πρὸς οὓς) ἀντὶ, τῶν πολεμίων. — διεφθάρησαν) ἡ παρενθήκη τοῦ διεφθάρησαν πρὸς ἀναπλήρωσιν τῆς ἐννοίας. Ἰσοκρ. Πανηγ. κεφ. 25. «οἱ μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον· οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν. οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν.»

οἷοί τε ἔσεσθαι διαφυλάξαι. Γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ, Λακεδαιμόνιοι δὲ, οὐδὲν ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, διεφθάρησαν, οὐχ ἡττηθέντες τῶν ἐναντίων ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. 27. Τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δὲ ἡμέτεροι πρόγονοι, πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφορὰν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δ' ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται, εἰ δ' εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυεῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰ δυνάμεις

§. 27. τῶν μὲν) τῶν Λακεδαιμονίων. — τῶν δὲ) Περσῶν. — εἰδότες δὲ) Παράβ. §. 4· ὅπου σημειοῦται τοιαύτη ἐπισώρευσις τοῦ εἰ. — ἐπιπλεύσαντες) προςεπινοείτω τις τὸ οὗτοι. — ἐμβήσονται) οὗτοι οἱ Ἀθηναῖοι. — ἁλώσονται) μεταφορὰ τοῦ κατηγορουμένου ἐκ τῶν προσώπων ἐπὶ τὰ πράγματα. — ἀμύνασθαι) τοῖς Πέρσαις ἀπαντήσαντες — ὑπὲρ τῆς Ἑλλ.) Ἰδ. §. 22. ἀριθμ. ΚΖ'. §. 4. — κινδυνεύσωσιν) ἐναντίον τῆς κανονικῆς ἀκολουθίας τῶν Ἐγκλίσεων. Ἰδ. §. 9.



κινδυνεύσωσιν. 28. Ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη, οἷος μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; 29. Ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ κινδύνου προσιόντος), ἢ οἱ μέλλοντες ναυμαχήσειν [ὑπὲρ τῆς φιλότητος] ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; οἷς τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν προειδέναι, μεγίστην δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. 30. Ἦπου διὰ τὴν ὑπάρχουσαν ἀπορίαν, πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο· εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀ-

§. 28. ὑπεκθέμ.) Ἰδ. ἀριθμ. Δ'. §. 20. Ἡρόδοτ. Η'. 41. 42. — οἷος) ὅτι τοῖος. Ἰδ. ΚΒ'. §. 43. — οἷος μέγας) κατὰ πλεονασμὸν, ἀντὶ, ὡς μέγας· διότι ἡ ἔννοια τοῦ μεγέθους περιέχεται ἐν τῷ οἷος.

§. 29. οἱ θεώμενοι) ἐκ τῆς νήσου δηλ. — ὑπὲρ τῶν ἄθλων) ὑπὲρ τῶν ἐν Σαλαμῖνι συγγενῶν, τῶν ὁποίων ἡ διατήρησις ἦτον τρόπον τινὰ τὸ ἆθλον τῆς μάχης. Αἱ λέξεις» ὑπὲρ τῆς φιλότητος» φαίνεται ὅτι εἶναι προσθήκη ξένη. — Σαλαμῖνι οἷς) διόρθωσις τοῦ Μαρκλάνδου, ἀντὶ τοῦ, Σαλαμινίοις. — μεγίστην) συνεσφαλμένος ὁ λόγος, ἀντὶ, πολὺ μείζων ἦν ὁ φόβος τῶν συμφορῶν, ἃς τοὺς ὑπεκτεθ. (τοὺς ἐν Σαλαμῖνι φυλαττομένους) ὑπὸ τῶν βαρβάρων πείσεσθαι ἤλπιζον (ἐφοβοῦντο). Δὲν εἶναι ὡς τόσον ἀπίθανος καὶ εἰκασία τοῦ Ταϋλώρου, ἃ ὑπὸ τῶν βαρβάρων.

§. 30. Ἐξαλείφθησις τῆς περιγραφῆς τῆς καταστάσεως τῶν ἐν Σαλαμῖνι εὑρισκομένων. — διὰ τὴν ἀπορ.) ἀντὶ, ἐν ταύτῃ τῇ ἀπορίᾳ

ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων· ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην καὶ μεστὴν τῶν βαρβάρων [ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν,]· ἀκούοντες δὲ ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας· δοκοῦντες τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι· ἦπου, διὰ τὸν παρόντα φόβον, πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. 31. Ποῖαι δὲ οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἶκτός τε πατέρων καὶ μητέρων, λογισμός τε, εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτῶν οὐκ ἂν ἠγάσθη;

ὄντες. — ἱερῶν ..... δεινῶν) αἱ λέξεις αὗται, αἱ ὁποῖαι δὲν ἁρμόζουσιν εἰς τὴν λοιπὴν Σύνταξιν, ἤτοι εἶναι ὅλως παρενθήκη ξένη, ἢ δὲν κεῖνται εἰς τὸν οἰκεῖον αὐτῶν τόπον. — Ἰδ. Ἰσοκρ. Πανηγ. κεφ. κζ'. — ἀκούοντες) τὸ ἀκούοντες συνετάχθη κατὰ ζεῦγμα καὶ μὲ λέξεις, αἱ ὁποῖαι δὲν ἐκφράζουσιν ἀντικείμενα τῆς ἀκοῆς. — νενικ.) τοὺς Ἀθηναίους δηλ. τοῦ ὁποίου ἀκόλουθον ἦτον τό, σεσῶσθαι (αὐτούς)· καθὼς καὶ εἰς τὸ ἑπόμενον κῶλον. — ὧν οὐκ εἶδον) οὐδὲν δηλ. Εἰς ὅλην τὴν περιγραφὴν ταύτην φαίνεται ὁ Λυσίας ἁμιλλώμενος μὲ τὸν Θουκυδ. Ζ'. 71.

§. 31. ἔλεός τε) πρέπει καὶ ἐνταῦθα καὶ εἰς τὰ ἑπόμενα νὰ ἐπαναληφθῇ τὸ ποῖος — αὐτῶν) προτιμοτέρα ἡ γραφὴ αὕτη τῆς αὐτούς, ἐπειδὴ τὸ ἄγαμαι καὶ ἀγάζομαι συντάσσεται συνήθως παρὰ τοῖς Ἀττικοῖς μετὰ Γενικῆς.



32. Ἦ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν, καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐμβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. Ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. 33. Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι· ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. Καὶ γάρ τοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβήτητα ἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο· γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο.

§. 32. κατὰ τὴν ἀρ.) ἡ Σύνταξ. διήν. ἁπάντ. ἀνθρ. κατὰ τὴν ἀρ. — τὰς αὐτ. ψυχ.) διὰ τὴν στρογγυλότητα τῆς ἀντιθέσεως, ἀντί, αὐτοὺς ὀλίγους ὄντας. — μετ' ὀλίγων) προσυπακουέσθω τις ἐλευθέρων, τὸ ὁποῖον, κατὰ τὴν ἔννοιαν, περιέχεται ἐν τῷ, ὑπὲρ τῆς ἐλευθερ. — ὑπὲρ. τῆς αὐτ. δουλ.) οἱ ὑπήκοοι ἑνὸς τυράννου αὐξάνουσι τὴν ἑαυτῶν δουλείαν, στερεοῦντες τὴν ἐκείνου δύναμιν. Δεκτὴ δὲ εἶναι ~~καὶ~~ τὴν ὁποίαν ὁ Ταΰλωρος προβάλλει διόρθωσιν «κρεῖτ. μετ' ὀλίγων ὑπὲρ τῆς αὐτῶν ἐλευθ. κινδ. ἢ μετὰ πολλ. βασιλ. ὑπὲρ τῆς ἑτέρων δουλείας.»

§. 33. Οἱ Ἀθηναῖοι προτεροῦσι τῶν ἄλλων Ἑλλήνων ἐν τῷ πολέμῳ τούτῳ. — συνεβάλ. πλεῖστά τε καὶ κάλλ.) ἤγουν Θεμιστοκλέα, ναῦς, ἄνδρας. Παράβ. ἀριθμ. ΚΑ'. §. 2. καὶ Θουκυδ. Α'. 74. — ἀναμφισβήτητα) προτιμοτέρα ἡ γραφὴ αὕτη τῆς, ἀναμφισβητήτως, διὰ τὸ προηγούμενον ἐπίρρημα. — ὁμονοοῦσ. τοῖς κινδ.) τοῖς αὐτῶν κινδύνοις καὶ πράξεσι ἀνάλογον εὐτυχίαν — γνήσ. καὶ αὐτόχθ.) Ἰδ. §. 16. Θουκυδ. Β'. 36. «τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν.»

34. Εν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν τοῖς ἄλλοις ἐκτήσαντο· ὕςερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ισθμόν, καὶ ἀγαπώντων μὲν τῇ αὐτῶν σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ελληνας περιϊδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Αθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσιν, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ Ελλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ισθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν τοῦ βασιλέως. 35. Διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Αθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιςα αὐτοῖς παραινεῖν,

§. 34. διατειχ.) Ιδ. ἀριθμ. Λ'. §. 8. Ηρόδοτ. Η'. 40. 71. — ἀγαπ. τῇ αὐτ. σωτηρ.) ἀγαπᾷν μετὰ Δοτικ. ἀρκεῖσθαι, καὶ μάλιςα οὕτως, ὥςε νὰ ἀδιαφορῇ τις διὰ τὰ λοιπά· Ιδ. §. 18. — τῇ αὐτῶν σωτ.) ἡ παρενθήκη τοῦ αὐτῶν πρὸ τοῦ σωτηρίᾳ ἔγινε κατὰ τὴν τοῦ Μαρκλάνδου πιθανὴν εἰκασίαν. — περιϊδεῖν) μετὰ Μετοχ. Ιδ. Κς'. §. 7. Β'. §. 19. — εἰ .... ἕξουσιν) Ιδ. ΙΑ'. §. 17. ΙΘ'. §. 6. Τὸ ἕξωσιν, κατὰ τὴν γνώμην τοῦ Ταϋλόρου, ἤθελεν ἦναι σολοικισμός. Ιδ. ἀνωτ. §. 19. — αὐτοὶ) οἱ Αθηναῖοι — μετὰ τῶν βαρβ.) §. 27. μετὰ τῶν βαρβάρων γενομένους. — ἐκείνοις) τοῖς Πέρσαις, ἐναντίον τῶν ὁποίων δὲν εἶχεν ἡ Ελλὰς κἀμμίαν μεγάλην θαλάσσιον δύναμιν νὰ ἀντιτάξῃ. — τούτους) τοὺς Πελοποννησίους.

§. 35. Πλαταιάς) Ιδ. περὶ τῶν ἐν Πλαταιαῖς τῆς Βοιωτίας συμβάντων Ηρόδοτ. Θ'. 25. καὶ ἑξ. ὅςτις (κεφ. 71.) καὶ τὸ ἀριςεῖον τοῖς Τεγεάταις, Αθηναίοις καὶ Λακεδαιμονίοις ἀπονέμει. — πάντ. τοὺς Ελλ.) ὅσοι προσεχώρησαν εἰς τοὺς Πέρσας, εἶεν· μέρος τῶν Θεσσαλῶν καὶ αἱ περισσότεραι τῆς Βοιωτίας πόλεις.



ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείςων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Αθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ελληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν δουλείαν. 36. Εν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ, καλλίςην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους καὶ πρὸς τοὺς Ελληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ελλάδος.

37. Υςέρῳ δὲ χρόνῳ Ελληνικοῦ πολέμου καταςάντος, διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαςοι δεόμενοι, ναυμαχίας Αθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. 38. Πολιορκούντων δὲ κατὰ

§. 36. καὶ μεθ' ὧν....) καὶ παρὰ τῶν συμπολεμούντων αὐτοῖς καὶ παρὰ τῶν ἐχθρῶν. Ισοκρ. πρὸς Φίλιπ. σελ. 154. « ὑπέδειξε τοῖς ἐπιγιγνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς οὓς δεῖ τοὺς πολέμους ἐκφέρειν. »

§. 37. Ελλην. πολ.) περὶ τῶν πολέμων τούτων, καὶ μάλιςα περὶ τῆς ἐν Αἰγίνῃ μάχης Ιδ. ἀριθμ. ΙΗ'. §. 52. — μέγα.... δεόμενοι) ὀνομαςικαὶ ἀπόλυτοι· ἐχρήσατο δὲ αὐταῖς ὁ Ρήτωρ ἵνα ἀποφύγῃ τὴν τῶν πολλῶν Γενικῶν συντυχίαν.

§. 38. πολιορχ. Αἰγ) καθ' ὑπερβολήν, ἀντὶ πόλιν ἐν Αἰγύπτῳ. Ιδ. ἀριθμ. ΙΗ'. §. 51. 52. — ἢ .... ἐμβαλεῖν) συνεςραμμένον, ἀντὶ ἐμβαλόντες τὴν χώραν ἔρημον ἀντιπάλων εὑρήσειν. — Γεράν.) Ιδ. ΙΗ'. §. 53.

τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον. 39. Ἀθηναῖοι δὲ, τῶν μὲν απόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ' αὐτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι· οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι· καὶ οἱ μὲν αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ ἐκείνους μιμούμενοι· τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων. 40. Μυρωνίδου οὖν στρατηγοῦντος, ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων, τοῖς ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν

§. 39. ἀπόντων) πόῤῥω ὄντων, ἐν Αἰγύπτῳ. — ἐγγὺς) ἐν Αἰγίνῃ. — οἱ γεραίτεροι. . . ὄντες) προσθήκη εἰς τὸ Ἀθηναῖοι κατ' ἐπεξήγησιν. — οἱ τῆς ἡλικ. ἐντός) οἱ οὔπω ἐν στρατιωτικῇ ἡλικίᾳ ὄντες.

§. 40. Μυρων. οὖν) προσετέθη ὁ Οὖν προτείναντος τοῦ Μαρκλάνδου. — αὐτοὶ μὴ προσμείναντες τὴν προσβολὴν τῶν ἐχθρῶν. — τοῖς οὔπω δυναμ.) Οὕτω λέγει καὶ Σοφοκλ. (Οἰδίπ. Τυρ. 16. 7.) περὶ τῶν παίδων καὶ τῶν γερόντων·

«. . . οἱ μὲν οὐδέπω μακρὰν
πτέσθαι σθένοντες· οἱ δὲ σὺν γήρᾳ βαρεῖς»

— εἰς τὴν ἀλλ. ἀπαντήσαντες) τοῖς πολεμίοις δηλ. Η Αἰτιατικὴ ἰώσαντας, ἐξαρτᾶται ἀπὸ τοῦ ἐνίκων. — οἱ μέν. . . δυνάμενοι) ἡ χνὴ ἐπανάληψις τῆς αὐτῆς ἐννοίας μὲ τὰς αὐτὰς σχεδὸν λέξεις πορεῖ νὰ ἀθωωθῇ μόνον διὰ τὸν σκοπὸν τοῦ ῥήτορος, νὰ ἐντυπώσῃ εἰς τοὺς ἀκροατάς του καλλιώτερα τὰ ἔνδοξα ἐκεῖνα περιστατικά. — ἐπαιδεύοντο) ἐν τοῖς διδασκαλείοις. — ἐβουλεύοντο) ἐν τῇ ἀγορᾷ.



σφετέραν ἐμβαλεῖν ἀξιώσαντας, εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες, καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δὲ οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο.

41. Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Τίς γὰρ ἂν ἢ χρόνος, ἢ λόγος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; Μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν Ελλάδα, μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα· ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς ξυμμάχους· οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες· οὐδὲ τοὺς ξυμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες· καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδεί-

§. 41. Συναθροισμὸς ῥητορικὸς τῶν λοιπῶν μεγάλων κατορθωμάτων τῆς δημοκρατίας. — τῶν ἐνθάδε κειμ.) ὅλων ὁμοῦ τῶν ἐν τῷ Κεραμεικῷ κειμένων ὑπερασπιστῶν τῆς πατρίδος. Ἰδ. §. 1. — ἑβδομήκοντα) τοὺς ἑβδομήκοντα χρόνους τούτους λογαριάζει ὁ Λυσίας ἀπὸ τοῦ δευτέρου Περσικοῦ πολέμου (Ὀλυμ. ΟΕ. 4.) μέχρι τέλους σχεδὸν τοῦ Πελοποννησιακοῦ (Ὀλυμ. ϞΓ'., 4.) Ἰδ. ΚΑ'. §. 7. Παράβ. καὶ Λ'. 5. — ἀστασιάστους) διότι αἱ Ἀθῆναι ἐσπούδαζον διὰ τῆς στερεώσεως τοῦ δημοκρατικοῦ πολιτεύματος νὰ ἐμποδίσωσι τὰς ἐσωτερικὰς διαφορὰς τῶν συμμάχων πολιτειῶν. — τοῖς ὀλίγοις) τὸ ὁποῖον συμβαίνει εἰς τὰς ὀλιγαρχικὰς πολιτείας. — τὸ ἴσον) τὴν ἰσονομίαν. — ὥσθ' ὁ μέγας βασ) Ἰδ. ἀριθμ. Ε'. §. 28. — ἐδίδου) ἐν τῇ εἰρήνῃ ἐπὶ Ἀρταξέρξου τοῦ Μακρόχειρος· Ὀλυμ. ΠΒ', 4. — τῶν ἑαυτοῦ)) Ἰδ. Γραμ. Βουτ. §. ΡΙΘ'. γ'. β. γ'. σελ. 416. π. 382.-3. γ.

ξαντες, ὥςθ' ὁ μέγας βασιλεὺς οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο. 42. Καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέςη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. Τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν (Ὧν ἕνεκα δεῖ μόνους καὶ προςάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι). 43. Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυςτυχίαις τὴν ἑαυτῶν ἀρετήν. Ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ, εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ ξυμφορᾶς ἐκείνης μεγίςης γενομένης καὶ ἡμῖν τοῖς δυςτυχήσασι, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕςερον ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. 44. Ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες

§. 42. ὧν ἕνεκα....γίγνεσθαι) ὅλαι αἱ λέξεις αὗται εἶναι προ-
φανῶς παρενθήκη χειρὸς ξένης, τὸν Πανηγυρικὸν τοῦ Ισοκράτους
ἀποβλέπουσα, ὅςτις ἀναφέρων τὰ αὐτὰ κατορθώματα θέλει νὰ ἀπο-
δείξῃ τὰ δίκαια τῶν Ἀθηνῶν πρὸς τὴν ἡγεμονίαν, τὸ ὁποῖον ὅμως
δὲν εἶναι παντελῶς σκοπὸς τοῦ Λυσίου.

§. 43. ἀπολομ.) Ιδ. Ζ'. §. 1. Γ'. §. 1.

§. 44. οἱ πρότερον....ἐμβ.) περιγραφὴ τῶν Περσῶν. — ἐνίκη-
σαν) ἐν τῇ πλησίον τῆς Κνίδου μάχῃ. Ολυμπ. ϟϛ', 3. Αποτέλεσμα
τῶν συμβεβηκότων τούτων ἦτον ἡ ἐν Ἑλλάδι τυράννων γένεσις. Ἐγ-
καθεςᾶσιν κατὰ τὴν διόρθωσιν τοῦ Στεφάνου, ἀντὶ ἐγκαθιςᾶσιν.
— ξυμφοράν) ἐν Αἰγὸς ποταμοῖς. — τὴν νίκην) τὴν πλησίον τῆς
Κνίδου. — ἐπὶ τῷδε τῷ τάφῳ) ἐπὶ τῷ τάφῳ τῶν ἀρχαίων ὑπε-
ρασπιςῶν τῆς ἐλευθερίας τῶν Ἑλλήνων. — κείρασθαι) ὡς σημεῖον
μεγάλου πένθους. Κατὰ τὸν αὐτὸν τρόπον παρίςησι καὶ ποιητής
τις (Βρυγκ. Ανάλεκ. Α'. σελ. 178) τὴν Ἀρετὴν ἐπὶ τῷ τάφῳ τοῦ
Αἴακος πενθοῦσαν. — τῆς αὐτῶν) τῶν Ἑλλήνων, τὸ ὁποῖον περιέχε-
ται ἐν τῷ Ἑλλάδι. Ιδ. ἀριθμ. ΙΘ'. §. 2. — λαβόμενος) τυχών. —
ζῆλος) ἦλθεν εἰς αὐτὸν ἔννοια νὰ ἐκτελέσῃ τοὺς παλαιοὺς σκοποὺς
τῶν προγόνων του.



τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεςᾶσιν, οἱ μὲν, μετὰ τὴν ἡμετέραν ξυμφορὰν, οἱ δὲ, μετὰ τὴν νίκην τῶν βαρβάρων· ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐν θάδε κειμένους, ὡς ξυγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. Ὡς δυςτυχὴς μὲν ἡ Ἑλλὰς, τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς, ἑτέρων ἡγεμόνων λαβόμενος! Τῇ μὲν γὰρ τούτων ςερηθείσῃ δουλεία περιέςηκε, τῷ δ' ἄλλων ἀρξάντων ζῆλος ἐγγίγνεται τῆς τῶν προγόνων διανοίας.

45. Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος· ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας ςασιάσαντες πάντας πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν τῶν

§. 45. Πράξεις τῶν Ἀθηναίων ἐπὶ τῶν τριάκοντα τυράννων, καὶ ἔνδοξος ὑπεράσπισις τῆς δημοκρατίας. — ἐξήχθην (ὥςε) ὀλοφ.) ταῦτα. — ἄξιον... μεμν.) ἀντὶ, ἐκεῖνοι δὲ οἱ ἄνδρες ἄξιοι μνήμης. — ςασιάσ.) ἀπὸ τῶν συμπολιτῶν αὐτῶν ἀποχωρισθέντες. — πάντας) τούς τε μετὰ τῶν τυράννων ὄντας Ἀθηναίους καὶ τοὺς Σπαρτιάτας. — εἰς τὸν Πειρ.) Ιδ. ἀριθμ. Ιϛ'. §. 13. — ὑπὸ νόμου) ὡς οἱ τῷ νόμῳ πειθόμενοι ςρατιῶται. — καὶ τοῖς ἄλλοις) οἱ ὁποῖοι ὑπὸ τῶν τυράννων καταθλιβόμενοι δὲν εἶχον πλέον πατρίδα. — αἱρούμενοι) προςεπινοείσθω τις τὸ μᾶλλον. Ιδ. Βιγέρ. σελ. 416. — αἰσχυνόμ.) Ιδ. §. 20. — ταῖς ξυμφοραῖς) τῇ τυραννίᾳ, τῆς ὁποίας ἀποτέλεσμα ἦτον ἡ φυγὴ αὐτῶν. — ξυμμάχους... ἔχοντες) ὡς τὸ §. 10. τὸ δίκαιον ἔχοντες ξύμμαχον. — τοὺς πρότερ. ὑπ.) τουτέςι τοὺς Λακεδαιμονίους, τοὺς παλαιοὺς τῶν Ἀθηναίων ἐχθρούς.

προγόνων ἀρετὴν μιμησάμενοι, ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας· οὐχ ἧττον ταῖς ξυμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι· μᾶλλον βουληθέντες ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, ξυμμάχους μὲν ὅρκους καὶ ξυνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. 46. Ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. 47. Καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. Οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἀποδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν,

§. 46. ἐν τοῖς σώμ.) Ἰδ. §. 3. — τοὺς Λακεδ.) οἱ ἐν ταῖς μετὰ τῶν φυγάδων Ἀθηναίων μάχαις πεσόντες Σπαρτιᾶται ἐτάφησαν ὡσαύτως ἐν τῷ Κεραμεικῷ. Ἰδ. ΙΖ'. §. 18.

§. 47. τείχη) Ἰδ. ἀριθμ. Ι'. §. 15. — Τὰ εὐτυχῆ ἐπακολουθήματα τῶν νικῶν τοῦ Θρασυβούλου ἀποδίδει ὁ Λυσίας, κατὰ τὸν ἰδιαίτερον αὐτοῦ σκοπόν, εἰς τοὺς κατ' ἐκεῖνον τὸν πόλεμον πεσόντας. — ἀδελφὰ) ὅμοια, οὐχ ἧττον εὐγενῆ. — οὔτε . . . δυνάμενοι) οὐ φέροντες ἐλάττωμά τι. — οὔτ' αὐτοὶ) ἐπειδὴ τὸ αὐτοὶ δὲν ἔχει κἀμμίαν ἀντίθεσιν, ἠμπορεῖ τις ἴσως νὰ συμπεράνῃ, ὅτι ἀντὶ τούτου ἐγράφετο αὖ τι. — τῆς αὐτῶν ἐλευθ.) τῆς παρ' αὐτῶν τῶν ἰδίων ἀκεραίου διατηρηθείσης ἐλευθερίας. — τοῖς βουλ. δουλ.) τοῖς βουλομένοις τοῖς τυράννοις ὑποτάσσεσθαι. — μετέδοσαν) ἐτέθη τὸ μετέδοσαν, ἀντὶ τοῦ μετέδωκαν, ὡς συνηθέστερος τοῖς Ἀττικοῖς σχηματισμός, ἐκ τῶν καλλιωτέρων χειρογράφων. Ἰδ. Γραμ. Βουτ. §. ... σελ. 233. π. 219. ν. — τῆς ἐκείνων δουλ.) τῆς ἐκ τῆς τυραννίας ἐπερχομένης δουλείας.



ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο· καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὐτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. 48. Ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὐτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων πρότερον ἐδυστύχησεν ἡ πόλις. Εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους, βίᾳ τῶν παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τὴν αὐτῶν οἷοί τε ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο.

49. Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται, ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες, καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς.

§. 48. ἀπελογήσαντο) τοῦτο, καὶ ὄχι τὸ ἀπελογίσαντο, ἀπῄτει ἡ ἔννοια. — βίᾳ τῶν παρ.) Ἰδ. Βιγέρ. σελ. 84. — εἰ γὰρ στασ.) ἡ σύνταξ. εἰ γὰρ οἷοί τε ἐγέν. κατελ. (εἰς τὴν πατρίδα) στασιάσ. πρ. ἀλ. βίᾳ τῶν παρόντ. Πελοπ.

§. 49. Ὁ Ῥήτωρ πλατιάζει πρὸς τὴν κυρίως ὑπόθεσιν τοῦ λόγου αὐτοῦ, ἐπαινῶν ἐν γένει τοὺς ξένους, οἱ ὁποῖοι ἀπέθανον βοηθοῦντες τὴν πόλιν. Μεταξὺ τοῦ στρατεύματος τοῦ Θρασυβούλου ἦσαν λοιπὸν καὶ ξένοι, οἱ ὁποῖοι καὶ ἐτιμήθησαν ὡς πολῖται. Ἰδ. ἀριθμ. ΙΖ'. §. 4. — πατρ. τὴν ἀρετ.) παρομοίως καὶ Ἰσοκρ. εἰς Ἀρχίδ. Τόμ. Β'. σελ. 40. « πατρίδα τὴν ἐλευθερίαν νομίσαντες. » — τιμὰς) τὰς δημοσίους τελετὰς καὶ τὴν κατ' ἔτος μνείαν τῶν πράξεων αὐτῶν. — τοῖς ἀστοῖς) Ἰδ. Γραμ. Βουτ. §. ΡΚ'. 6'. β. σελ. 419. π. 386. ν.

50. Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καινοὶ ξύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν), οὔτε τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι, πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο. 51. Ἐτόλμησαν γὰρ, μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον περὶ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν. Τοῖς γὰρ Λακεδαιμονίων ξυμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο. Νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν· δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον. Ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί· παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τε ἐκείνων δόξαν διασώσαντες καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαν-

§. 50. Ἔπαινος τῶν ἐν τῷ Κορινθιακῷ πολέμῳ πεσόντων, ὡς ἡ κυρία αἰτία τοῦ λόγου. -- ὑπὸ παλ. φίλ.) Ἡ Κόρινθος ἦτον πρότερον σχεδὸν πάντοτε μὲ τὸ μέρος τῆς Σπάρτης. Ὅτι δὲ τώρα κατὰ πρῶτον ἡ πόλις αὕτη συνεμάχησεν ἐναντίον τῶν εἰς τὴν Ἀσίαν εὐτυχούντων Λακεδαιμονίων, τὸ ἀποσιωπᾷ ὁ ῥήτωρ ἐξεπίτηδες· καὶ ὅτι προσέτι ἡ Σπάρτη εἰς τὸν πόλεμον τοῦτον ἐπολέμει μόνον ἐναντίον ἑνὸς μέρους τῶν πολιτῶν τῆς Κορίνθου· ὁ ῥήτωρ ὅμως μόνον τὴν δημοκρατικὴν φατρίαν θεωρεῖ ὡς πολιτείαν. -- τῆς προτ. ἔχθρ.) ἡ ὁποία ἐκυρίευε μεταξὺ τῶν Ἀθηνῶν καὶ τῆς Κορίνθου.

§. 51. μεγάλην) κλεινήν. -- Λακεδ. ξυμμ.) τοῖς Κορινθίοις, οἱ ὁποῖοι πρότερον ἦσαν σύμμαχοι τῶν Λακεδαιμονίων. Ἡ περίφρασις αὕτη κάμνει ἐνταῦθα τόσῳ ἰσχυροτέραν τὴν ἀντίθεσιν, ὅσῳ οἱ πόλεμοι τῶν Λακεδαιμονίων δὲν ἐσκόπευον εἰς ἄλλο, παρὰ εἰς τὴν ταπείνωσιν τῆς δημοκρατίας. -- τῶν αὐτῶν) τῆς ἐλευθερίας καὶ τῶν ἄλλων ἀγαθῶν, οἷς αὐτοὶ ἐχρῶντο. -- Ἐκείνοις) τοῖς Κορινθίοις.



τες. 52. Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόῤῥω δ' ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. Ἐτελεύτησαν δὲ τὸν βίον ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες, ὥστ' ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. 53. Τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων, οἳ, πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι, αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλιπον, ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν. 54. Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται· ἐξ ὧν δ' οὗτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. Τί γὰρ ἂν τούτων ἀνιαρώτερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὑτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος

§. 53. αὐτοῖς) τοῖς προσήκουσιν αὐτῶν. -- περὶ ἐλάττ.) Ἰδ. Βιγέρ. σελ. 653. III.

§. 54. πολλῶν δὲ καὶ δειν.) Ἰδ. Ἑρμάν. εἰς Βιγέρ. σελ. 797. 223. -- ἐξ ὧν. . γεγ.) τουτέστι τοὺς δὲ αὐτῶν γονεῖς. -- τῶν αὐτῶν) τῶν πολιτῶν δηλ. -- ἀμείν. ἦσαν) οὗτοι οἱ τεθνηκότες δηλ.

μεῖζον. 55. Πῶς δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον ἐν ταῖς τῆς πόλεως ξυμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι· ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ' ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς· ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; 56. Μόνην δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥςπερ ἐκεῖνοι περὶ πολλοῦ ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα, ὥςπερ αὐτοὶ πατέρες ὄντες· ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. Τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προςήκοντας; οἳ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν.

---

55. αὐτῶν) τῶν τεθνηκότων. — τοὺς ἄλλους) τοὺς ἀλλοτρίους, πόσῳ δὲ μᾶλλον τοὺς αὐτῶν γονεῖς. — ταῖς τούτ. ἀρετ.) τῶν καρπῶν τῆς τούτων ἀρετῆς, τῆς ἐλευθερίας καὶ εὐπραγίας. — τὴν αὐτ. ἀπορίαν) αὐτοὺς ἐν ἀπορίᾳ ὄντας. — ἐπὶ ταῖς δυσ.) ἐπειδὴ ὁ θάνατος ἀφήρπασεν τοὺς ὑπερασπιστὰς καὶ βοηθοὺς τῶν γονέων αὐτῶν.

§. 56. μόνην δ' ἄν) ὁ ἂν εἰς τὸ ἀποδοῦναι. Ἰδ. §. 1. — ὥςπερ ἐκεῖνοι) λαμβάνοντες τὸν τόπον τῶν παίδων. — τοὺς τούτοις προς.) τὸ προςήκων λαμβάνει καὶ Αἰτιατ. καὶ Γενικ. (Ἰδ. §. 42) μεθ' ἑαυτοῦ. — γνησίως) τὰ συμπαθητικὰ αἰσθήματα τῆς συγγενείας ἀντικειμένως πρὸς τὰ ἠθικά.



57. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ,τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι. Οὐ γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ἅπαντες ὄντες θνητοί· ὥςτε τί δεῖ ἃ πάλαι προςεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως ξυμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις· οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. Εἰ μὲν γὰρ οἷόν τε ἦν τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. 58. Νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ, τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. Ὥστε προςήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες, ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες, οὕτω τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐ-

---

§. 57. Αἰτίαι τῆς παραμυθίας ἀπὸ τῆς λύπης ταύτης. — ὅτι) διὰ τί. — ὄντες θνητοί) οὕτως εὑρίσκεται ἐν τοῖς καλλιωτέροις χειρογράφοις, κατὰ τὰ ὁποῖα, μετὰ τὸ ἐλανθάνομεν, προστίθεται Ἅπαξ. τοῦτο ὅμως μοὶ φαίνεται ὅτι ἀνεφύη ἐκ τοῦ ἅπαντες. Πλάτ. Κρίτ. σελ. 113. « ἄρα ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες. » καὶ Φαίδρ. κεφ. 90. « ἔλαθον τελευτήσαντες αὐτούς. » Ἰσοκρ. πρὸς Φίλιππ. σελ. 109. « λελήθαμεν ἡμᾶς αὐτοὺς τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζητοῦντες. » — ἐπισταμένους) συνάπτεται μετὰ τοῦ δεῖ. — θαυμάζει) ὥστε φείδεσθαι αὐτῶν. — ἀθανάτους εἶναι) καὶ ἀθανάτοις εἶναι.

§. 58. ἥττων) Βιγέρ. σελ. 64. σημ. 76. — εἰληχὼς) λαγχάνειν λέγεται περὶ θεῶν, οἱ ὁποῖοι ἔλαχον τί ἔργον (τιμήν). — ἐπιτρέψαντ. τῇ τύχῃ) τῇ μετ' αἰσχύνης ἴσως μελλούσῃ αὐτῶν ζωῇ. — καὶ γάρ τοι) τοῦτο ἀπαιτεῖ ἡ ἔννοια, καὶ ὄχι τὸ καίτοι γάρ. — ζηλωτ. αὐτῶν) τὸ μετὰ τὸ ζηλωτοὶ δέ, Αὐτῶν, λείπει ἐκ τῶν πλειοτέρων χειρογράφων, καὶ φαίνεται ὅτι, ἐπειδὴ προηγήθη ἅπαξ, εἶναι περιττόν, καὶ δικαίως ἠμπορεῖ νὰ λείψῃ.

τόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιςον. Καὶ γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ (αὐτῶν) ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. 59. Καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. 60. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον, ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ, θεραπεύοντας τὸν πάτριον νόμον, ὀλοφύρεσθαι τοὺς θαπτομένους.

---

§. 59. ἀγῶνες. . . σοφίας) ποιητῶν ἅμιλλαι. Πλάτ. Μενέξ. σελ. 249. Β'. » αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέ ποτε ἐκλείπει καθ' ἕκαςον ἐνιαυτόν. . . πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα, καὶ μουσικῆς πάσης. » — ὡς ἀξ. ὄντας) μετὰ τὸ Ὡς ἕπεται Μετοχὴ κατ' Αἰτιατικ. Ἰδ. ἀριθμ. Γ'. §. 15. — ταῖς αὐταῖς τ. καὶ) Ἰδ. Βιγέρ. σελ. 522. VIII.

§. 60. κρεῖττον εἶναι) Εὐριπ. Ἀλκ. 981. » τί μοι ζῆν δῆτα κύδιον; » τὸ κύδιον ἑρμηνεύει ὁ Σχολιαςὴς διὰ τοῦ κρεῖττον.



# ΚΔ'.

## Ἐκ τοῦ Παναθηναϊκοῦ λόγου τοῦ Ἰσοκράτους.

α') Ὁ Ῥήτωρ, ὅςτις ἐπεχειρίσθη νὰ ἐγκωμιάσῃ τὰς Ἀθήνας, παραβάλλει τὴν πόλιν ταύτην μὲ τὴν Λακεδαίμονα, καὶ ἀποδεικνύει, ὅτι εἶναι καθ' ὅλα ἀξία ὑπεροχῆς. Ἀποδεικνύει δὲ τοῦτο κατ' ἐξοχὴν ἐκ τῆς ἱςορίας τῶν Περσικῶν πολέμων, καὶ τῶν μετ' αὐτοὺς συμβάντων.

(Ἰσοκρ. Τόμ. Α'. σελ. 242. Ἐκδ. Κοραῆ)

(κεφ. 17.) 1. Χρόνῳ δ' ὕςερον γενομένου τοῦ Περσικοῦ πολέμου, καὶ Ξέρξου, τοῦ τότε βασιλεύοντος, τριήρεις μὲν συναγαγόντος διακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς ςρατιᾶς πεντακοσίας μυριάδας τῶν πάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ δὲ δυνάμει ςρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν ἄρχοντες

---

ΚΔ'.

§. 1. χρόνῳ ὕςερ.) ὁ Ῥήτωρ ὡμίλησε περὶ τῶν παλαιοτέρων ἐν τῇ Πελοποννήσῳ τυραννικῶν πολέμων τῶν Σπαρτιατῶν. — τριήρ. . . διακοσίας) 1200 πολεμικὰ πλοῖα, καὶ 3000 φορτηγὰ ἀριθμεῖ καὶ Ἡρόδοτ. Ζ'. 89. — πεντ. μυρ.) μεταξὺ τῶν διαφόρων ἐπαριθμήσεων τοῦ πλήθους τοῦ ςρατοῦ ἐκλέγει ὁ Ἰσ. ἐξεπίτηδες τὴν πλέον ἐκπλήττουσαν. — τῶν πάντων) εἰς τὸ πάντων συμπεριλαμβάνονται καὶ σκλάβοι, γυναῖκες, καὶ λοιποί. — ἑβδομ. μυρ.) Ἰδ. Αἰλιαν. Ποικίλ. ἱςορ. Π'. 3. — ἄρχοντες) καίπερ ἄρχοντ. — τὴν ναυμ.) τὴν ἐν Σαλαμῖνι δηλ. — ποιήσ. ῥοπὴν) ῥοπὴν ποιεῖν λέγεται περὶ τοῦ, ὅ,τι κάμνει τὴν πλάςιγγα νὰ κλίνῃ εἰς τὰ κάτω. Πολύβ. ς'. 52. » τοῦτο πλείςην παρέχεται ῥοπὴν εἰς τὸ νικᾶν. » — δέκα) ἑκκαίδεκα, κατὰ τὸν Ἡρόδ. Η'. 43. — ἀνάςατοι) Ἰδ. ἀριθμ. Δ'. §. 10. — 17. ΚΓ'. §. 27. — διὰ τὸ μὴ τετειχ.) Ἰδ. ΙΗ'. §. 4. —

Πελοποννησίων εἰς τὴν ναυμαχίαν, τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου, δέκα μόνον συνεβάλοντο τριήρεις· οἱ δὲ πατέρες ἡμῶν, ἀνάστατοι γενόμενοι, καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον, κρείττους ναῦς παρέσχον καὶ μείζω δύναμιν ἐχούσας, ἢ σύμπαντες οἱ κινδυνεύσαντες. 2. Καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τοὺς Ἕλληνας· οἱ δ' ἡμέτεροι Θεμιστοκλέα, τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ κατορθωθέντων. 3. Τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες τοῖς ἡμετέροις παρέδοσαν. Καί τοι τίνας ἄν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο καὶ πιστοτέρους τῶν τότε πραχθέντων, ἢ τοὺς ἐν αὐτοῖς τοῖς κινδύνοις παραγενομένους; τίνα δ' ἄν τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω, τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης.

(κεφ. 18.) 4. Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν· ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ὅλως μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν. 5. Οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν, ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. Οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν τοιαύτην, ἥν περ αὐτοὶ διετέλουν ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅτ' ἄν τινες παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις, ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν. Λακεδαιμόνιοι δὲ κατέστησαν, οὐθ' ὁμοίαν τῇ παρ' αὐτοῖς, οὔτε ταῖς ἄλλοθί που γενομέναις, ἀλλὰ δέκα μόνους ἄνδρας κυρίους ἑκάστης πόλεως ἐποίησαν· ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς, οὐδὲν ἂν

---

κρείττους) καλλιωτέρας· ἐπειδὴ δὲ ἐνταῦθα δὲν παραβάλλεται ἡ ἀρετή, ἀλλα τὸ πλῆθος τῶν πλοίων, ἠμπορεῖ τις νὰ ἀναγνώσῃ πλείους, καθὼς καὶ ἐν τῷ Πανηγυρικῷ. « ἡ πόλις ἡμῶν . . πλείους συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον. » Ὁ ἀριθμὸς τῶν πλοίων τῶν Ἀθηναίων εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν τίθεται συνήθως περὶ τὰ 200 (παρὰ δὲ Ἡροδ. Η'. 44. περὶ τὰ 180).

§. 2. Διαφορὰ μεταξὺ τοῦ Ἀθηναίου καὶ τοῦ Σπαρτιάτου στρατηγοῦ. Ἰδ. ἀριθμ. Λ'. §. 3. 4. Λϛ'. §. 14. — κατὰ τρόπον) ὀρθῶς. Ἰσοκρ. πρὸς Φίλιπ. « ἐγὼ γὰρ οἶμαι τούτων συναγωνιζομένων ἅπαντα γενήσεσθαι κατὰ τρόπον. »

§. 3. τεκμήριον δέ.) Ἰδ. ΚΓ'. §. 35. Γραμ. Βουτ. §. ΡΛϛ'. Γ'. ϛ'. σελ. 510. π. 474. ν. — οἱ συγκινδ.) αἱ λοιπαὶ Ἑλληνικαὶ πολιτεῖαι, αἱ ὁποῖαι μετέσχον τοῦ κατὰ τῶν Περσῶν πολέμου· — ἀφελόμ. Λακεδ. τὴν ἡγεμ.) τὸ ἀφαιρῶ συντάσσεται μετὰ δύω Αἰτιατικ. Ἰδ. Γραμ. Βουτ. §. ΡΗ'. δ'. — τοῖς ἡμετέροις) προγόνοις. Ἰδ. Β'. §. 15. ΙΒ'. §. 25. — Καί τοι τίνας) ἡ Σύνταξ. τίνας κριτὰς τῶν τότε πραχθέντων. . . . .

§. 4. τῆς ἀρχῆς) οἱ Ἀθηναῖοι εἶχον τὴν ἀρχὴν τῆς θαλάσσης μέχρι τῆς ἐν Αἰγὸς ποταμοῖς μάχης· ἔκτοτε δὲ ἔλαβον αὐτὴν οἱ Σπαρτιᾶται, καὶ διεφύλαξαν αὐτὴν μέχρι τῆς πλησίον τῆς Κνίδου μάχης. Ἰδ. ΚΓ'. §. 44. — οὐδετέραν) οὔτε Ἀθήνας, οὔτε Σπάρτην.

§. 5. οὐ μὴν ἀλλὰ καὶ) Γραμ. Βουτ. §. ΡΛϛ'. σελ. 497. π. 462. ν. — τὴν ἐπιμ.) τουτέστι τὴν κατὰ θάλασσαν ἀρχήν. — διετέλ. ἀγαπ.) Ἰδ. Β'. §. 18. — ὃ σημ.) τουτέστι τοῦτο δὲ σημ. — οὐθ' ὁμοίαν) οἱ Σπαρτιᾶται ἐβίαζον τὰς ὑποτεταγμένας πολιτείας νὰ δέχωνται ὀλιγαρχικὸν πολιτικὸν σύστημα, καὶ εἰς τὴν ἀπ' αὐτῶν ἐξάρτησιν ἀποβλέπον. — δέκα) Ἰδ. Ι'. §. 3. ΙΔ'. §. 16. ΚΓ'. §. 45. — κατηγορεῖν) Ἰδ. ΙΗ'. §. 10. ΚΖ'. §. 7. ΚΘ'. §. 11. Ἰσοκρ. πρὸς Φίλιπ. σελ. 160. « κατηγορῶν τῶν μὴ τὴν αὐτήν μοι γνώμην ἐχόντων » — οὐδὲν μέρος) ἀντὶ οὐδ' ὀλίγιστον μέρος. — ἐκείνοις) ὑπ' ἐκείνων. Ἰδ. Γραμ. Βουτ. §. ΡΚΑ'. δ'.

μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. 6. Καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν ἐστιν, ὀλίγα δὲ κατὰ πάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσουσι τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως ἂν ἐξεῦρον, νῦν δ' οὐδὲν ὑπέρχεταί μοι τοιοῦτο· ἀλλὰ παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὐτοὺς ἀπώλεσαν, καὶ τοὺς φίλους, καὶ τὰς πατρίδας τὰς ἑαυτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους, πρὸς τοὺς συμμάχους διαβάλλοντες, εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον, ὅσας οὐδεὶς πώποτε αὐτοῖς γενήσεσθαι προσεδόκησε.

(19.) 7. Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν, ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν· δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλ-

§. 6. διεξιέναι) ἀντὶ εἴ τις θέλοι διεξιέναι. — ἀνόητόν ἐστιν) ἀντὶ ἂν εἴη. — ὀργὴν ἀξίαν.) Ἰδ. ΙΖ'. §. 15. — νεώτερος) ὁ παρὼν λόγος ἐγράφη κατὰ τὴν ΡΘ'. Ὀλυμπ. ἔτος τρίτον ὀλίγους χρόνους πρὸ τοῦ θανάτου τοῦ Ἰσοκρ. ὅτε οὗτος ἦγε τὸ ἐννενηκοστὸν ἔτος τῆς ἡλικίας. — ἐκεῖνοι) οἱ τριάκοντα. — τῶν προγεγεν.) ἀντὶ τῶν πρότερον γεγενημένων ἀρχόντων. — διαβάλλ.) Ἰδ. ΙΑ'. §. 19. Ἰσοκρ. Συμμ. κεφ. 9. » ὁ πόλεμος ἡμᾶς πρὸς τοὺς Ἕλληνας διαβέβληκε. » — συμφοράς) ἐν ταῖς πρὸς τοὺς Θηβαίους πολέμοις, οἱ ὁποῖοι ἐν μέρει ἦσαν ἀποτέλεσμα τῆς κατὰ τῆς τυραννικῆς ὑπεροψίας τῆς Σπάρτης ἀγανακτήσεως.

§. 7. ἐντεῦθεν) ἐκ τῶν λεχθέντων. — δυνηθείη ἂν) ἀντὶ δυνήσεται. Ἰδ. Γραμ. Βουτ. §. ΡΚϛ'. ια'. — ἐπεμελήθ.) Ἰδ. §. 4. τὴν ἐπιμέλειαν ταύτην. — ἔτη δέκα) ἀπὸ ἁλώσεως τῶν Ἀθηνῶν (Ὀλυμπ. ϥδ', 1.) μέχρι τῆς πλησίον τῆς Κνίδου μάχης (Ὀλυμπ. ϥϛ'. α). — πέντε καὶ ἑξ.) ἑβδομήκοντα λογαριάζει ὁ Λυσίας. Ἰδ. ΚΓ'. §. 41. — αὐτῶν) τῶν πραγμάτων. — ἴσασι τὰς πόλ. ὅτι) ἀντὶ ὅτι αἱ πόλεις αἱ ὑφ' ἑτέροις γιγνόμεναι. — ὑφ' ὧν ἂν . . . τυγχ.) Ἰδ. §. 4.



λοντος. Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν ἀρχήν. Καί τοι πάντες ἴσασι τὰς πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσι, ὑφ' ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν. 8. Ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι κατέστησαν εἰς πόλεμον καὶ ταραχήν· ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἄν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν· Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι, κατὰ γῆν πρὸς Θηβαίους μόνους πολεμήσαντας, καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους καὶ συμφοραῖς αἷσπερ ἡμεῖς· καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν ἐλάττοσιν ἔτεσιν ἀναλαβοῦσαν αὑτὴν ἢ κατεπολεμήθη· Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτῶν ἕξιν, ἐξ ἧσπερ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.

§. 8. ἐκ τούτων) Οἱ μὲν Ἀθηναῖοι μετὰ τὰ 65 ἔτη ἐκεῖνα τῆς αὐτῶν ἡγεμονίας, οἱ δὲ Σπαρτιᾶται μετὰ τὰ 10. — εὕροι τις ἂν) ἀντὶ εὑρήσει. Ἰδ. §. 7. — ἁπάντων. . . ἐπιθ.) ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου, πρὸς τοῦ ὁποίου τοὺς τελευταίους χρόνους ἐπολέμουν καὶ οἱ Πέρσαι κατὰ τῶν Ἀθηνῶν. — ἔτη δέκα) ὁ Ἰσοκρ. φαίνεται ὅτι ἐννοεῖ μὲ τοῦτο τὴν τελευταίαν περίοδον τοῦ Πελοπον. πολέμου, ἡ ὁποία διήρκεσε μετὰ τὴν λύσιν τῶν πεντηκονταετῶν σπονδῶν ἀπὸ Ὀλυμπ. ϥ', 3. ἕως Ὀλυμπ. ϥγ', 3. — μίαν μάχην) τὴν ἐν Λεύκτροις. — ἀτυχ. χρησ.) Ἰσοκρ. πρὸς Φίλιπ. σελ. 135. » τοὺς πρὸ αὐτοῦ ταύτῃ τῇ συμφορᾷ κεχρημένους. » — ἐλάττ. ἢ κατ.) ἐν ἐλάττοσιν ἔτεσιν ἢ δέκα ἀπὸ τῆς καθαιρέσεως τῆς τυραννίας (Ὀλυμπ. ϥδ', α.) μέχρι τῆς πλησίον τῆς Κνίδου μάχης. Ὀλυμπ. ϥϛ', α. — ἔτι καὶ νῦν) μετὰ 30 σχεδὸν ἔτη, ἀπὸ τῆς ἐν Λεύκτροις μάχης Ὀλυμπ. ΡΒ'. α. ἕως Ὀλυμπ. ΡΘ', α. ὅτε συνεγράφη ὁ λόγος οὗτος.

(20.) 9. Τὰ τοίνυν πρὸς τοὺς Βαρβάρους, ὡς ἑκάτεροι προςηνέχθημεν, δηλωτέον. Ἔτι γὰρ τοῦτο λοιπόν ἐςιν. Ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναςείας οὐκ ἐξῆν αὐτοῖς οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τἄνδον πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς Λακεδαιμονίων, οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν, ὅπου βουληθεῖεν, ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέςησαν. (κεφ. 21.) 10. Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας καὶ μεγαλοφρονεςέρας ποιησαμένην, καὶ τῶν πλείςων καὶ μεγίςων τοῖς μὲν Βαρβάροις κακῶν, τοῖς δ' Ἕλλησιν ἀγαθῶν, αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς μὲν Ἀσίας τὴν παραλίαν, καὶ πολλὴν ἄλλην χώραν τοῖς μὲν πολεμίοις ἀφελομένην, τοῖς δὲ συμμάχοις κτησαμένην, καὶ τοὺς μὲν ὑβρίζοντας,

§. 9. τὰ πρὸς τοὺς βαρ.) εἰς τὰς πρὸς τοὺς Πέρσας σχέσεις. — οὐκ ἐξῆν) κατὰ τὴν ἐν Ὀλυμπ. ΠΒ', 4. γενομένην εἰρήνην. Ἰδ. ἀριθμ. Ε'. §. 28. ΚΓ'. 41. Ἰσοκρ. Ἀρεοπ. κεφ. 37. » Οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥςτε οὔτε μακροῖς πλοίοις ἔγγιςα Φασήλιδος ἔπλεον, οὔτε ςρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ κατέβαινον. » Ὁ ἐντὸς Ἅλυος τόπος περιλαμβάνει ὅλην τὴν ἐλάσσονα Ἀσίαν μέχρι τῶν δυτικῶν συνόρων τῆς Καππαδοκίας. — δεσπόται) κατὰ τὴν εἰρήνην τοῦ Ἀνταλκίδου Ὀλυμπ. ϞΗ'. 2. καθ' ἣν αἱ ἐν τῇ ἐλάσσονι Ἀσίᾳ Ἑλληνικαὶ πόλεις ὑπετάχθησαν εἰς τοὺς Πέρσας.

§. 10. Συναθροισμὸς ὅλων τῶν λόγων τῆς ὑπεροχῆς τῶν Ἀθηνῶν. Η Σύνταξ. πῶς οὐ δίκαιόν ἐςιν ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον τὴν τὰς συνθήκας, κτλ. — τοῖς μὲν βαρβ.) Ἰδ. §. 1. α. — ἔτι δὲ τῆς Ἀσ.) Ἰδ. §. 9. — ὑβρίζοντας) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΑ'. β'. ζ'. — τοῖς συμμάχοις) ταῖς ὑπὸ τῶν Περσῶν καταδυναςευομέναις Ἑλληνικαῖς πολιτείαις: — πρὸς δὲ τούτοις) Ἰδ. §. 7. — τὰ τοιαῦτα) τὸ πολεμεῖν καὶ μάχεσθαι· ἐπειδὴ ὅλον τὸ σύςημα τῶν Σπαρτιατῶν εἰς πόλεμον ἀπέβλεπε: — τῶν αὐτῶν τούτων) τῶν Λακεδαιμονίων. — ἅμα καὶ) καθὼς ἐν τοῖς κατὰ Περσῶν πολέμοις Ἰδ. §. 12.



τοὺς δ' ἀποροῦντας παύσασαν· πρὸς δὲ τούτοις ὑπὲρ αὐτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα, καὶ τὰς συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων· πῶς οὐ δίκαιόν ἐςιν ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον, ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην; Περὶ μὲν οὖν τῶν πραχθέντων παράλληλα, καὶ τῶν κινδύνων ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων, ἐν τῷ παρόντι ταῦτ' εἴχομεν εἰπεῖν.

## β') Ο Ῥήτωρ παραβάλλει τὸ φέρσιμον τῶν Ἀθηνῶν καὶ τῆς Σπάρτης ὡς πρὸς τὰς σχέσεις αὐτῶν μετὰ τῆς Περσίας.

(Ἰσοκρ. Παναθην. Τ. Α'. σελ. 225. Ἐκδ. Κοραῆ.)

(κεφ. 39.) 11. Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καθ' αὐτοὺς ἔπραξαν, τίς οὐκ οἶδεν, ὅτι, κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς Βαρβάρους καὶ τοὺς βασιλέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι, καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτοντες, καὶ τῆς χώρας ἡμῖν θαμινὰ πορθουμένης, οὐδεπώποτε ἀπεβλέψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν· ἀλλ' ὑπὲρ ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν, μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον, ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας. 12.

§. 11. Αἱ Ἀθῆναι δὲν ἐπρόςτρεξαν ποτὲ εἰς καιρὸν ςενοχωρίας πρὸς τὸν κοινὸν ὅλων τῶν Ἑλλήνων ἐχθρὸν, ἡ Σπάρτη ὅμως πολλάκις. — ἔπραξαν) οἱ Λακεδαιμόνιοι. — συμφορ. περιπίπτ.) Ἰδ. ς'. §. 15. „ Ἀλκιβιάδου τραύματι περιπεσόντος. » — ὑπὲρ ὧν) ἀντὶ ὑπὲρ τῶν ἐπιβουλῶν ἃς ἐπεβούλευσαν τοῖς Ἕλλησιν. — διετέλεσ.) Ἰδ. §. 5.

§. 12. Η Σπάρτη συνεμάχησε μὲ τὴν Περσίαν χωρὶς ἀνάγκης, ἀλλὰ μόνον ἀπὸ ἐπιθυμίας τοῦ ἄρχειν. — οὔτε μέλλοντας) πάσχειν τι' εἰς τοὺς τελευταίους χρόνους τοῦ Πελοποννησιακοῦ πολέμου, διὰ

Λακεδαιμόνιοι δὲ, οὔτε πάσχοντες κακὸν οὐδὲν, οὔτε μέλλοντες, οὔτε δεδιότες, εἰς τοῦτο ἀπληςίας ἦλθον, ὥςτ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥςτε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς ἡμετέρους ἀφίςασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι, καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες ἅπαντα τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας· πίςεις δὲ δόντες τούτων ἀμφότεροι, καὶ καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὡμολόγησαν κατεδουλώσαντο μᾶλλον ἢ τοὺς Εἵλωτας· βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν, ὥςτ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον, ὄντα νεώτερον, ἀμφισβητεῖν τῆς βασιλείας, καὶ ςρατόπεδον αὐτῷ συναγαγόντες, καὶ Κλέαρχον ςρατηγὸν ἐπιςήσαντες, ἀνέπεμψαν ἐπ' ἐκεῖνον. 13. Ἀτυχήσαντες δ' ἐν τούτοις, καὶ γνωσθέντες ὧν ἐπεθύμουν,

τοῦ ὁποίου ἡ Σπάρτη ἔγινε κυρία τῶν Ἀθηνῶν καὶ τῆς θαλάσσης. — ἀφίςασαν) ἀπεςάτουν αὐτοὺς ἀφ' ἡμῶν. Τὰ συμβάντα συνάπτονται ἐνταῦθα ὄχι χρονολογικῶς, ἀλλὰ κατὰ τὸν ῥητορικὸν σκοπὸν, νὰ διεγείρῃ ἀγανάκτησιν κατὰ τῆς Σπάρτης. Οὕτω συνάπτει αὐτὰ καὶ ἐν τῷ Πανηγ. κεφ. 34. » ὧν ἄξιον ἐνθυμηθέντας . . . πολεμοῦντες.» — παραδώσειν) καθὼς συνέβη ἐπὶ τῆς εἰρήνης τοῦ Ἀνταλκίδου. Ἰδ. §. ιθ. Πανηγ. κεφ. 34. » τῆς μὲν Ἀσίας πόλεως τοὺς Ἴωνας ἀπέςησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδωκαν.» — ἀμφότεροι) ἡ εἰκασία τοῦ Μαρκλ. [illegible] δηλ. τὸ ἀμφότεροι πρέπει νὰ γραφθῇ ἀμφοτέροις, τοῖς συμμάχοις καὶ τῷ βασιλεῖ δηλ. — Κῦρον) Κῦρος ὁ νεώτερος μεταχειρισθεὶς ἐν τῷ πολέμῳ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀρταξέρξου τοῦ Μνήμονος Σπαρτιάτην τινὰ φυγάδα (τὸν Κλέαρχον) εἰς ςρατολογίαν ςρατεύματος Ἑλληνικοῦ, τὸ ὁποῖον μετὰ τὸν θάνατον τοῦ Κύρου ἡνώθη μὲ τὸ ςράτευμα τοῦ Ἀγησιλάου. Τὰ περιςατικὰ ταῦτα ἔδωκαν ἀφορμὴν νὰ ὑποπτεύωνται τὴν Σπάρτην ὡς ἄπιςον.

§. 13. γνωσθέντες) κατ' ἐναλλαγὴν τοῦ ἐπιθέτου εἰς τὸ οὐσιαςικὸν, ἀντὶ γνωσθέντων ὧν ἐπεθύμουν, τὸ ὁποῖον δὲν ἤθελεν εἶναι προσφυὲς εἰς τὴν συνάφειαν ταύτην μετ' ἄλλων Ὀνομαςικῶν. Ἀριςοφ.



καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πόλεμον καὶ ταραχὰς τοσαύτας κατέςησαν, ὅσον εἰκὸς τοὺς περὶ τοὺς Ἕλληνας καὶ τοὺς Βαρβάρους ἐξημαρτηκότας. Περὶ ὧν οὐκ οἶδ' ὅ,τι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν ὅτι, καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως, καὶ τῆς Κόνωνος ςρατηγίας, τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην, ἧς οὐδεὶς ἂν ἐπιδείξειεν οὔτε αἰσχίω ποτὲ γενομένην, οὔτ' ἐπονειδιςοτέραν, οὔτ' ὀλιγωροτέραν τῶν Ἑλλήνων, οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων· οἵτινες, ὅτε μὲν ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων κατέςησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν· ἐπεὶ δὲ καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ παρέδωκαν, ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες, χρῆσθαι τοῦθ' ὅ,τι ἂν αὐτὸς βούληται. 14. Καὶ οὐκ ᾐσχύνθησαν τοιαύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο, καὶ τῶν Ἑλλήνων κύριοι κατέςησαν, καὶ τὴν Ἀσίαν ἅπασαν ἤλπισαν κατασχεῖν· ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοί τ' ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν, καὶ τοὺς συμμάχους ἠνάγκασαν.

Νεφ. 916. » καὶ γνωσθήσῃ ποτ' Ἀθηναίοις οἷα διδάσκεις τοὺς ἀνοήτους.» — οὐκ οἶδ' ὅ,τι) τουτέςι διὰ τί. — πλείω λέγ. διατρ.) ἐμφατικώτερον παρὰ τὸ πλείω λέγειν. Ἰσοκρ. Εὐαγ. σελ. 288. » καὶ τοὺς μὲν θορύβους τί δεῖ λέγοντα διατρίβειν.» Ἀρχιδ. σελ. 180. » τοὺς μὲν οὖν κινδύνους . . . τί δεῖ λέγοντα διατρίβειν;» — καταναυμ.) πλησίον τῆς Κνίδου. Ἰδ. Κορνήλ. Νέπ. ἐν Κόν. 4. — τὴν εἰρήνην) τοῦ Ἀνταλκίδου. Ἰδ. §. ιθ' — ἀφελέσθαι) διὰ τοῦ ἐπιχειρήματος τοῦ Κύρου. — χρῆσθαι ὅ,τι) Ἰδ. ἀριθμ. ΙΖ'. §. 24 Ἰδ. περὶ τῆς Συντάξ. Γραμ. Βουτ. §. ΡΙΗ'. ς'. Εὐαγόρ. σελ 306 » ἀπορούντων ὅ,τι χρήσονται.» Ἑλ. Εγκ. σελ. 346. » ἀπορῶ δ' ὅ,τι χρήσωμαι τοῖς ἐπιλοίποις.»

§. 14. οἷς χρώμ. συμ.) ἀντὶ ὧν συμμαχίᾳ χρώμενοι. — ἱεροῖς) συνθῆκαι, συμφωνίαι καὶ νόμοι ἐγράφοντο ἐπὶ χαλκίνων πινάκων καὶ ἐφυλάττοντο ἐν τοῖς ναοῖς. — ἠνάγκ.) ἀναγράψαι αὐτάς.

## ΚΕ΄.

### Επιῤῥοὴ τοῦ Αρείου Πάγου εἰς τὰ ἀρχαῖα ἤθη, καὶ εἰς ὅλην τὴν κατάστασιν τῆς πολιτείας.

(Ισοκρ. Αρειοπαγ.)

Ο Ρήτωρ δεικνύει ὅτι ἡ ἀρχαία κατάστασις τῆς Δημοκρατίας τῶν Αθηναίων εἶναι προτιμοτέρα τῆς νέας κατὰ πολλὰ, καὶ ζητεῖ τὸν λόγον τούτου εἰς τὰ ὀρθότερα ἤθη τοῦ παλαιοῦ καιροῦ. Διεφυλάχθησαν δὲ τὰ ἤθη ταῦτα διὰ τῆς ἐπιστασίας καὶ ἐπιῤῥοῆς τοῦ σοφοῦ καὶ σεβασμίου Αρείου Πάγου.

(κεφ. 14.) 1. Εκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον, ἐπεὶ δὲ εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ, τι βουληθεῖεν· ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον, ἢ παῖδες ὄντες. Οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥς τε τὴν ἐξ Αρείου Πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας· ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν πλὴν τοῖς καλῶς γεγονόσι, καὶ

§. 1. ἐκεῖνοι) οἱ Αθηναῖοι τῶν ἀρχαιοτέρων χρόνων. — οὐκ) ὥσπερ οἱ νῦν. — ἐπιστατ.) παιδαγωγοὺς καὶ διδασκάλους. — εἰς ἄνδρ. δοκιμασθ.) ὡς τὸ, εἰς ἄνδρας τελεῖν, γράφεσθαι. τὸ δὲ δοκιμάζεσθαι ἔστιν ἐν χρήσει καὶ περὶ νέων, οἱ ὁποῖοι ὡς ἱκανῶς ἀκμαῖοι ἐλευθερεῦνται ἀπὸ τῆς ἐφορείας τῶν παιδαγωγῶν. — δοκιμασθεῖεν) Ιδ. περὶ τῆς Εὐκτικῆς ἀριθμ. Ε΄. §. 16. ΙΑ΄. §. 1. ΙΗ΄. §. 9. — ταῖς ἀκμαῖς τῆς νεότητος. — τοῖς καλ. γεγον.) τοῖς ἐξ εὐγενῶν καὶ γνησίων Αθηναίων καταγομένοις.



πολλὴν ἀρετὴν καὶ σωφροσύνην ἐν τῷ βίῳ ἐνδεδειγμένοις· ὥς τε πάντων αὐτὴν εἰκότως διενεγκεῖν τῶν ἐν τοῖς Ελλησι συνεδρίων.

(15.) 2. Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων, ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Αρειον Πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι, καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις, ἢ ταῖς αὑτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐναπειργάσαντο, καὶ τοσοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς ἑαυτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

(κεφ. 16.) 3. Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας· οἳ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς

§. 2. σημείοις.....γάρ.) Ιδ. ΚΔ΄. §. 3. Η Σύνταξ. χρήσαιτό τις ἂν τοῖς ἐν τῷ παρόντι γιγν. ὡς σημείοις περὶ τῶν τότε καθ. — τῶν περὶ) Περιγραφὴ τοῦ Αρείου Πάγου, τοῦ ὁποίου τὰ μέλη ἔπρεπε νὰ ὑπόκεινται εἰς δοκιμασίαν. Η ἔκφρασις, καθημένων περὶ τὴν αἵρεσιν, φανερόνει κυρίως ἴσως τούς, ὅσοι συνάζονται καὶ κάθονται κάτω, διὰ νὰ ἐπιχειρισθῶσιν ἐκλογήν τινα καὶ δοκιμασίαν· καὶ ὅμως ὁ Ισοκρ. φαίνεται ὅτι ὁμιλεῖ περὶ τῶν ὅσοι ἤδη καὶ ἐδοκιμάσθησαν καὶ ἐκλέχθησαν. — ἴδοιμεν ἂν) ἔστιν ἰδεῖν. — οὐκ ἀνεκτούς) μέμψεως ἀξίους. — ἀναβῶσι) αἱ συνελεύσεις τοῦ Αρείου Πάγου συνεκροτοῦντο ἐπί τινος τῷ Αρῃ καθιερωμένου λόφου ἐν τῷ μέσῳ τῆς πόλεως. — ἐκεῖνοι) οἱ παλαιοί. — τοσοῦτον μνημ.) τοσοῦτον (οὕτω δεινὸν) μνημεῖον τῆς ἑαυτ. ἀρετ. καὶ σωφρ. ἐν τούτῳ τῷ τόπῳ, ἐν τῷ τοῦ Αρεος πάγῳ, ἐγκατέλιπον.

§. 3. Τὰ ἤθη προτιμῶνται τοῦ φόβου τῶν νόμων. — τοιαύτην) βουλήν. — οἳ τοὺς μέν) ἡ Σύνταξ. ἐνόμιζον γὰρ ἀγνοεῖν τοὺς οἰομ. γίγν. ἄνδρ. βελτ. ἐνταῦθα, παρ' οἷς.. — κείμενοι τυγχ.) τὸ ἑπόμενον ἀντὶ τοῦ προηγουμένου, γεγραμμένοι εἰσίν. — ἀγνοεῖν) οὐδὲν νοεῖν. — ἀλλὰ γάρ) ἀντί, ἀλλ' οὐκ ἔστι τοῦτο, οὐ γάρ....

οἱ νόμοι μετὰ πλείςης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζον· οὐδὲν γὰρ κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας, ἕνεκά γε τοῦ ῥάδιον εἶναι τὰ γράμματα λαβεῖν παρ᾽ ἀλλήλων. Ἀλλὰ γὰρ οὐκ ἐκ τῶν τοιούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ᾽ ἐκ τῶν καθ᾽ ἑκάςην ἡμέραν ἐπιτηδευμάτων. 4. Τοὺς γὰρ πολλοὺς τοῖς ἤθεσιν ἀποβαίνειν ὁμοίους ἀνάγκη, ἐν οἷς ἂν ἕκαςοι παιδευθῶσιν· ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν αὐτήν· ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. 5. Δεῖν δὲ τοὺς εὖ πολιτευομένους οὐ τὰς ςοὰς ἐμπιπλάναι γραμμάτων, ἀλλ᾽ ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. Οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις. Καὶ τοὺς τοὺς μὲν κακῶς τεθραμμένους καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους τολμήσειν παραβαίνειν· τοὺς δ᾽ ἀσφαλῶς πεπαιδευμένους

§. 4. τοὺς γὰρ) ἐξαρτᾶται ἀπὸ τοῦ, ἐνόμιζον. — παιδευθῶσιν) ἰδ. περὶ τῆς Ὑποτακτικῆς ΚΑ'. §. 7. — ἐμφράγματα) ἑρμ. Οἱ νόμοι μόνον τὰ ἀποτελέσματα τῶν ἑκάςοτε γινομένων κακῶν πράξεων ἠμποροῦσι νὰ ἐμποδίσωσιν, ἡ δὲ πολιτεία πρέπει καὶ τὰς πηγὰς αὐτὰς τῶν ἁμαρτημάτων νὰ ἐμφράξῃ.

§. 5. δεῖν δὲ) ἀναφέρεται εἰς τὸ, οἱ τοὺς μέν. §. 3. — τὰς ςοὰς) ἰδ. ΚΑ'. 14. — ἀσφαλῶς) ὀρθῶς. Εὐριπ. Ἡρακλ. 1004 » τρόπος ἐςὶ χρηςὸς ἀσφαλέςερος νόμου. » — τοῖς καλῶς κειμ.) τοὺς καλοὺς νόμους σέβονται μόνον οἱ καλῶς φρονοῦντες. Ἴσως ἔγραψεν ὁ Ἰσοκρ. τοῖς μὴ καλῶς κειμένοις, ὅτε καὶ ὁ Καὶ λαμβάνει ἐντελῶς τὴν ἑαυτοῦ δύναμιν. Κατὰ τὴν ἔννοιαν ταύτην παραγγέλλει καὶ Ζάλευκος παρὰ Στοβαίῳ (Ἀνθολ. ΜΒ'. σελ. 280). » τῶν κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατιθέναι χρὴ ἐπὶ τὸ βέλτιον· μενόντων δὲ πάντας πειθαρχεῖν. »



καὶ τοῖς καλῶς κειμένοις θελήσειν ἐμμένειν. 6. Ταῦτα δὲ διανοηθέντες οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι᾽ ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ᾽ ἐξ ὧν ἂν κατασκευάσουσι, μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἁμαρτάνειν· Ἡγοῦντο γὰρ τοῦτο μὲν αὐτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν, τοῖς ἐχθροῖς προςήκειν.

(17.) 7. Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιςα δὲ τῶν νεωτέρων. Ἑώρων γὰρ τοὺς τηλικούτους ταραχωδέςατα διακειμένους, καὶ πλείςων γέμοντας ἐπιθυμιῶν· καὶ τὰς ψυχὰς αὐτῶν παιδευθῆναι μάλιςα δεομένας ἐν ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ πόνοις ἡδονὰς ἔχουσιν· μόνοις γὰρ ἂν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους καὶ μεγαλοφρονεῖν εἰθισμένους. 8. Ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόν τ᾽ ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον ἔχοντας. Ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάςοις προςέταττον. Τοὺς μὲν γὰρ ὑποδεέςερον πράττοντας ἐπὶ τὰς γεωργίας καὶ ἐμπορίας ἔτρεπον· εἰδότες, τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων, τῶν μετ᾽ ἐκείνων γιγνομέ-

§. 6. ἐξ ὧν ἂν) ὁ Ἂν φέρεται ἐνίοτε πρὸς Μέλλοντα Ὁριςικ. ἐκφράζων τὸ ἀβέβαιον τῆς σκοπουμένης ἐκβάσεως. — τοῦτο) τὸ κωλύειν τὰ ἁμαρτήματα. — περὶ τὰς τιμωρίας) τὰς κολάσεις.

§. 7. Ἐξακολούθησις τοῦ §. 3. περὶ τῆς ἐπὶ τῶν νέων ἐφορείας. — πόνοις ἡδονὰς ἔχουσ.) καθὼς ἡ παλαίςρα, ἡ γεωργική, ὧν ἐναντίαι αἱ βάναυσοι τέχναι. — ἐμμένειν ἂν) Βιγέρ. σελ. 785. 286.

§. 8. ἀνωμάλως.... ἔχοντ.) Βιγέρ σελ. 7. Σημ. — ὡς .... ἥρμοττεν) τουτέςιν, ἁρμοζόντως τῇ αὐτῶν οὐσίᾳ. — ὡς .... οὕτως) Βιγέρ. σελ. 438. XI. — τῶν κακῶν) τῆς πονηρίας — ἀπαλλ.) τοὺς ἀνθρώπους δηλ.

νων. 9. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους, περίτε ἱππικὴν καὶ τὰ γυμνάσια, καὶ τὰ κυνηγέσια, καὶ τὴν φιλοσοφίαν, ἠνάγκασαν διατρίβειν· ὁρῶντες, ἐκ τούτων, τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλείςων κακῶν ἀπισχομένους.

(18.) 10. Καὶ ταῦτα νομοθετήσαντες οὐ τὸν λοιπὸν χρόνον ὠλιγώρουν· ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάςου, καὶ τοὺς ἀκοσμοῦντας εἰς τὴν βουλὴν ἦγον. Η δὲ, τοὺς μὲν ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν. 11. Ηπίςαντο γὰρ, ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες, οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηριῶν. Παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ, μήτε ζημία τῶν τοιούτων καθέςηκε, μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαβεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐςι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυ-

§. 9. φιλοσοφίαν) φιλοσοφία παρ' Ισοκράτει περιλαμβάνει ὅλας τὰς σοφὰς καὶ τὸ πνεῦμα παιδευούσας γνώσεις. Τοιαῦτα ἐπιτηδεύματα εὐγενοῦς νέου περιγράφει ἐν περιλήψει καὶ Τερέντιος. Andria I. 1. 28.„ Quod plerique omnes faciunt adolescentuli, Ut animum ad aliquod studium adjungant, aut equos Alere, aut canes ad venandum, aut ad philosophos." — ἐκ τούτων) τῶν ἐπιτηδευμάτων δηλ. — διαφέροντας) τῶν ἄλλων δηλ.

§. 10. Εξακολούθησις τῆς τῶν ἠθῶν ἐφορείας ἐν τῇ ἀνδρικῇ ἡλικίᾳ. — κώμας) κῶμαι, αἱ τῆς πόλεως (μαχαλάδες), δῆμοι, αἱ τῆς χώρας διαιρέσεις. — ἐθεώρουν) ἐσκόπουν.

§. 11. δύο τρόποι) αἰτίαι. — ἐπιεικεῖς τῶν φύσ.) κατ' ἐξοχὴν τὰς ἐν τοῖς ὁρίοις τῆς εὐταξίας καὶ μετριότητος μενούσας. — φανεροῖς γεν.) ἀντὶ, φανερῶν γενομένων τῶν ἀδικημάτων· διότι ἀποδίδεται εἰς τὸ πρόσωπον, ὅ, τι ἀνήκει εἰς τὸ πρᾶγμα. Ιδ. Π'. §. 7. — ἐξιτήλους γίγν.) τουτέστιν, ἀφανίζεσθαι. ἐξίτηλος λέγεται περὶ τῶν νόθων, εὐκόλως ἀφανιζομένων χρωμάτων. Ισοκρ. πρὸς Φίλιπ. σελ. 135. „ὥςτε μήποτε τὸν ἐξιτήλους εἶναι τὰς συμφοράς."



χεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας. 12. Απερ ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις, καὶ ταῖς ἐπιμελείαις. Τοσούτου γὰρ ἐδέοντο αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥςτε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαι προῃσθάνοντο. Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφίοις οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν· ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ὁμιλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας. 13. Οὕτω δ' ἔφευγον τὴν ἀγορὰν, ὥςτε, εἰ καίποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. Αντειπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοιδορήσασθαι, δεινότερον ἐνόμιζον εἶναι, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν. Εν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε· σεμνύνεσθαι δ' ἐμελέτων, καὶ οὐ βωμολοχεύεσθαι· καὶ τοὺς εὐτραπέλους δὲ, καὶ σκώ-

§. 12. ἐδέοντο) Ιδ. Γραμ. Βουτ. §. ΡΛς'. σελ 499. π. 463. ν. — ἐπιδόξους) Ιδ. Βιγέρ. σελ. 87. Χ. Ισοκρ. Αρχίδ. σελ. 176.„ αὐτὸς ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης." — ἐν ταῖς αὐλητρ.) ἀντὶ, ἐν τοῖς τῶν αὐλητρίδων οἴκοις. — τοὺς ἐν τούτοις) ἡ Αἰτιατικὴ ἀποδίδεται εἰς τὸ, θαυμάζοντες, ἂν καὶ κεῖται, ἐν τῷ μεταξὺ, ὁμιλοῦντες, τὸ ὁποῖον ἀπαιτεῖ Δοτικήν.

§. 13. ἐπιεικὴς) Ιδ. §. 11. — εὐτραπέλους) εὐτράπελος, κατὰ τὸν τρόπον τῶν ἀςυκῶν ἐπιτήδειος, ἐλαφρὸς, ἀγχίνους· φανερόνει δὲ ἐν ταὐτῷ καὶ τὸν βωμολόχον. — σκώπτ. δυναμ.) τουτέςιν, ἐπιςαμένους. — εὐφυεῖς) εὐφυὴς, ὁ ἐκ φύσεως καλῶς αὐξάνων, ὁ μετὰ φυσικῶν ἀρετῶν ἐςολισμένος· τελευταῖον, εἰς ςενωτέραν ἔννοιαν, ὁ ξύνους, ἀγχίνους, καὶ τὰ τούτοις συγγενῆ, σκώπτης. — δυςυχεῖς) τὸ δυςυχὴς πρέπει κατὰ τὴν ἀντίθεσιν νὰ φανερόνῃ ἄνθρωπον μὲ δυςυχεῖς ἀρετὰς προικισμένον· ἠλίθιον, μωρόν. Οτω καὶ τὸ ἀτυχὴς παρὰ Δημοσθένει Ολυνθ. Γ'. σελ 34. 13. ἐκδ. Ρεϊσκίου.

πτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.

(19.) 14. Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων· σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι᾽ ἣν ἔξεστιν αὐτοῖς ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστε οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴημεν· ἀλλὰ πολὺ ἂν δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν. 15. Ἐκεῖνοι γὰρ ἦσαν οἱ τὴν ἀρχὴν προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας, καὶ καταλύσαντες τὴν τῆς βουλῆς δύναμιν (§. 20.)· ἧς ἐπιστατούσης, οὐ δικῶν, οὐδὲ ἐγκλημάτων, οὐδὲ εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων ἡ πόλις ἔγεμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς, τοῖς μὲν Ἕλλησι πιστοὺς, τοῖς δὲ Βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες, ὥστ᾽ ἀγαπᾶν ἐκείνους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. 16. Τοιγάρτοι

§. 14. Αἰτίαι τῆς πτώσεως τῶν ἠθῶν — διακεῖσθαι) μετὰ Επιῤῥ. ὡς τὸ, ἔχειν. — σύνοιδα....χαίρουσι) Ιδ. Γραμ. Βυτ. §. ΡΛΑ΄. ς΄. α. Ισοκρ. Αρχιδ. σελ. 68. » συνειδότες τοῖς Αθηναίοις ἐκλιποῦσι τὴν χώραν.» — πολὺ ἂν) τὸ, πολὺ ἂν, φανερόνει, ὅτι ῥῆμα τοῦ προηγουμένου λόγου πρέπει νὰ ἐπαναληφθῇ πάλιν.

§. 15. τὴν ἀρχὴν) Βιγέρ. σελ. 80. VIII. — προτρέψαντες) ἑαυτοὺς καὶ τοὺς ἄλλους. Ο Ισοκρ. αἰνίττεται τὸν Περικλέα, ὅστις πρῶτον ἐταπείνωσε τὴν ἀξίαν τοῦ Αρείου πάγου. Πλούταρχ. εἰς Περικλ. κεφ. 9. — τῆς βουλῆς) τῆς τοῦ Αρείου Πάγου. — παρὰ δὲ τῶν) τούτων. — ἀγαπᾶν εἰ) Βιγέρ. σελ. 221. II.

§. 16. ἐπισκευάς) ἐπισκευὰς ὀνομάζει ἐνταῦθα ἀναμφιβόλως τὰ ἔπιπλα, τὰ εἰς στολισμὸν τοῦ οἴκου ἀνήκοντα· ὅθεν ἐπισκευάζειν σημαίνει προμηθεύειν μὲ τὰ ἀναγκαῖα, καὶ στολίζειν. — ἐπὶ τῶν ἀγρῶν) ἐπεὶ αὗται ἦσαν περισσότερον ὑποκείμεναι εἰς κίνδυνον εἰς καιρὸν



διὰ ταῦτα μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις καὶ τὰς ἐπισκευὰς, τὰς ἐπὶ τῶν ἀγρῶν, ἢ τὰς ἐντὸς τείχους· καὶ πολλοὺς τῶν πολιτῶν μηδὲ εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλὰ αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον ἢ τῶν κοινῶν ἀπολαύειν· οὐδὲ γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ᾽ ἄντις ἦλθεν, ἀσελγῶς, οὐδ᾽ ὑπερηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. 17. Οὐ γὰρ ἐκ τῶν πομπῶν, οὐδὲ ἐκ τῶν περὶ τὰς χορηγίας φιλονεικιῶν, οὐδ᾽ ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ᾽ ἐκ τοῦ σωφρόνως οἰκεῖν, καὶ τοῦ βίου τοῦ καθ᾽ ἡμέραν, καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων· ἐξ ὧνπερ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας, καὶ μὴ φορτικῶς πολιτευομένους. 18. Ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγήσειεν; ὅταν ἴδῃ τινὰς τῶν πολιτῶν, αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων εἴθ᾽ ἕξουσιν, εἴτε μὴ, πρὸ τῶν δικαστηρίων κληρουμένους, τῶν δ᾽ Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲν ἐν χρυσοῖς ἱματίοις, χειμάζοντας δ᾽ ἐν τούτοις, ἐν οἷς οὐ βούλομαι λέγειν· καὶ

προσβολῆς ἐχθρῶν. — οὐδὲ γὰρ) προσέτι καὶ εἰς τὰς δημοσίας ἑορτὰς δὲν εἶχεν εἰσαχθῇ ἀκόμη ἡ τρυφὴ, ἡ ὁποία ἐδύνατο νὰ ἐμπνεύσῃ σφοδρὰν πρὸς ταῦτα ἐπιθυμίαν. — ἕνεκ᾽ ἂν) προσετέθη ὁ Αν μετὰ τὸν Ἕνεκα ἐκ τοῦ Αὐγήρου, διὰ νὰ δώσῃ εἰς τὸν λόγον τὴν ἔκφρασιν τοῦ δυνατοῦ, τὴν ὁποίαν ἀπαιτεῖ ἡ συνέχεια.

§. 17. χορηγίας) τὰς ἐπὶ τῶν ἑορτῶν φιλονεικίας, καὶ μάλιστα εἰς τὰ θέατρα, διὰ Χορῶν, τοὺς ὁποίους ἐκόσμουν πολῖται πλούσιοι, οἵτινες ὠνομάζοντο διὰ τοῦτο χορηγοί. — ὡς ἀληθῶς) Ιδ. Βιγέρ. σελ. 503. IX. — φορτικῶς πολιτ.) περὶ τῶν, οἵτινες διὰ τῆς ἀλαζονικῆς χρήσεως τοῦ πλούτου ἀπαρέσκουσιν εἰς τοὺς πολίτας.

§. 18. ἐπεὶ νῦν γε) Ισοκρ. πρὸς Φίλιππ. σελ. 159. » ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ συμβεβηκότα θαυμάσειε.» Ιδ. Βιγέρ. σελ.

τοιαύτας ἄλλας ἐναντιώσεις περὶ τὴν τοιαύτην διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην περιποιοῦσι τῇ πόλει.

(§. 21.) 19. Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς. Απήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀποριῶν ταῖς εὐεργεσίαις καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις· τοὺς δὲ νεωτέρους τῶν ἀκολασιῶν, τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπιμελείαις· τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν, ταῖς τιμωρίαις, καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας· τοὺς δὲ πρεσβυτέρους τῶν ῥαθυμιῶν, ταῖς τιμαῖς ταῖς πολιτικαῖς, καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καίτοι πῶς ἂν γένοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης;

---

399. Νοητέον πρότερον τὸν λόγον πόσον διαφέρει αὕτη ἡ κατάστασις τῆς πρότερον. — τίς οὐκ ἂν) ἡ Σύνταξ. τίς τῶν εὖ φρονούντων . . . — κληρουμ.) οἱ ἐν τοῖς διαφόροις δικαστηρίοις δικασταὶ διωρίζοντο κατὰ κλῆρον, καὶ ἐλάμβανον διὰ τὴν ἀπόφασιν κρίσεως τινὸς, κατὰ διαφόρους καιροὺς, 2 ἕως 6 ὀβολούς. Πολλοὶ, οἱ ὁποῖοι ἔκαμνον τὸν μισθὸν τοῦτον πόρον τῆς ζωῆς (Αριστοφ. Πλούτ. 329), ἐσπούδαζον νὰ ἀποκτήσωσι τὸ ἔργον τοῦτο, καὶ οὕτως ἡ ἐπιούσιος τροφὴ πολλῶν πολιτῶν ἐκρέματο ἐκ τῆς τύχης (εἴθ' ἔξουσι τὰ ἀναγκαῖα, εἴτε μή). Παράβ. Ισοκρ. Περὶ Εἰρήν. σελ. 256. ὅπου ὁ δυστυχισμένη κατάστασις τοῦ λαοῦ περιγράφεται μὲ τὰ ἴδια χρώματα. — τρέφειν) λοιπὸν μισθοφόρους. Παράβ. Ισοκρ. Περὶ εἰρήν. κεφ. 16, σελ. 266. — χορεύοντας) διότι οἱ χορηγοὶ ἐπάσχιζον νὰ ὑπερβῶσιν ὁ εἷς τὸν ἄλλον, κοσμοῦντες πολυτελῶς τοὺς Χορούς — ἐν οἷς οὐ βουλ.) διὰ περισσοτέραν ἔμφασιν, ἀντὶ τοῦ, ἐν φαυλοτάτοις. Ωσαύτως καὶ ἐν τῷ Περὶ εἰρήν. σελ. 264. « καὶ τοιαῦτ' ἐξαμαρτάνειν περὶ ὧν καὶ ἀπορῶ τί ποιήσω.»

§. 19. ἐπ' ἐκείνης τῆς βουλ.) ὅτε ὁ Αρειος Πάγος εἶχεν ἀκόμη ὅλα του τὰ δικαιώματα. Ιδ. Βιγέρ. σελ. 616. 57. — τῶν ἐχόντων.) Ισοκρ. Αρχιδ. σελ. 199. « οἱ καταδεέστερον πράττοντες, οὐδ' ἂν εὑρεῖν δέξαιντο μᾶλλον, ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι» Ιδ. Βιγέρ. σελ. 256 σημ. — τοὺς πολιτευομ.) τοὺς πολιτευομένους τῶν πολιτῶν, καὶ μάλιστα τοὺς ἐν ἀνδρικῇ ἡλικίᾳ. — τῷ μὴ λανθάν.) Ιδ. §. 11. — τῶν πραγμ. ἐπιμελ.) Ισοκρ. πρὸς Φίλιπ. σελ. 128. » ὅπερ εἰμαι



# ΚϚ'.

## Η δημοκρατία προτιμᾶται τῆς ὀλιγαρχίας· ἀποδεικνύεται δὲ τοῦτο ἐκ τῆς ἱστορίας τῶν Αθηναίων.

(Ισοκρ. Αρειοπαγ.)

Ο Ρήτωρ, ἀφ' οὗ ἐξήλεγξε τὰ ἐν Αθήναις εἰσαχθέντα ἐλαττώματα τῆς διοικήσεως, ζητεῖ νὰ ἀπολυθῇ τῆς ὑποψίας, ὅτι ἀποστρέφεται τὸ δημοκρατικὸν σύστημα.

(κεφ. 25.) 1. Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγάλαις, ἣν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφεφερούσας· ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἣ πάντες ἐπιτιμῶσιν, ἣν παραβάλωμεν αὐτήν, μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ἐπὶ τῶν τριάκοντα κατασᾶσαν, οὐδεὶς ὅς τις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

---

καὶ ταύτας ποιήσειν, ἢ μὴ σὺ πρότερον αὐτῶν ἐπιμεληθῇς.» Ξενοφ. Απομν. Α'. δ'. 13.» οὐκ ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι.»

ΚϚ'.

§. 1. εὑρήσομ.) μετὰ Μετοχῆς. Βιγέρ. σελ. 338. Η Σύνταξ. συμφερούσας ταῖς ἐπιφαν. καὶ μεγάλ. τῶν ἄλλ. πόλ. — πρὸς τὴν ὑπ' ἐμ. ῥηθ.) ὡς πρὸς τὴν περιγραφὴν τῆς εὐτυχεστέρας καταστάσεως τῶν Αθηνῶν, τὴν ὁποίαν ἔκαμεν ὁ Ρήτωρ πρότερον. — ἐπὶ τῶν τρ.) Ιδ. ΚΕ'. §. 19. περὶ τῆς ὑποθέσεως Παράβ. ἀριθμ. ΙΔ'. καὶ ΙΕ'. — νομίσειεν ἂν) ἀναφερόμενον πρὸς τὴν προϋπόθεσιν, ἣν παραβάλωμεν, ἔπρεπε νὰ εἴπῃ, νομίσῃ ἄν. Βιγέρ. σελ. 784. 285.

(§. 26.) 2. Βούλομαι δὲ, εἰ καί τί με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν, ὅσον αὕτη τῆς τότε διέςηκεν· ἵνα μηδεὶς, οἴηταί με τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν καὶ σεμνὸν διαπέπρακται, ταῦτα παραλιπεῖν. Εςαι δὲ ὁ λόγος οὔτε μακρὸς, οὔτ᾽ ἀνωφελὴς τοῖς ἀκούουσιν.

(§. 27.) 3. Επειδὴ γὰρ τὰς ναῦς τὰς περὶ τὸν Ελλήςποντον ἀπωλέσαμεν, καὶ ταῖς ἀτυχίαις ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων, τοὺς μὲν δημοτικοὺς καλουμένους ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προςταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν, τὴν τῶν Ελλήνων ἄρξασαν, ὑφ᾽ ἑτέροις οὖσαν, καὶ τούτους μὲν ἐκσπόνδους γενομένους; τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας, ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας, καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μὲν, ὅτε τὸ πλῆθος κύριον ἦν τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας; ἐπειδὴ δὲ οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους; ἐπειδὴ δὲ οἱ φεύγοντες, κατελθόντες, πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ

§. 2. αὕτη) ἡ νῦν πολιτεία. — τῆς τότε ) τῆς ἐπὶ τῶν τριάκοντα. — εἰ δέ τι) ἀντὶ, τὰ δὲ καλῶς καὶ σεμνῶς διαπεπραγμένα. Τὸ Τὶ ὡς περιληπτικὸν ἔχει μεθ᾽ ἑαυτοῦ τὸ ταῦτα.

§. 3. τὰς ναῦς) ἐν τῇ παρὰ τοὺς Αἰγὸς ποταμοὺς μάχῃ, ὅπου οἱ Αθηναῖοι ἀπώλεσαν 200 ναῦς. — τὸ προςταττόμενον ) τὰς σκληρὰς τοῦ Λυσάνδρου συνθήκας Ιδ. ΙΑ'. §. 16. — τούτους) τοὺς δημοκρατικοὺς, οἱ ὁποῖοι ἦσαν ἔξω τῶν συνθηκῶν. — τὸ πλῆθος ) ὁ δῆμος. — τῶν ἄλλων) οἷον, τῶν Μεγάρων, [illegible] ἦσαν Αθηναῖοι εἰς φρουράν. — οἱ φεύγοντες) οἱ περὶ τὸν Θρασύβουλον συνειλεγμένοι φυγάδες. — Κόνων) Ιδ. ΚΔ'. §. 13. — παρ᾽ αὐτῶν) τῶν Λακεδαιμονίων.



Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ᾽ αὐτῶν καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τῆς θαλάσσης; 4. Καὶ μὲν δὴ καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν; τὴν μὲν γὰρ δημοκρατίαν, οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, ὥςτ᾽ ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν, αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ελλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· τοὺς δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τὰ δὲ συλήσαντας, τοὺς δὲ νεωςοίκους ἐπὶ καθαιρέσει, τριῶν ταλάντων ἀποδομένους, εἰς οὓς ἡ πόλις ἀνάλωσεν οὐκ ἐλάττω χιλίων ταλάντων; 5. Αλλὰ μὴν οὐδὲ τὴν πρᾳότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον ἢ τὴν τῆς δημοκρατίας. Οἱ μὲν γὰρ, ψηφίσματι παραλαβόντες τὴν πόλιν, πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φεύγειν πλείονας ἢ πεντακιςχιλίους ἠνάγκασαν· οἱ δὲ, κρατήσαντες, καὶ μεθ᾽ ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνελόντες, οὕτω τὰ πρὸς ἀλλήλους καλῶς καὶ νομίμως διῴκησαν, ὥςτε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων.

§. 4. καὶ τάδε) ἀναφέρεται πρὸς τὰ ῥηθησόμενα. — τῶν ἡλικ.) ὁ Ισοκρ. ὅτε συνέγραψε τὸν παρόντα λόγον, ἦτον μεταξὺ τῶν 60 καὶ 70 χρόνων. — τὴν μὲν γάρ) δηλαδή. Ιδ. ΚΔ'. §. 3. — τὴν δημοκρ.) ὁ Ρήτωρ προςωποποιεῖ τὴν δημοκρατίαν, ἀντὶ τοῦ, ἐπὶ γὰρ τῆς δημοκρατίας οὕτως ἐκοσμήθη ἡ πόλις. — τοῖς ὁσίοις) Ιδ. ΚΑ'. §. 16. — τῶν μὲν ) ὁσίων δηλ. — τὰ δὲ) ἱερά. — τοὺς δὲ νεωςοίκους) τὰ νεώρια τοῦ λιμένος, ὅπου ἐφυλάττοντο ὅλα τὰ εἰς ἑτοιμασίαν τῶν πλοίων ἀναγκαῖα.

§. 5. οἱ μὲν) οἱ τριάκοντα. — τὴν πόλιν) τὴν τῆς πόλεως ἐπιμέλειαν. — [illegible]) Παράβ. Ισοκρ. Πανηγ. κεφ. 32. — οἱ δὲ) οἱ δημοκρατικοὶ φυγάδες· — κατιόντες ) κατελθόντες· συνήθης ἡ λέξις περὶ τῶν εἰς τὴν πατρίδα ἐπιςρεφόντων φυγάδων. Κοινῶς γράφεται μετιόντες, ἀντὶ τοῦ, κατιόντες. — τοὺς αἰτιωτάτ.) Ιδ.

(§. 28.) 6. Ο δὲ πάντων κάλλιστον τεκμήριον καὶ μέγιστον τῆς ἐπιεικείας τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων, εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν, ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς τοὺς Λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. 7. Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν, καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν ἡμῖν προστάττοντας, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας καὶ δεησομένους μὴ περιϊδεῖν σφᾶς αὐτοὺς ἀναστάτους ὑπὸ Θη-

ΙΗ΄. §. 26. — μηδὲν ἔλαττον) Ιδ. ΙΗ΄. §. 54. Ηρόδ. Θ΄. 102. «ἠμύνοντό τε καὶ οὐδὲν ἔλασσον εἶχον τῇ μάχῃ.» Θεόκρ. Η΄. 35. «ἤν δέ ποκ' ἔνθῃ Λάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.»

§. 6. ὃ δὲ πάντων) ΚΔ΄. §. 3. Γραμ. Βουτ. §. ΡΛς΄. Γ΄. σελ. 509. π. 474. ν. — τῶν ἐν ἄστει) τῶν ὀλιγαρχικῶν, τὸ ὁποῖον ἀντίκειται τῷ, τοῖς ἐν Πειραιεῖ. — δανεισαμ.) Ιδ. ΙΖ΄. §. 9. — κοινὴν) ἐκείνοις. Μέμνηται αὐτοῦ τούτου καὶ Δημοσθ. ἐν τῷ Πρὸς Λεπτίνην κεφ. 10., λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ. Ἐπειδὴ δὲ ἡ πόλις εἰς ἓν ἦλθε, καὶ τὰ πράγματα ἐκεῖνα κατέστη, πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι τὰ χρήματα ταῦτα ἀπῄτουν. Λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ ἄστεος· τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξιούντων, τὸ κοινῇ διαλῦσαι τὰ χρήματα· φασὶ τὸν δῆμον ἑλέσθαι συνεισενεγκεῖν αὐτὸν καὶ μετασχεῖν τῆς δαπάνης, ὥστε μὴ λῦσαι τῶν ὡμολογημένων μηδέν.»

§. 7. καὶ γάρ τοι) Ιδ. ΚΓ΄. §. 56. — ἱκετεύσ.) 30 χρόνους σχεδὸν μετὰ τὴν ἀποκατάστασιν τῆς δημοκρατίας (Ὀλυμπ. ΡΒ. 2) συνέβη ἡ ἐν Λεύκτροις μάχη. Καὶ ἀφ' οὗ μετὰ ταῦτα οἱ Θηβαῖοι εἰσέβαλον εἰς τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι ἔδωκαν τοῖς Σπαρτιάταις βοήθειαν.



βαίων γενομένους. 8. Τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν· οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

9. Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκε· πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος, οὐκ ὀλιγαρχιῶν, οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας· ἔπειτα, τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας προεχούσας τῷ δικαιοτέρας εἶναι, καὶ κοινοτέρας, καὶ τοῖς χρωμένοις ἡδίους.

§. [illegible] (ὀλιγαρχικοὶ) γὰρ) Ιδ. §. 4.

§. 9. ἐμαυτὸν) ἀντὶ, ἐπιδεῖξαι βουλ. ὅτι ἐγὼ οὐκ ὀλιγαρχιῶν ἐπιθυμῶ. Ιδ. ΙΑ΄. §. 7. ΚΔ΄. §. 13. — τοῖς χρωμένοις) τοῖς ἐν αὐταῖς πολιτευομένοις.

## ΚΓ'.

### Εκ τοῦ περὶ εἰρήνης λόγου τοῦ Ισοκράτους.

Επὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς συμμάχους (Χίους, Κῴους, Ροδίους καὶ Βυζαντίους), οἱ ὁποῖοι ἀπέστησαν ἐκ τῶν Αθηνῶν ἐξ αἰτίας τῆς σκληρᾶς καὶ ὑπεροπτικῆς μεταχειρίσεως, παραινεῖ ὁ Ισοκρ. περὶ εἰρήνης, παριστάνων εἰς τοὺς συμπολίτας του τὰς εἰς τὴν παροῦσαν αὐτῶν διοίκησιν κυριευούσας καταχρήσεις. Αφ' οὗ δὲ ἐφανέρωσεν, ὅτι χρέος του νομίζει, χωρὶς νὰ ἀποβλέψῃ μήτε εἰς εὔνοιαν μήτε εἰς μῖσος, νὰ εἴπῃ τὴν ἀλήθειαν, ἐξακολουθεῖ τὸν λόγον οὕτω.

(κεφ. 16.) 1. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους πρὸς ὑμᾶς. Τίς γὰρ ἄλλοθεν ἐπελθών, καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἔχομεν, οὐδὲν δὲ τῶν αὐ-

§. 1. οὐδὲν ὑποστειλ.) εἰς Εὐαγόρ. σελ. 292.» εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον, ἀλλὰ παῤῥησίᾳ χρησάμενον εἰπεῖν.» ἄνευ ὑποστολῆς καὶ φόβου, ὡς οἱ ὑποστελλομένοις τοῖς ἱστίοις πλέοντες.— ἐκ τῶν τότε) τουτέστιν, πάλαι ἐπὶ τῶν προγόνων.—[illegible]) ἔχομεν μετ[illegible] ἐγκωμιάζειν δὲν εἶναι οἰκεῖον ἐνταῦθα, μηδὲ [illegible] ὡς ἠμπορεῖ τις νὰ συμπεράνῃ, ἔγραψεν ὁ Ισοκρ. ἐγκωμιάζομεν, [illegible] ὁποῖον, συμφωνοῦν ἀκριβῶς μὲ τὸ ἑπόμενον πράττομεν, ἤθελεν εἶναι πλέον κατάλληλον εἰς τὴν ἁρμονίαν τοῦ Ρήτορος.



τῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον. 2. Οἱ μὲν γὰρ ὑπὲρ τῶν Ελλήνων τοῖς Βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ασίας τὸν βίον ποριζομένους, ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς Ελληνας ἠγάγομεν. Κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ελληνίδας καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν· οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις, καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ελλήνων σωτηρίας τήν τε πατρίδα τὴν αὐτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς Βαρβάρους ἐνίκησαν· ἡμεῖς δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ' οὐκ ἐθέλομεν· καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρού-

§. 2. Απόδειξις τῆς προηγουμένης γνώμης.—διετέλεσαν) Ιδ. ΚΛ'. §. 5.—ἡμεῖς .. ἠγάγομεν) τοὺς μισθοφόρους στρατιώτας, οἱ ὁποῖοι ἐπορίζοντο τὰ πρὸς τὸ ζῆν ἐκ τοῦ βασιλέως τῆς Περσίας. Μεταξὺ δὲ τῶν Ελλήνων ἔγινε συνήθεια τοῦ νὰ λαμβάνωσι μισθοφόρους ξένους, ὡς ἐπὶ τὸ πλεῖστον δὲ Ελληνας, ἀπὸ τοῦ Κορινθιακοῦ πολέμου. Ολυμπ. ϞϚ', 2. —ἐλευθεροῦντες) Ιδ. Ε'. §. 28. ΚΔ'. §. 9. — τῆς ἡγεμονίας) Ιδ. Β'. §. 18. — καταδουλ.) τὴν κατάθλιψιν ἴσως ἐννοεῖ τῶν συμμάχων τῶν Αθηναίων, ἢ τὴν εἰρήνην τοῦ Ανταλκίδου. ΚΛ'. §. 8. — ἀγανακτ. εἰ .. ἕξομεν) ΚϚ'. §. 3.» δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν.» Γραμ. Βουτ. §. ΡΛΗ'. σελ. 488. π. 454. ν.-ὅσον...ἐθέλομεν) ἡ αὐτὴ συνθήκη τοῦ λόγου καὶ §. 5. §. 8. ΛΕ'. §. 19. — ἐκλιπεῖν) Ιδ. Δ'. §. 10. Ε'. §. 2. ΚΓ'. §. 27. — μαχόμενοι) πεζομαχοῦντες. — ἡμεῖς .. ἐθέλομεν) ὁ Ρήτωρ ἀντιθέτει ἐν ταὐτῷ τὰς αἰτίας τῶν πολέμων καὶ τὸν τρόπον τοῦ ἐκφέρειν [illegible] Γράμ. Βουτ. §. ΡΛϚ'. σελ 499. π. 463. ν.-ἀλλ' ἀνθρώπους ἀσκοῦμεν δηλ. τὸ ὁποῖον ὅμως δὲν εἶναι τόσον κατάλληλον εἰς τὴν ἔννοιαν. Πολὺ δὲ περισσότερον ἠμπορεῖ τις νὰ συμπεράνῃ ὅτι παρελείφθη ῥῆμά τι, οἷον τό, μισθούμεθα, ἢ, συνάγομεν.—

μεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλὰ ἀνθρώπους πρὸς τοὺς μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν ἄλλων κακουργιῶν συνεῤῥυηκότας, οἷς ὁπόταν τις πλείονα μισθὸν διδῷ, μετ' ἐκείνου ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. 3. Ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥςθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν· ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς, καὶ βίας, καὶ πλεονεξίας, μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥξειν, οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν, αὐτοὺς τοιοῦτό τι διαπραττομένους. 4. Εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥςτ' αὐτοὶ μὲν ἐνδεεῖς ἐσμὲν τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δ' ἐπικεχειρήκαμεν καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν λυμαινόμεθα, καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοινοῖς ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. 5.

ἐκ τῶν κακουργ. συνεῤῥ.) κατὰ ῥητορικὴν τόλμην, ἀντὶ, καὶ ἄλλους τινὰς κακούργους, πανταχόθεν συνεῤῥυηκότας. Τοιοῦτον στράτευμα παρίσταται ὡς ἓν ἕλος, τὸ ὁποῖον γίνεται ἀπὸ πολλῶν ἀκαθάρτων εἰς ἓν συῤῥεόντων ῥυάκων. — μετ' ἐκείνου ἀκολουθ.) λέγεται, ἀκολουθεῖν τινὶ, καὶ, μετά τινος ἀκολ. Ισοκρ. Ἀρχίδ. σελ. 56. « εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι.»

§. 3. ὥςθ' ὑπὲρ μὲν) ἡ ἔννοια· ἤθελέ τις νομίσει ὅτι ἡμεῖς ἠγαπῶμεν τοὺς μισθοφόρους τούτους ὑπὲρ τοὺς ἡμετέρους παῖδας. — ὥςθ' ὑπὲρ μὲν) εἰς ταύτην τὴν διάταξιν τῶν ἐννοιῶν δὲν ἀνήκει τὸ πρῶτον κῶλον εἰς τὸ ὥςε, ἀλλὰ τὸ δεύτερον, ὑπὲρ τῆς ἐκειν. ἁρπ. Παράβ. §. 4. 8. ΚΓ΄. §. 18. — εἰ.. ἐξαμάρτοιεν ) Εἰ, καὶ ὄχι Ην, καθὼς ἀναγινώσκεται κοινῶς. — ἐκείνων) τῶν μισθοφόρων. — μελλόντων) καί περ μελλ. — οὐχ ὅπως) Ις΄. §. 19. Βιγέρ. σελ. 766.

§. 4. ὥςτ' αὐτοὶ μὲν) Ιδ. §. 3. — τῶν καθ' ἡμ. ) ἀναγκαίων δηλ. — τοὺς ἡμετέρους αὐτῶν) Ιδ. §. 7. Ἑλέν. ἐγκώμ. σελ. 342. « ταῖς δόξαις ταῖς ἡμετέραις αὐτῶν,» καὶ συχ[illegible] ἡμε[illegible] ῥήτορι. — τοῖς κοινοῖς ἐχθρ.) Ιδ. ΙΑ΄. §. 6.

§. 5. ὅσον ἐκεῖνοι μὲν) Ιδ. §. 2. — εἰ ψηφίσαιντο) Ιδ. Ε΄. §. 16. — ἐκεῖνοι μὲν) ἡ Σύνταξ. ἐκεῖνοι μὲν ᾤοντο δεῖν κινδυν. τοῖς



Τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μεςῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὐτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δ' εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς ςρατοπέδοις. 6. Καὶ τότε μὲν, εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰςεβίβαζον, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξέπεμπον, νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν· ὥςθ' ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν.

(κεφ. 17.) 7. Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα, καὶ περὶ τῶν ἄλλων θαῤῥήσειεν·

αὐτῶν σώμ. ὑπὲρ τῶν δοξ. καίπερ μεςῆς οὔσης τῆς ἀκρ. Τὸ θησαυροφυλάκιον ἦτον ἐν τῷ ὀπισθοδόμῳ τοῦ ναοῦ τῆς Ἀθηνᾶς τοῦ ἐπὶ τῆς ἀκροπόλεως. Κατ' ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου εὑρίσκοντο ἐκεῖ ἕτοιμα 6000 τάλαντα.

§. 6. εἰ πληροῖεν) Ιδ. 5. — μεθ' ὅπλων ( Ιδ. Γ΄. §. 6. Κς΄. §. 5.) ἐξέπ.) κατ' ἀντίθεσιν εἰς τὸ, ὑπηρέσιον ἔχοντες. Τὰ ὑπηρέσια, (προβάτων ἢ ἄλλων ζώων δέρματα, ἐπὶ τῶν ὁποίων ἐκάθηντο οἱ κωπηλάται) τὰ ἔπαιρναν εἰς τὴν ξηράν. — οἱ δέ) οἱ ξένοι καὶ μισθοφόροι.

§. 7. Σφάλματα τῆς ἐσωτερικῆς διοικήσεως. — ἰδών τις) εἴ τις ἴδοι. — οἵ τινες.... πολιτεύεσθαι ) ἡ πρότασις αὕτη διαιρεῖται εἰς δύο κῶλα, ὧν τὸ ἓν εἶναι ἡ συνέπεια τοῦ ἄλλου. Παράβ. ἀριθμ. [illegible] §. [illegible] Ισοκρ. Πανηγ. σελ. 58. ἐκδ. Λαγγ. — προςῆκον) [illegible] Γραμ. Βουτ. §. ΡΑΒ΄. Σημ. ς΄. 6. — τῶν ἄρτι) τῶν, οἱ ὁποῖοι ἐν τῇ πρώτῃ ταραχῇ δὲν δύνανται ἀκόμη νὰ θεμελιώσωσι κἀμμίαν εὔτακτον πολιτείαν. — Τριβαλλοί) ἔθνος Ιλλυρικὸν ἐν τῇ

ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστα ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες μὲν εἶναί φαμεν, καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ' ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων· καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς αὐτῶν δυσγενείας· πλείστους δὲ τιθέμενοι νόμους, οὕτως ὀλίγον αὐτῶν φροντίζομεν (ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων), ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης, ἄν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας, στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πό-

σήμερον Βουλγαρία, οἱ ὁποῖοι ὡς βάρβαροι ὀλίγον ἐτιμῶντο παρὰ
τῶν Ἑλλήνων· παρομοίως καὶ οἱ Λευκανοί, ἔθνος τῆς κάτω Ἰταλίας.
— τοὺς τοῦτο) τὸ δεκάζειν δηλ. — ταῖς ἀσφαλείαις) ὅταν ἡ πο-
λιτεία δὲν καταταράττηται ὑπ' οὐδεμιᾶς ἔξωθεν προσβολῆς. — δὶς
ἤδη) πρῶτον μὲν κατὰ τὴν ϟβ'. Ὀλυμ. ἔτ. α. ἐν τῷ κα ἔτει
τοῦ Πελοποννησιακοῦ πολέμου, ὅτε κατέλυσε τὴν δημοκρατίαν ὁ Πεί-
σανδρος (Θουκυδ. Η'. 53. 67.)· δεύτερον δὲ ἀφ' οὗ ἐτελείωσεν ὁ
πόλεμος. — περὶ τῶν αὐτῶν) πραγμάτων. — κατηγοροῦμεν) μεμ-
φόμεθα. Ἰδ. ΚΔ'. §. 5. — ἀναβῆναι) αἱ συνελεύσεις τοῦ δήμου ἐγί-
νοντο συνήθως εἰς τὴν Πνύκα, ἥτις ἦτον τὸ ὑψηλότερον μέρος τῆς
πόλεως. — συνελθόντες) ἐν αὐτῇ τῇ ἐκκλησίᾳ. — οὐ πολὺν) τουτέ-
στι μετ' οὐ πολὺν χρόνον. — ὧν . . . . καταφρ[illegible] τῇ
συντάξει ἡ Εὐκτικὴ εἶναι κανονικῶς ἐν χρήσει. Ἰσοκρ. [illegible] Α'.
σελ. 374. „οὐκ ἔστιν ὅς τις οὐκ ἀπορήσειεν.“ Τόμ. Β'. σελ. 544 „
οὐδένα νομίζω, ὅστις οὐκ ἂν ἐπαινέσειεν ἐμέ.“



λεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας, δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ἐμποιοῦντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους εἶναι νομίζομεν· ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γινώσκομεν, ἀλλ' ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλείποντες, τοῖς ἐνταῦθα ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις συμβούλοις χρώμεθα, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειε, καὶ τοὺς αὐτοὺς τούτους κυρίους τῶν κοινῶν ἁπάντων καθίσταμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειεν. 8. Τὸ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύ-

§. 8. τὸ δὲ πάντων) Ἰδ. ΚΓ'. §. 25. ΚΔ'. §. 3. — προστάτας)
ἕκαστος τῶν ἐν Ἀθήναις οἰκούντων ξένων ἔπρεπε νὰ ὑπόκειται εἰς
τὴν προστασίαν τινὸς πολίτου. — νόμωσι) Ἰδ. ΚΔ'. §. 4. περὶ τῆς
Ὑποτακτικῆς. — τὴν αὐτήν . . . τοῖς προσ.) Ἰδ. §. 1. — ὅσον
ἐκεῖνοι μὲν) Ἰδ. §. 2. 5. — στρατηγοὺς) κατ' ἔτος ἐκλέγοντο ἐκ τῶν
10 φυλῶν 10 στρατηγοί, οἱ ὁποῖοι ἐπὶ μὲν εἰρήνης διοίκουν πολιτι-
κὰς ὑποθέσεις, ἐπὶ δὲ πολέμου καθίσταντο, κατ' ἐκλογὴν ὅμως, ἡγε-
μόνες τοῦ στρατοῦ. Κατὰ δὲ τοὺς ὑστέρους χρόνους ἔμεινεν εἰς τοὺς
στρατηγοὺς μόνον ἡ τῶν πραγμάτων τῆς πόλεως διοίκησις. — βου-
λεύσασθαι ἂν) τουτέστι βουλεύσεσθαι. Ἰδ. ΙΖ'. §. 12. — καθ' αὑ-
[illegible]) [illegible] τοῦ δήμου, ἐν τῷ πολέμῳ. Ὑπερ. σελ. 633. —
ὡς [illegible] . . .) νομίζοντες, ὅτι . . . Ἰδ. Ι'. §. 15. ΚΓ'. §. 59. —
αὐτοκρ[illegible].) στρατηγοὺς μὲ ἀπεριόριστον ἐξουσίαν. — ἐκεῖ) πόῤῥω τῆς
πόλεως. — τῶν Ἑλλην.) τὸ περιληπτικὸν ἀντικείμενον. — ἡ ὅλη

λακας ἡγούμεθα τῆς πολιτείας εἶναι· κἀ τοὺς μὲν μέτοιχους τοιούτους εἶναι νομίζομεν, οἵουσπερ ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν. Τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τῆς πόλεως ἐποιοῦντο, καὶ στρατηγοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι, καὶ καθ' αὑτὸν γενόμενον· ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν, ὡς νοῦν οὐκ ἔχοντας· οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων, οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους αὐτοκράτορας ἐκπέμπομεν, ὡς ἐκεῖ σοφωτέρους ἐσομένους, καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ελληνικῶν πραγμάτων [καὶ πολιτικῶν], ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων.

## ΚΗ'.

### Δημοσθένους λόγος περὶ εἰρήνης.

Φίλιππος ὁ Μακεδὼν ἔκλεισε μὲ τοὺς Αθηναίους εἰρήνην κατὰ τὴν ΡΗ'. Ολυμπ. ἔτος

Ελληνική πολιτική — ἀντίκειται εἰς τὸ ὀλιγώτερον σημαντικὴν (τὰ πράγματα μιᾶς μόνης πόλεως). Εἰς ταύτην τὴν συνάφειαν αἱ λέξεις » καὶ πολιτικῶν » συνάπτονται μὲ τὸ » Ελληνικῶν », ἄχρηστος προσθήκη ἴσως κἀνενὸς ἐξηγητοῦ, ὅστις ἤθελε νὰ φανερώσῃ, ὅτι τὰ πράγματα τῶν ἐκπεμπομένων στρατηγῶν ἀπο[illegible] εἰς πολιτικὰ ἀντικείμενα. Τὸ δὲ, πολεμικῶν, τὸ ὁποῖον [illegible] τινὲς, ἀντὶ τοῦ, πολιτικῶν, δὲν προξενεῖ κἀμμίαν θεραπείαν τοῦ σφάλματος.



β'. καὶ ὕστερον ὑπέταξε τοὺς Φωκεῖς, οἱ ὁποῖοι ἐπολέμουν πρὸς τοὺς Θηβαίους τὸν ἱερὸν καλούμενον πόλεμον, διὰ τὸ ὁποῖον οἱ σύμμαχοί του ἔδωκαν εἰς αὐτὸν τὴν εἰς τὸ Αμφικτυονικὸν συνέδριον χώραν τῶν Φωκέων. Η δυστυχία τοῦ ἔθνους τούτου, συμμάχου τῶν Αθηνῶν, ἐπίκρανε καὶ κατετάραξε τοὺς κατοίκους τῆς πόλεως ταύτης, οἱ ὁποῖοι εἶχαν ἐλπίδας ἄλλας· καὶ ὅτε ἐστάλησαν ἄγγελοι διὰ νὰ ζητήσωσιν ἐκ τῶν πόλεων, αἱ ὁποῖαι δὲν παρευρέθησαν εἰς τὴν σύνοδον τῶν Αμφικτυόνων, τὴν συγκατάνευσιν εἰς τὰς ἀποφάσεις της, οἱ Αθηναῖοι ἔκλιναν εἰς τὸ νὰ μὴ στέρξωσιν εἰς τοῦτο. Ο Δημοσθένης ἐναντιοῦται εἰς τὸν σκοπὸν τοῦτον, ἀποδεικνύων, ὅτι αἱ Αθῆναι πρέπει νὰ φυλαχθῶσι νὰ μὴ δώσωσιν εἰς τὰς μετὰ τῆς Μακεδονίας ἡνωμένας Ελληνικὰς πόλεις κοινὴν πρόφασιν εἰς πόλεμον.

Διὰ νὰ ἐπιστηρίξῃ δὲ καλλιώτερα τὴν γνώμην του ἀναφέρει περιστατικά τινὰ, τῶν ὁποίων ἡ καλὴ ἔκβασις ἀπέδειξε τὰς συμβουλάς του ἀληθεῖς. Συμβουλεύει λοιπὸν νὰ φυλάξωσι πρὸς τὸ παρὸν τὴν εἰρήνην, ἀποδεικνύων, ὅτι αἱ Αθῆναι δὲν ἔχουσι μὲν νὰ φοβηθῶσί τι ἀπὸ κἀνένα τῶν κατὰ μέρος ἐχθρῶν των, ὅτι ὅμως οὗτοι ἀπὸ μικρᾶς τινος

αἰτίας ἠμποροῦσι νὰ ἐνωθῶσι, καὶ νὰ παρακινηθῶσιν ἔπειτα νὰ ἐπιχειρήσωσι καὶ ἐναντίον τῆς θελήσεώς των πράγματα ἐπικίνδυνα.

Ο λόγος οὗτος ἐξεφωνήθη τὸ γ' ἔτος τῆς ΡΗ'. Ολυμπιάδος.

---

(Δημοσθ. λόγ. σελ. 57. ἐκδ. Ῥεϊσκίου.)

1. Ορῶ μὲν, ὦ ἄνδρες Αθηναῖοι, τὰ παρόντα πράγματα πολλὴν δυςκολίαν ἔχοντα καὶ ταραχὴν, οὐ μόνον τῷ πολλὰ προεῖσθαι, καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ τῷ περὶ τῶν ὑπολοίπων κατὰ ταὐτὰ μηδὲ καθ' ἓν τὸ συμφέρον ἅπαντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν ὡδὶ, τοῖς δ' ἑτέρως δοκεῖν. 2. Δυςκόλου δ' ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ἡμεῖς αὐτὸ πεποιήκατε, ὦ ἄνδρες Αθηναῖοι. Οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα. 3. Εκ δὲ τούτου συμβαίνει παρὰ πάντα τὸν χρό-

---

ΚΗ'.

§. 1.—3. Εἰσαγωγή· δύσκολον ἂν εἴη ἐπὶ τῶν παρόντων πραγμάτων τοῖς Αθηναίοις συμβουλεῦσαι. — πολλὴν δυσκ.) τουτέστι μάλα δύσκολα ὄντα, καὶ χαλεπὰ, καὶ ταραχῆς μεστά. — πολλὰ προεῖσθ.) ἡ τοῦ Φιλίππου δύναμις ἐξετάνθη μετὰ τὴν εἰρήνην μακρύτερον· οἱ δὲ σύμμαχοι τῶν Αθηναίων, Κερσοβλέπτης ἐν Θρᾴκῃ καὶ οἱ Φωκεῖς ὑπετάχθησαν. — μηδὲν προὔργου) μηδὲν ὠφελεῖν. — ἀλλὰ καὶ) τουτέστιν ὅτι περὶ τῶν ὑπολ. μὴ κατὰ ταὐτὰ, μηδὲ καθ' ἓν ἅπαντες ἡγοῦνται, τουτέστι νομίζουσι. — καθ' ἓν) Βιγέρ. σελ. 635.

§. 3. παρὰ π. τὸν χρ.) Βιγέρ. σελ. 644. [illegible] βουλ.) περιγραφικὴ ἐπανάληψις τῆς προηγουμένης ἐννοίας, ἡ ὁποία συμβάλλει εἰς [illegible]



νον, ὃν οἶδ' ἐγὼ, τὸν μὲν οἷς ἂν ἁμάρτητε ἐπιτιμῶντα εὐδοκιμεῖν, καὶ δοκεῖν εὖ λέγειν, τὰ δὲ πράγματα, καὶ περὶ ὧν βουλεύεσθε, ἐκφεύγειν ὑμᾶς.

4. Οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οἴομαι, καὶ πεπεικὼς ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε τοῦ θορυβεῖν καὶ φιλονεικεῖν ἀποστάντες ἀκούειν, ὡς ὑπὲρ πόλεως βουλευομένοις καὶ τηλικούτων πραγμάτων προσήκει, ἕξειν καὶ λέγειν καὶ συμβουλεύειν, ἐξ ὧν καὶ τὰ παρόντα ἔσται βελτίω, καὶ τὰ προειμένα σωθήσεται. 5. Ακριβῶς δὲ εἰδὼς, ὦ ἄνδρες Αθηναῖοι, τὸ λέγειν περὶ ὧν αὐτός εἶπέ τις, καὶ περὶ αὑτοῦ, παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὂν, οὕτως ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθὲς, ὥστε ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀποκνῶ· νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν νῦν ἐρῶ, κρῖναι, μικρὰ τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνημονεύσαντας.

6. Εγὼ γὰρ, ὦ ἄνδρες Αθηναῖοι, πρῶτον μὲν, ἡνίκ' ἔπειθόν τινες ὑμᾶς, τῶν ἐν Εὐβοίᾳ πραγμάτων ταραττομένων, βοηθεῖν Πλουτάρχῳ, καὶ πόλεμον ἄδοξον καὶ δαπανηρὸν ἄρασθαι, πρῶτος καὶ μόνος παρελθὼν ἀντεῖπον· καὶ μόνον οὐ διεσπάσθην ὑπὸ τῶν ἐπὶ μικροῖς λήμμασι

---

§. 4. τοῦ θορυβεῖν ἀπος.) τουτέστιν ἄνευ θορύβου καὶ φιλονεικίας. — ὡς ὑπὲρ) τουτέστιν ὡς προσήκει ἀνδράσι βουλευομένοις ὑπὲρ πολ. καὶ μεγίστων πραγμ. — οἴομαι, . . ἕξειν) τουτέστι δυνήσεσθαι.

§. 5. Ο Δ. ὑπομιμνήσκει τοὺς αὐτοῦ ἀκροατὰς τὴν ὀρθὴν ἔκβασιν τῶν ὅσα προεῖπε. — εἰδὼς) καίπερ εἶδα, μετὰ τοῦ ὁποίου συνάπτεται τὸ Ον. — τὸ λέγειν) ἡ Σύνταξ. τὸ λέγειν παρ' ὑμῖν περὶ τῶν πρότερον ὑπ' αὐτοῦ λεχθέντων, ἀεὶ πάνυ λυσιτελὲς ὂν τοῖς τολμῶσι, τοῦτο [illegible] ἠλ. — τῶν πάνυ λυσ.) Βιγέρ. σελ. 149. το-

§. [illegible] Πλουτάρχῳ) τῷ τυράννῳ τῆς Ερετρίας. Τὸ συμβὰν τοῦτο [illegible] κατὰ τὴν ΡΕ'. Ολυμπ. ἔτ. γ'. Ιδ. Πλού-

πολλὰ καὶ μεγάλα ὑμᾶς ἁμαρτάνειν πεισάντων· καὶ χρόνου βραχέος διελθόντος μετὰ τοῦ προσόφλειν αἰσχύνην, καὶ παθεῖν, οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πεπόνθασιν ὑπὸ τούτων, οἷς ἐβοήθησαν, πάντες ὑμεῖς ἔγνωτε τήν τε τῶν ταῦτα πεισάντων κακίαν, καὶ τὸν τὰ βέλτιςα εἰρηκότα ἐμέ.

7. Πάλιν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κατιδὼν Νεοπτόλεμον, τὸν ὑποκριτὴν, τῷ μὲν τῆς τέχνης προσχήματι τυγχάνοντα ἀδείας, κακὰ δ' ἐργαζόμενον τὰ μέγιςα τὴν πόλιν, καὶ τὰ παρ' ὑμῖν διοικοῦντα Φιλίππῳ καὶ πρυτανεύοντα, παρελθὼν εἶπον εἰς ὑμᾶς, οὐδεμιᾶς ἕνεκα οὔτ' ἔχθρας, οὔτε συκοφαντίας ἰδίας, ὡς ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆλον. 8. Καὶ οὐκέτι ἐν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου λέγοντας (οὐδὲ εἷς γὰρ ἦν), ἀλλ' ὑμᾶς αὐτούς. Εἰ γὰρ ἐν Διονύσου τραγῳδοὺς ἐθεᾶσθε, ἀλλὰ μὴ περὶ σωτηρίας καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως οὔτ' ἐκείνου πρὸς χάριν, οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν ἠκούσατε. 9. Καί τοι τοῦτό γε

§. 7. προσχήματι) κατὰ πρόφασιν, ἢ, προφασιζόμενον. Οἱ ὑποκριταὶ περιήρχοντο πολλάκις ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν, κατὰ τὰς ἑορτὰς, πρὸς τὰς ὁποίας ἐσυμφωνοῦντο ἐπὶ μισθῷ, καὶ ἀπελάμβανον διὰ τοῦτο ἀσφαλείας καὶ προςασίας (ἀδείας). — Φιλίππῳ) εἰς Φιλίππου χάριν.

§. 8. ἐν Διονύσου) ἑορτῇ δηλ. Ἰδ. Βιγέρ. σελ. 603. — πρὸς χάριν) αὐτόθι. σελ. 604. — οὐκ ἂν οὕτως πρὸς χάριν) τουτέςιν εὐφρονέςερον. Ἡ ἔννοια ἐτελείωσεν εἰς τὸν λόγον τοῦτον· προςθέτει ὅμως ὁ Ῥήτωρ, οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν, διὰ νὰ κάμῃ ἰσχυροτέραν τὴν ἀντίθεσιν.

§. 9. τὴν τότε.....ἐποιήσ.) τουτέςιν ὅτι τότε ἀπῆλθεν εἰς τοὺς πολ. — ὀφειλ.) αὐτῷ δηλ. — τούτῳ τῷ λ[illegible] ἑξῆς. — [illegible]νὸν) οὐκ ἀνεκτόν. — ἐκεῖθεν ἐνθάδε) ἐκ Μακεδονίας εἰς [illegible]. — τὰς εὐπορ.) τὰ ἑαυτοῦ χρήματα. — οὐσίαν φανερὰν) τὸ μέρος ἐκεῖνο τῆς περιουσίας, τὸ ὁποῖον ὑπόκειται εἰς τὰ ὄμματα τῶν ἄλλων, τουτέςι τὰ μὴ κινητὰ ἀγαθά. — ἐκεῖνον) τὸν Φίλιππον. — ἀπάγων) τὴν οὐσίαν, ἢ, τὸν ἄργυρον, ὃν ἐκ τῆς οὐσίας πωληθείσης ἐπράξατο.



ὑμᾶς οἴομαι νῦν ἀξίαντας ἠσθῆσθαι, ὅτι τὴν τότε ἄφιξιν εἰς τοὺς πολεμίους ἐποιήσατο, ὑπὲρ τοῦ τἀκεῖ χρήματα ὀφειλόμενα, ὡς ἔφη, κομίσας δεῦρο λειτουργεῖν· καὶ τούτῳ τῷ λόγῳ πλείςῳ χρησάμενος, ὡς δεινὸν, εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας ἄγουσιν, ἐπειδὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐνθάδε ἐκέκτητο οὐσίαν φανερὰν, ταύτην ἐξαργυρίσας, πρὸς ἐκεῖνον ἀπάγων ᾤχετο.

10. Δύο μὲν δὴ ταῦτα, ὧν προεῖπον ἐγὼ, μαρτυρεῖ τοῖς τότε γεγενημένοις λόγοις, ὀρθῶς καὶ δικαίως οἷά περ ἦν ἀποφανθέντα ὑπ' ἐμοῦ. Τρίτον δ', ὦ ἄνδρες Ἀθηναῖοι, (καὶ μόνον ἓν τοῦτ' εἰπὼν ἔτι, καὶ δὴ καὶ περὶ ὧν παρελήλυθα ἐρῶ) ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ἀπειληφότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς τινων καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι, καὶ τοὺς μὲν Φωκέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώσειν, τὴν δὲ Θηβαίων πόλιν διοικιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν ὑπάρξειν, καὶ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἀνταποδοθήσεσθαι,

§. 10. δύο μὲν δὴ ταῦτα) ἡ Σύνταξ' δύο ταῦτα ἀποφ. ὑπ' ἐμοῦ οἷάπερ ἦν, τουτέςιν ὀρθῶς καὶ δικαίως (ἄνευ συκοφαντίας, ἀληθῶς), μαρτυρεῖ τοῖς ὑπ' ἐμοῦ τότε γεγεν. λόγοις. — τοὺς ὅρκους) εἷς τῶν τὴν εἰρήνην μετὰ τοῦ Φιλίππου ποιησάντων (Ὀλυμπ. ΡΗʹ., 2.) ἦν καὶ ὁ Δημοσθένης. Τότε διηγέρθησαν αἱ ἐνταῦθα μνημονευόμεναι ἐλπίδες καὶ οἱ φενακισμοὶ (ἀπάται), διὰ τῶν φίλων τοῦ βασιλέως τῆς Μακεδονίας ἐν Ἀθήναις, ὅπου οὐδὲν ἐπεθύμουν ἄλλο τι περισσότερον, εἰμὴ τὴν ταπείνωσιν τῶν Θηβῶν, αἱ ὁποῖαι κατέσκαψαν τὰς Πλαταιὰς καὶ τὰς Θεσπιάς, πόλεις τῆς Βοιωτίας. — διοικιεῖν) διαιρήσειν. — Ὠρωπὸν) πόλιν ἐπὶ τῶν συνόρων τῆς Ἀττικῆς καὶ Βοιωτίας· τὸ ἀντικείμενον συχνῶν διαφορῶν. — Ἀμφιπόλ.) Ἰδ. ΙΗʹ. §. 42. ἀποικία τῶν Ἀθηναίων· νῦν δὲ ὑπὸ τῷ Φιλίππῳ. — Εὔβοιαν) πάλαι μὲν τοῖς Ἀθηναίοις ὑποκειμένη, νῦν δὲ ὑπὸ τυράννων καὶ Μακεδονικῶν φρουρῶν κατεχομένη. — ἴσως) δι-

καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμοὺς, οἷς ὑπαχθέντες ὑμεῖς, οὔτε συμφερόντως, οὔτε ἴσως, οὔτε καλῶς προεῖσθε Φωκέας· οὐδὲν τούτων οὔτ' ἐξαπατήσας, οὔτε σιγήσας ἐγὼ φανήσομαι, ἀλλὰ προειπὼν ὑμῖν (ὡς εὖ οἶδ' ὅτι μνημονεύετε), ὅτι ταῦτα οὔτε οἶδα, οὔτε προςδοκῶ, νομίζω δὲ τὸν λέγοντα ληρεῖν.

11. Ταῦτα τοίνυν πάντα, ὅσα φαίνομαι βέλτιον τῶν ἄλλων προορῶν, οὐδ' εἰς μίαν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε δεινότητα, οὔτε ἀλαζονείαν ἐπανοίσω, οὐδὲ προςποιήσομαι δι' οὐδὲν ἄλλο γιγνώσκειν, καὶ προαισθάνεσθαι, πλὴν δι' ἃ ἂν ὑμῖν εἴπω, δύο· ἓν μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης δεινότητος καὶ σοφίας ὁρῶ κρατοῦσαν· ἕτερον δὲ, ὅτι προῖκα τὰ πράγματα κρίνω καὶ λογίζομαι, καὶ οὐδὲν λῆμμα οὐδεὶς ἂν ἔχοι, πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ λέγω, δεῖξαι προςηρτημένον. 12. Ὀρθὸν οὖν ὅ, τι ἄν ποτε ἀπ' αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων τὸ συμφέρον φαίνεταί μοι. Ὅταν δ' ἐπὶ θἄτερα, ὥςπερ εἰς τρυτάνην, ἀργύριον προςενέγκῃς, οἴχεται φέρον καὶ καθείλκυσε τὸν λογισμὸν ἐφ' αὑτὸ, καὶ οὐκέτ' ἂν ὀρθῶς, οὐδ' ὑγιῶς, ὁ τοῦτο ποιήσας περὶ οὐδενὸς ἂν λογίσαιτο.

13. Ἓν μὲν οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν, ὅπως, εἴτε σύνταξιν, εἴτε συμμάχους, εἴτε ἄλλο τι βούλεταί τις κατασκευάζειν τῇ πόλει, τὴν ὑπάρχουσαν εἰρήνην μὴ λύων τοῦτο ποιήσει, οὐχ ὡς θαυμαστὴν, οὐδ' ὡς ἀξίαν οὖσαν ὑμῶν· ἀλλ' ὁποία ποτ' ἐστὶν αὕτη, μὴ γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρὸν, ἢ γεγενημένη νῦν δι' ὑμᾶς λυθῆναι. Πολλὰ γὰρ προείμεθα, ὧν ὑπαρχόντων τότ' ἂν ἢ νῦν ἀσφαλέστερος καὶ ῥᾴων ἦν ἡμῖν ὁ πόλεμος. 14. Δεύτερον δὲ ὁρᾶν, ὅπως μὴ προαξόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους, καὶ φάσκοντας Ἀμφικτύονας νῦν εἶναι, εἰς ἀνάγκην καὶ πρόφα-

---

καίως. — οὔτ' ἐξαπατ.) τουτέστιν οὐδ' ὥςπερ οἱ ἄλλοι ψευσάμενος ἐξηπάτησα ὑμᾶς, οὔτ' ἄλλων ψευδῆ λεγόντων ἐσίγησα, ὑμᾶς ὑπ' αὐτῶν ἐξαπατηθῆναι ἐάσας.

§. 11. οὐδ' εἰς μίαν δεινότ.) ἀντὶ οὐδαμῶς εἰς δεινότητά τινα. — δεινότητα) δύναμιν καὶ τέχνην. — ἀλαζονείαν) οὐδ' εἰς ἄλλο τι, δι' ὃ ἀλαζονεύεσθαι ἤθελον, τάχα εἰς προορατικὸν χάρισμα. — ἃ ἂν εἴπω) ἡ Ὑποτακτικὴ μετὰ τοῦ Ἂν ἔχει ἐνίοτε σημασίαν Μέλλοντος. — προῖκα) ἐξηγεῖται διὰ τοῦ ἑπομένου, καὶ οὐδέν. . . — προςηρτ.) ἀντὶ καὶ ὅτι οὐδὲν λῆμμα προςηρτ. ἐστὶ τοῖς ἐμοῖς λόγοις. Ἐπιβεβαιῶν τὰ παρ' αὐτοῦ πεπραγμένα ὁ Δ. προσκαλεῖ μετ' ἐμφάσεως τοὺς συμπολίτας αὐτοῦ εἰς μαρτυρίαν. — πρὸς οἷς) τουτέστι τοῖς ὑπ' ἐμοῦ πεπολιτευμένοις καὶ λεγομένοις.

§. 12. ὀρθὸν οὖν) ἡ Σύνταξ. φαίνεταί μοι οὖν (διὰ τοῦτο) τὸ συμφέρον. . . ὀρθὸν, τουτέστι τοιοῦτο οἷόν ἐστι, καθαρόν. — ἐπὶ θάτερα) Ἰδ. ΚΒ'. §. 43. — οἴχεται φέρον) ἀντὶ καταφέρει, φανερόν . . . ἐν ταύτῃ καὶ δύναμιν ταχείας ἐνεργείας. Ἰδ. Βιγέρ. σελ. 349. 95. — καθείλκυσε) κατ' ἀντιχρονισμὸν, ἀντὶ καθέλκει Βιγέρ. σελ. 209. — οὐκέτ' ἂν. . . ἂν λογίσ.) περὶ τοῦ διττοῦ Ἂν. Ἰδ. ΙΘ'. §. 4.

§. 13. Μετάβασις εἰς τὴν κυρίως ὑπόθεσιν τοῦ λόγου. — ὅπως) τουτέστι φροντίδα χρὴ ἔχειν, ὅπως μὴ τὴν εἰρήνην λύῃ τοῦτο ποιῶν. — σύνταξιν) φόρους, τέλη, τῶν συμμάχων. — μᾶλλον εἶχ.) ἡ Σύνταξ. μᾶλλον εἶχε καιρὸν τοῖς πράγμ. (τοῖς ἡμετέροις, τῆς πολιτείας) μὴ γενέσθαι, ἢ νῦν γεγενημένη λυθ. — καιρὸν εἶχ.) καιρὸν ἔχειν τινὶ, τουτέστι καίριον, ὅ ἐστιν ὠφέλιμον εἶναι.

§. 14. ὁρᾶν) φημὶ δεῖν. — φάσκ.) οἱ Ἀθηναῖοι δὲν ἐγνώριζαν τὴν σύνοδον ταύτην τῶν Ἀμφικτυόνων (Ὀλυμπ. ΡΗ', 3.) ὡς νόμιμον, ἐπειδὴ καὶ αὐτοὶ ἔλειπαν, καὶ οἱ Φωκεῖς ἀπεκλείσθησαν ἐξ αὐτῆς. — οὐκ ἂν) ἡ Σύνταξ. οἴομαι οὐδένα τούτων πολεμῆσαι ἂν ἡμῖν. Ἰδ. ΙΖ'. §. 12. — Θηβαίους) ἐννοείτω τις ἐνταῦθα τὸ βαθέως ἐρριζωμένον μῖσος τῶν Ἀθηναίων κατὰ τῶν Θηβαίων. — ἡδέως) τουτέστιν ἐπιτηδείως ἔχουσιν. — ἀναισθήτους) Ἰδ. ς'. §. 10. Κορν. Νέπ. Ἀλκιβ. 11. » omnes Boeotii magis firmitati corporis, quam ingenii acumini inserviunt. » Ἀθήναιος βιβλ. Ι'. σελ. 186. Ε. „ τοῦτο γὰρ ὡς ἀληθῶς Βοιωτικῆς ἐστιν ἀναισθησίας σύμπτωμα. " — τοῖς δὲ ἀγαθοῖς) ἀντὶ τὰ δὲ ἀγαθὰ ἄλλος τις (ὁ Φίλιππος) ὑφαρπάσεται. — ἐφεδ. καθ.) ἀντὶ ἐφεδρεύσει.

…νοῦ πολέμου πρὸς ὑμᾶς. Ἐγὼ γὰρ, εἰ γένοιθ' ἡμῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι' Ἀμφίπολιν, ἥτι τοιοῦτον … ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοὶ, μηδ' Ἀργεῖοι, … Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι τούτων οὐδένα πολεμῆσαι, καὶ πάντων ἥκιστα — καί μοι μὴ θορυβήσῃ μηδεὶς … ἂν ἀκούσῃ — Θηβαίους, οὐχ ὡς ἡδέως ἔχουσιν ἡμῖν, … ὡς οὐκ ἂν χαρίζοιντο Φιλίππῳ, ἀλλ' ἴσασιν ἀκριβῶς, … πάνυ φήσειέ τις αὐτοὺς ἀναισθήτους εἶναι, ὅτι, εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς αὐτοῖς, τὰ μὲν κακὰ πάνθ' ἕξουσιν αὐτοὶ, τοῖς δ' ἀγαθοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται. 15. Οὔκουν πρόειντ' ἂν ἑαυτοὺς εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρχῆς καὶ τῆς αἰτίας οὔσης τοῦ πολέμου· οὐδέ γε, εἰ πάλιν πρὸς τοὺς Θηβαίους πολεμήσαιμεν δι' Ὠρωπὸν, ἤ τι τῶν ἰδίων, οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς βοηθήσοντας ἂν οἴομαι, εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι, βοηθεῖν, οὐ συνεπιστρατεύσειν οὐδετέροις. 16. Καὶ γὰρ αἱ συμμαχίαι τοῦτον ἔχουσι τὸν τρόπον, ὧν καὶ φροντίσειεν ἄν τις, καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν· οὐκ ἄχρι τῆς ἴσης ἕκαστός ἐστιν εὔνους, οὔθ' ἡμῖν, οὔτε Θηβαίοις, ὥστε εἶναι καὶ κρατεῖν τῶν ἄλλων·

§. 15. εἰς τοῦτο) εἰς τοῦτον τὸν κίνδυνον. — τοὺς βοηθήσ.) ἐκεῖνοι, οἱ ὁποῖοι ἤθελον βοηθήσει ἡμᾶς ἢ αὐτοὺς, τότε μόνον θέλουσι βοηθήσει, ὅταν προσβάλῃ τις τοὺς συμμάχους αὐτῶν. — εἰ ἐμβάλοι) καὶ οὐχὶ ἐμβάλῃ· Ἰδ. ΚΓʹ. §. 19. — βοηθεῖν ἂν) Ἰδ. §. 14.

§. 16. τοῦτον) ἀναφέρεται εἰς τὰ ἀκόλουθα. Ἰδ. §. 9. — ὧν) συμμαχιῶν δηλ. — ἄχρι τῆς ἴσης) μοίρας δηλ. ταὐτὸν ἔοικε τῷ ἐξ ἴσης. Οὕτω δύναταί τις τὴν περίοδον ταύτην ἑρμηνεῦσαι· ἕκαστος γὰρ οὐχ οὕτως εὔνους ἐστὶν, ὥστε ἐξ ἴσου βούλεσθαι, καὶ εἶναι (τοὺς συμμάχους), καὶ κρατεῖν τῶν ἄλ. Ὁ Αὐγῆρος προβάλλει τὴν ἀνάγνωσιν, ὥστε σῶς τε εἶναι. — εἶναι) τὴν ἑαυτῶν ὕπαρξιν διατηρῆσαι, μὲ τὸ ὁποῖον ὕστερον συμφωνεῖ τὸ σῶς εἶναι. — ἅπαντες) οἱ συμμαχοῦντες. — οὐδὲ εἷς) βούλοιτο ἂν δηλ.



ἀλλὰ σῶς μὲν εἶναι ἅπαντες ἂν βούλοιντο, ἕνεκά γε ἑαυτῶν, κρατήσαντας δὲ τοὺς ἑτέρους δεσπότας ὑπάρχειν αὐτῶν, οὐδὲ εἷς.

17. Τί οὖν ἡγοῦμαι φοβερὸν, καὶ τί φυλάξασθαι φημὶ δεῖν ἡμᾶς; ὅπως μὴ κοινὴν πρόφασιν, καὶ κοινὸν ἔγκλημα ὁ μέλλων πόλεμος πρὸς ἅπαντας λάβῃ. Εἰ γὰρ Ἀργεῖοι μὲν, καὶ Μεσσήνιοι, καὶ Μεγαλοπολῖται, καί τινες τῶν λοιπῶν Πελοποννησίων, ὅσοι γε δὴ τὰ αὐτὰ τούτοις φρονοῦσι, διὰ τὴν πρὸς Λακεδαιμονίους ἡμῖν ἐπικηρυκείαν, ἐχθρῶς σχήσουσι, καὶ τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων· Θηβαῖοι δὲ ἔχουσι μὲν, ὡς λέγουσιν, ἀπεχθῶς, ἔτι δὲ ἐχθροτέρως σχήσουσιν, ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σώζομεν, καὶ πάντα τρόπον τὴν δυσμένειαν ἐνδεικνύμεθα αὐτοῖς· Θετταλοὶ δὲ, ὅτι τοὺς Φωκέων φυγάδας σώζομεν· Φίλιππος δὲ, ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας· φοβοῦμαι, μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενοι, κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δόγματα προστησάμενοι, εἶτ' ἐπισπασθῶσιν ἕκαστοι, πέρα τοῦ συμφέροντος ἑαυτοῖς, ἡμῖν πολεμῆσαι, ὥσπερ καὶ περὶ Φωκέας.

§. 17. ὅπως . . . λάβῃ) τουτέστι μὴ τοιοῦτος γένηται πόλεμος, ὥστε κοινὴν ἅπασι πρόφασιν παρέχειν. — Ὅλαι αἱ πολιτεῖαι τῆς Ἑλλάδος ἔχουσι παράπονα ἐναντίον τῶν Ἀθηνῶν, καὶ κοινή τις πρόφασις ἠμπορεῖ ὅλας νὰ τὰς ἑνώσῃ. — διὰ τὴν πρὸς) ἡ Σύνταξ. διὰ τὴν ἐπικηρ. πρὸς Λακεδ. καὶ (διὰ) τὸ δοκεῖν ἐκδέχ. (ἀποδέχεσθαι, ἐπαινεῖν) τι τῶν ἐκείνοις (τουτέστι ὑπὸ τῶν Λακεδαιμονίων) πεπραγμ. σχήσουσιν ἐχθρῶς ἡμῖν. Ἡ ἱστορία, τὴν ὁποίαν αἰνίττεται ὁ Δημοσθένης, δὲν εἶναι ἱκανῶς γνωστή. — φεύγοντας) ἐκ τῶν πόλεων τῆς Βοιωτίας, αἱ ὁποῖαι μετὰ τὸ τέλος τοῦ ἱεροῦ πολέμου ἔπεσον εἰς τὰς χεῖρας τῶν ἐκδίκησιν ζητούντων Θηβαίων. — πάντες . . . ἕκαστος) Βιγέρ. σελ. 151. XIV. — προστησάμ.) προφασιζόμενοι. — ἐπισπασθ.) τουτέστι ἑλκυσθῶσιν. — περὶ Φωκέας) γέγονε δηλ.

18. Ἴςε γὰρ δήπου τοῦθ', ὅτι νῦν Θηβαῖοι, καὶ Φίλιππος, καὶ Θετταλοὶ, οὐχὶ ταὐτὰ μάλιςα ἕκαςοι ἐσπουδακότες, ταὐτὰ πάντες ἔπραξαν· οἷον Θηβαῖοι, τὸν μὲν Φίλιππον παρελθεῖν καὶ λαβεῖν τὰς παρόδους οὐκ ἠδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὐτοῖς πεπονημένων ὕςατον ἐλθόντα τὴν δόξαν ἔχειν. 19. Νυνὶ γὰρ Θηβαίοις, πρὸς μὲν τὸ τὴν χώραν κεκομίσθαι, κάλλιςα πέπρακται, πρὸς δὲ τιμὴν καὶ δόξαν, αἴσχιςα. Εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐτοῖς ἐδόκει εἶναι. Ταῦτα δ' οὐκ ἠβούλοντο, ἀλλὰ τῷ τὸν Ορχομενὸν καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ δύνασθαι δὲ, ταῦτα πάνθ' ὑπέμειναν. 20. Φίλιππον τοίνυν τινὲς μὲν δήπου τολμῶσι λέγειν, ὡς οὐκ ἠβούλετο Θηβαίοις Ορχομενὸν καὶ Κορώνειαν παραδοῦναι, ἀλλ' ἠναγκάσθη. Ἐγὼ δὲ τούτοις μὲν ἐῤῥῶσθαι λέγω· ἐκεῖνο δὲ οἶδα, ὅτι οὐ μᾶλλόν γε ταῦτ' ἔμελεν αὐτῷ, ἢ τὰς παρόδους λαβεῖν ἠβούλετο, καὶ τὴν δόξαν τοῦ πο-

§. 18. οὐχὶ ταὐτά) τουτέςι καίπερ οὐ τὰ αὐτὰ ζητοῦντες, τὰ αὐτὰ ὅμως ἔπρ. — παρελθεῖν) εἰς τὴν Ἑλλάδα. δηλ. — τὰς παρόδ.) τουτέςι τὰς Θερμοπύλας. — τῶν αὐτ. πεπ.) οἱ Θηβαῖοι ἐπολέμουν ἤδη πρὸ πολλοῦ ἐναντίον τῶν Φωκέων μὲ ὅλην των τὴν δύναμιν.

§. 19. πρὸς τὸ τὴν χ. κεκ.) πολλὰς πόλεις τῆς Βοιωτίας καὶ Φωκίδος. — ἐδόκει ἂν εἶναι) πεπραγμένον· ἔπρεπε λοιπὸν νὰ συγχωρήσωσι τοῦτο καὶ χωρὶς τῆς ἑαυτῶν θελήσεως· καθὼς καὶ τὰ ἄλλα, τὰ ὁποῖα δὲν ἤθελον (ἃ οὐκ ἠβούλοντο), ἐὰν ἤθελον νὰ ἀπολαύσωσι τὸν σκοπὸν τῆς πλεονεξίας αὐτῶν.

§. 20. ἐῤῥῶσθαι λέγω) καθὼς τὸ χαίρειν, καὶ, πολλὰ χαίρειν λέγω, φράσεις τῆς ἀποβολῆς καὶ ὀλιγωρίας. „Ηρόδ. Β'. 117. „ Ομηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω.„ ὁ αὐτ. Θ'. 45. „ νῦν δὲ οἱ δέδεκται τὰ σφάγια ἐᾶν χαίρειν.„ — ὅτι. . . ἠβούλ.) ἠμπορεῖ νὰ μεταθέσῃ τις τὴν περίοδον οὕτω· ὅτι πολὺ μᾶλλον ἠβούλ. λαβεῖν τὰς παρ. ἢ ταῦτα (τὰ τῶν Θηβαίων ὀφέλη) αὐτῷ ἔμελε. Ἰδ. ΚΒ'. §. 23. — τοῦ δοκεῖν. . . εἰληφέναι) ἐπανάληψις ἐξηγοῦσα τὸ προηγούμενον, ὥςε δοκεῖν τὸν πόλεμον δι' αὐτ. κρίσιν εἰληφ.,



λέμου, τοῦ δοκεῖν δι' αὐτὸν κρίσιν εἰληφέναι, καὶ τὰ Πύθια θεῖναι δι' ἑαυτοῦ. Καὶ ταῦτ' ἦν ὧν μάλιςα ἐγλίχετο. 21. Θετταλοὶ δέ γε οὐδέτερα ἠβούλοντο τούτων, οὔτε Θηβαίους, οὔτε τὸν Φίλιππον μέγαν γενέσθαι· πάντα γὰρ ταῦτα ἐφ' ἑαυτοὺς ἡγοῦντο εἶναι· τῆς Πυλαίας δ' ἐπεθύμουν, καὶ τῶν ἐν Δελφοῖς, πλεονεκτημάτων δυοῖν, κύριοι γενέσθαι· τῷ δὲ τούτων γλίχεσθαι, τάδε συγκατέπραξαν. 22. Τῶν τοίνυν ἰδίων ἕνεκα ἕκαςον εὑρήσετε πολλὰ προηγμένον, ὧν οὐδὲν ἠβούλετο, πρᾶξαι. Τοῦτο μὲν τοίνυν, ὅτι τοιοῦτόν ἐςι, φυλακτέον ἡμῖν.

23. Τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν, ταῦτα φοβουμένους; Καὶ σὺ ταῦτα κελεύεις; Πολλοῦ γε καὶ δέω. Ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν, οὔτ' ἔςαι πόλεμος, νοῦν τε δόξομεν πᾶσιν ἔχειν, καὶ τὰ δί-

τουτέςι κριθῆναι. — Σημειωτέον ὅτι ἡ Διὰ πρόθεσις ἐνταῦθα, ἂν καὶ διαφόρως συντάσσηται, τὸ αὐτὸ ὅμως σημαίνει. Βιγέρ. σελ. 587. 82. — τὰ Πύθια θεῖναι) τὴν προεδρίαν καὶ ἐφορείαν τῶν Πυθίων ἀγώνων εἶχον οἱ Ἀμφικτύονες.

§. 21. τῆς Πυλαίας) συνόδου. Εἰς τὰς Πύλας ἐγίνοντο αἱ σύνοδοι τῶν Ἀμφικτυόνων ἐν μετοπώρῳ, εἰς τὰς ὁποίας οἱ Θετταλοὶ κατ' ἐκείνους τοὺς χρόνους δὲν εἶχον μέρος. — τῶν ἐν Δελφοῖς) ἐν Δελφοῖς ἐσυνάζοντο οἱ Ἀμφικτύονες τὴν ἄνοιξιν. Η ἐπιθυμία τῶν Θετταλῶν ἐπληρώθη μετὰ τὴν τελευτὴν τοῦ ἱεροῦ πολέμου.

§. 22. ἕκαςον εὑρ.) ἡ Σύνταξ. εὑρήσ. ἕκαςον προηγμ. πρᾶξαι πολλὰ· (κοινῶς γράφεται, εἰς τὰ πολλὰ, ἂν καὶ ἐκ τῶν καλλιωτέρων χειρογράφων λείπῃ τὸ, εἰς τὰ, τὸ ὁποῖον φαίνεται ὅτι εἶναι προσθήκη ἐκείνων, οἱ ὁποῖοι συνῆπτον τὸ πρᾶξαι μόνον μὲ τὸ ἠβούλετο, καὶ ἑπομένως ἔλειπεν ἐκ τοῦ πολλὰ, τὸ ῥῆμα, εἰς τὸ ὁποῖον ἔπρεπε τοῦτο νὰ ἀποδοθῇ) ἄν. — τοῦτο) μὴ τοῦτο γένηται.

§. 23. Ο Ῥήτωρ προλαμβάνει τὰς ἐνςάσεις ἐκείνων, οἱ ὁποῖοι ἤθελαν ἐξηγήσει τὴν συγκατάνευσιν εἰς τὰ ζητήματα τοῦ βασιλέως ὡς ἀναξίαν. — ἀλλ' ὡς οὔτε.) ἡ Σύνταξ. ἀλλ' οἴομαι δεῖξαι (οὐχὶ δείξειν. Ο Δημ. ἔκαμε σχεδὸν τὴν δεῖξιν), ὡς οὐδὲν πρ. ἄν. Η ἔννοια· ὡς τὸν πόλεμον φυλάξαντες οὔτε πράξ. οὐδὲν ἀνάξ. νοῦν τε. . .

καια λέγειν, τοῦτ' οἴομαι δεῖξαι. Πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους ὑπομένειν δεῖν, καὶ μὴ προορωμένους τὸν πόλεμον, ἐκεῖνα βούλομαι λογίσασθαι. 24. Ἡμεῖς Θηβαίους ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιτο ἡμᾶς, κελεύσας εἰπεῖν τἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν, φαίημεν ἄν. Καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας Ἀμφιπόλεως παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν ἔξω Χεῤῥονησιτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα τὰς νήσους καταλαμβάνειν, Χίον, καὶ Κῶν, καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα· δηλονότι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νομίζοντες, ἢ τὸ προσκρούειν, καὶ φιλονεικεῖν περὶ τούτων. 25. Οὔκουν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ' ἕνα οὑτωσὶ ἤδη προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς ἅπαντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι;

---

§. 24. Καρδιαν.) Καρδία, πόλις εἰς τὸν Ἰσθμὸν τῆς Θρᾳκικῆς χερσονήσου· τὴν δὲ χερσόνησον ταύτην ἐχάρισεν ὁ βασιλεὺς Κερσοβλέπτης τοῖς Ἀθηναίοις. Οἱ δὲ Καρδιανοὶ δὲν ἠθέλησαν νὰ ὑποταχθῶσιν εἰς αὐτούς, λέγοντες, ὅτι αὐτοὶ δὲν ἀνήκουσιν εἰς τὴν Χερσόνησον. — τὸν Κᾶρα) τὸν Ἰδριέα, βασιλέα τῆς Ἁλικαρνασσοῦ ἐν τῇ Καρίᾳ. — κατ. τὰ πλοῖα) τὰ ἡμέτερα δηλ. Τὸ Βυζάντιον ἔκλινε τότε πρὸς τὸ μέρος τοῦ Φιλίππου, καὶ φαίνεται ὅτι ἐμπόδιζε τὸ μεγάλον ἐμπόριον τῶν Ἀθηναίων εἰς τὸν Εὔξεινον πόντον.

§. 25. προσενηνεγμ.) προσφέρεσθαί τινι, καὶ πρός τινα. — περὶ τῶν οἰκ.) οἷον, περὶ τῆς κτήσεως τῆς Ἀμφιπόλεως καὶ Ὠρωποῦ. — ἀναγκαιοτ.) οἷον, τῆς ναυτιλίας εἰς τὸν Βόσπορον, ὅπευθεν αἱ Ἀθῆναι ἐλάμβανον τὸν σῖτον. — περὶ τῆς ἐν Δ. σκιᾶς) τὴν παροιμίαν αἰνίττεται. Περὶ ὄνου σκιᾶς, ἥτις λέγεται περὶ τῶν ἕνεκεν εὐτελῶν καὶ ἀνωφελῶν τινων ἐριζόντων.



## ΚΘ΄.

## Πνεῦμα καὶ χαρακτὴρ τῶν ἀρχαίων Ἀθηναίων, παραβαλλόμενα πρὸς τὰ τῶν νεωτέρων ἐπὶ Φιλίππου.

(Δημόσθ. λόγ. Γ΄. κατὰ Φιλίπ. σελ. 120.)

**Ἀφ' οὗ ὁ Ῥήτωρ ἔδειξεν ὅτι ὁ Φίλιππος μεταχειρίζεται πολὺ μεγαλητέραν δυναστείαν, παρὰ ἄλλη κἀμμία Ἑλληνικὴ δύναμις, εἰς τὴν ὁποίαν ἀντεστάθησαν αἱ Ἀθῆναι, ἐρωτᾷ περὶ τῶν αἰτιῶν τῆς ἀναλγησίας, μὲ τὴν ὁποίαν ἐθεώρουν οἱ συμπολῖταί του τὸν ἀπὸ τῆς Μακεδονίας ἐπαπειλούμενον κίνδυνον.**

1. Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν ἅπαντες οἱ Ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν. Ἦν τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου, καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας, οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο· νῦν δ' ἀπολωλὸς ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα. 2. Τί οὖν ἦν τοῦτο; οὐδὲν

---

ΚΘ΄.

§. 1. εἶχον ἑτοίμ.) τουτέστιν οἱ Ἀθηναῖοι ἕτοιμοι ἦσαν πάντα ποιεῖν ἐλευθερίας ἕνεκα. — τὸ δουλ.) τουτέστι τὸ δουλείας ζυγὸν ὑπομένειν. — ἀπολωλὸς) ὅτε ἀπόλωλε.

§. 2. ποικίλον) δόλιον, ἀγχίνουν. Ξενοφ. Ἀπομν. Σωκρ. Β΄. γ΄. 10. „ οὐδέν γε ποικίλον, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν μηχανᾶσθαι. " — παρὰ τῶν ἀρχ.) παρὰ τῶν φιλάρχων ἐχθρῶν τῆς Ἑλλάδος, καὶ μάλιστα τῶν Περσῶν. — δωροδοκοῦντα) τῆς δωροδοκίας ἐξελ. τινός.

ποικίλον, οὐδὲ σοφόν· ἀλλὰ τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων, ἢ διαφθείρειν τὴν Ἑλλάδα, χρήματα λαμβάνοντας, ἅπαντες ἐμίσουν· καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα ἐξελεγχθῆναι· καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον, καὶ παραίτησις ἦν οὐδεμία, οὐδὲ συγγνώμη. 3. Τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων, καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων, οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς βαρβάρους καὶ τοὺς τυράννους ἀπιστίαν, οὐδ' ὅλως τῶν τοιούτων οὐδέν. 4. Νῦν δ' ἅπανθ', ὥσπερ ἐξ ἀγορᾶς, ἐκπέπραται ταῦτα· ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. Ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἄλλα πάνθ', ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. 5.

§. 3. τὸν καιρ. τῶν πρ.) τὸν εὐνεικὸν καιρὸν εἰς ἐκτέλεσιν ἐπιχειρήματός τινος ἢ πρὸς ἀπόλαυσιν σκοποῦ τινος, τὸ ὁποῖον δὲν κρέμαται πάντοτε ἐκ τῆς συνέσεως καὶ δραστηριότητος, ἀλλὰ πολλάκις ἐκ μόνης τῆς τύχης. — τῶν προσεχ.) οἱ προσέχοντες, τὸν νοῦν τοῖς ἑαυτῶν πράγμασι, ἀντίκεινται τοῖς ἀμελοῦσιν· οἱ δὲ πάντα πράττοντες ἃ προσ. τοῖς μηδὲν ποιεῖν ἐθέλουσι.

§. 4. ἐκπέπραται) ἀπὸ τοῦ ἐκπιπράσκω. — ἀπόλωλε) πολλαῖς κακοῖς περιέπεσε. — νενόσηκεν) ἀσθενείαις περιέπεσεν. Ὁ Παρακείμ. φανερόνει τὴν διάρκειαν. Νοσεῖν εἰς μεταφορικὴν ἔννοιαν περὶ παρακμαζουσῶν πολιτειῶν. Ξενοφ. Απομν. Γ'. ε'. 18. « ἡγοῦμαι πονηρίᾳ νοσεῖν Ἀθηναίους. » Δημοσθ. Ολυνθ. Β'. σελ. 22. « Θετταλοὶ νοσοῦσι, καὶ στασιάζουσι, καὶ τεταραγμένοις. » — μῖσος ἂν) ἀντὶ ἐὰν τις ἐπιτιμᾷ (ἐπιτιμάῃ), τουτέστι μῖσος κατὰ τῶν ἐπιτιμώντων τοιοῦτο τι.

§. 5. ἐπεὶ) διότι οὕτω μόνον ἐξηγεῖται ἡ κακὴ ὑμῶν κατάστασις, ἐν ᾧ αἱ ἐξωτερικαὶ ἡμῶν ὠφέλειαι ηὐξήνθησαν. — σωμάτων) τῶν στρατιωτῶν καὶ μισθοφόρων.



Ἐπεὶ, καὶ τριήρεις γε καὶ σωμάτων πλῆθος, καὶ χρημάτων πρόσοδοι, καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαντα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ· ἀλλ' ἅπαντα ταῦτ' ἄχρηστα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.

6 Ὅτι δ' οὕτω ταῦτα ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου, καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν χρόνοις ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο, εἰς στήλην χαλκῆν γράψαντες, εἰς ἀκρόπολιν, οὐχ ἵνα αὐτοῖς ᾖ χρήσιμα (καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα ἐφρόνουν), ἀλλ' ἵν' ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παραδείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει. 7. Τί οὖν λέγει τὰ γράμματα; Ἄρθμιος, φησὶν, ὁ Πυθώνακτος, ὁ Ζελείτης, ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων, αὐτὸς καὶ γένος. Εἶθ'

§. 6. ταῦτα) εἰς τὸ ταῦτα ἀνήκει τὸ τὰ μὲν νῦν, καὶ τὰ δ' ἐν τοῖς ἄ. χρ. ὡς ἐπεξήγησις. Ἡ ἀνακολουθία ἠμπορεῖ νὰ λυθῇ οὕτως· ὅτι δὲ ταῦτα οὕτως ἔχει ἐν τοῖς γε νῦν γιγνομένοις αὐτοὶ ὁρᾶτε, ἐν δὲ τοῖς παλαιοτέροις γνώσεσθε ἐμοῦ δηλώσαντος. — λόγους) οἱ ὁποῖοι καὶ αὐτοὶ ἤθελον ἔχει χρείαν ἀποδείξεως. — ἀλλὰ γράμμ.) ἀναμφιβόλους ἐγγράφους ἀποδείξεις. Μὲ τὴν αὐτὴν δύναμιν ἀντίκειται καὶ τὸ δεικνύων τῷ λέγων. Σοφοκλ. Ηλεκ. 1452.

Αἴγισθ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
Ηλέκ. οὔκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.

— ἵνα ᾖ. . . ἔχητε) μετὰ τοὺς Αορίστους ὀρθότερον ἤθελεν ἦναι τὸ εἴη, καὶ, ἔχοιτε.

§. 7. οὐκ Ἀθήναζε) ἀνοίκειος προσθήκη ξένης χειρὸς τὸ οὐκ Ἀθήναζε, ἐκ τοῦ §. 8. Ἐπὶ τῆς στήλης δὲν ἠμπόρουν νὰ εὑρίσκωνται αἱ λέξεις αὗται· διότι μήτε ἐν τῷ Περὶ παραπρεσβείας λόγῳ, ὅπου (σελ. 428) φέρεται ἡ αὐτὴ ἐπιγραφὴ, εὑρίσκονται. Ἀλλὰ μήτε ὡς προσθήκη τοῦ Ῥήτορος κατ' ἐπεξήγησιν δὲν ἁρμόζουσιν ἐνταῦθα.

ἡ αἰτία προσγέγραπται, δι' ἣν ταῦτ' ἐγένετο· ὅτι, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν [οὐκ Ἀθήναζε]. Ταῦτ' ἐςὶ τὰ γράμματα. 8. Λογίζεσθε δὴ, πρὸς Διὸς καὶ θεῶν, καὶ θεωρεῖτε παρ' ὑμῖν αὐτοῖς, τίς ἦν ποτε ἡ διάνοια τῶν τότε Ἀθηναίων τῶν ταῦτα ποιούντων, ἢ τί τὸ ἀξίωμα; Ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον, δοῦλον βασιλέως (ἡ γὰρ Ζέλεια ἐςὶ τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ ἀτίμους εἶναι. 9. Τοῦτο δ' ἐςὶν οὐχ ἣν ἄν οὑτωσί τις φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ τοῦτ' ἔμελεν, εἰ τῶν Ἀθήνῃσι κοινῶν μὴ μεθέξειν ἔμελλεν; ἀλλ' οὐ τοῦτο λέγει· ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ φόνου δικάσασθαι, ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι· καὶ ἄτιμος, φησὶ, τεθνάτω. Τοῦτο δὲ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. 10. Οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς ἁπάντων τῶν Ἑλλήνων σωτηρίας αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται, ἢ διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον δ' οὕτω καὶ ἐτιμωροῦντο, οὓς ἂν αἴσθοιντο δωροδοκοῦντας, ὥςτε καὶ ςηλίτας ποιεῖν. 11. Ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ Βαρβάρῳ φοβερὰ, οὐχ ὁ Βάρβαρος τοῖς Ἕλλησιν. Ἀλλ' οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ' ὑμεῖς, οὔτε πρὸς τὰ τοιαῦτα, οὔτε πρὸς τὰ ἄλλα (Ἀλλὰ πῶς, ἴςε αὐτοί· τί γὰρ δεῖ περὶ πάντων ὑμῶν κατηγορεῖν;)· καὶ παραπλησίως δὲ, καὶ οὐδὲν βέλτιον ὑμῶν, καὶ ἅπαντες οἱ λοιποὶ Ἕλληνες. Διόπερ φημὶ ἔγωγε καὶ σπουδῆς πολλῆς, καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγματα προςδεῖσθαι.

§. 8. τὸ ἀξίωμα) ἡ γνώμη. — Ζελείτην) Ζέλεια, πόλις ἐν τῇ κατὰ τὸν Πόντον χώρᾳ Ζελιτιδι. — ἀνέγραψαν) ἀναγράφειν, καὶ ἐπὶ καλῷ καὶ ἐπὶ κακῷ σκοπῷ.

§. 9. οὑτωσί) ἁπλῶς. Αὕτη ἡ ἀτιμία οὐκ ἦν ἡ κοινῶς καλουμένη ἀτιμία. — κοινῶν) ἡ ἀτιμία συνίςατο συνήθως εἰς τὴν ςέρησιν τῶν πολιτικῶν δικαιωμάτων, τὰ ὁποῖα συνίςαντο πάλιν εἰς τὴν μετοχὴν τῶν κοινῶν τῆς πολιτείας πραγμάτων. Ἰδ. ΙΒ'. §. 3. ΙΛ'. §. 3. Τὸ πλέον σκληρότερον ἦτον, ὅτι τὸν ἄτιμον ὄχι μόνον νὰ ὑβρίσῃ τις ἠμπόρει, χωρὶς νὰ ὑπόκειται εἰς ποινὴν, καὶ νὰ κακομεταχειρισθῇ, ἀλλὰ καὶ νὰ φονεύσῃ. — φονικοῖς . . . νόμοις) φονικοὶ νόμοι λέγονται οἱ κατὰ τοῦ φόνου νόμοι, τῶν ὁποίων, ὡς φαίνεται, κανὲν τμῆμα ἐπεγράφετο „ὑπὲρ ὧν . . . τὸ ἀποκτεῖναι." — διδῷ) ὁ νόμος. — εὐαγὲς) θεμιτόν. Ἐν τούτῳ τῷ τμήματι εὑρίσκοντο οἱ νομικοὶ λόγοι, καὶ ἄτιμος τεθνάτω.

§. 10. μὴ τοῦθ' ὑπολ.) τουτέςιν εἰ μὴ τὸ ἐπιμελεῖσθαι τῆς Ἑλλάδος ὑπελάμβανον. — ςηλίτας ποιεῖν) τουτέςι τὰ αὐτῶν ὀνόματα ἀτιμίας χάριν ἐν ςήλαις ἀναγράφειν.



§. 11. ἔχετε) διάκεισθε. Ξενοφ. Απομν. Δ. ή. 7. „οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους." — ἀλλὰ πῶς) ἔχετε. Η Σύνταξ. τί γὰρ δεῖ περὶ πάντων κατηγορεῖν ὑμῶν; Ἰδ. περὶ τοῦ κατηγορεῖν ΚΑ'. §. 5. — παραπλησίως) ἔχουσιν.

## Α'.

## Σύγκρισις τῆς ἀρχαίας καταςάσεως τῆς δημοκρατίας τῶν Ἀθηναίων πρὸς τὴν κατάςασιν αὐτῆς ἐπὶ τῶν χρόνων τοῦ Δημοσθένους.

(Δημοσθ. Ολυνθ. Γ'. σελ. 34. ιι.)

Ὁ Δημοσθένης μεμφόμενος τὴν κουφόνοιαν καὶ χαυνότητα τῶν συμπολιτῶν αὐτοῦ παριςάνει εἰς αὐτοὺς ὡς ἐν εἰκόνι τοὺς ἀρχαίους χρόνους.

1. Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν τἠνάλλως προήρημαι λέγειν (οὐ γὰρ οὕτως ἄφρων, οὐδὲ ἀτυχής τις εἰμὶ ἐγὼ, ὥςτε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων), ἀλλὰ δικαίου πολίτου κρίνας τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. 2. Καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥςπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ

Α'.

§. 1. προήρημαι ἵν' ἀπέχθωμαι) ὀρθῶς ἕπεται ἐνταῦθα ἡ Υποτακτικὴ μετὰ τὸν Παρακείμενον διὰ νὰ φανερώσῃ τὴν ἔτι διαρκοῦσαν ἐνέργειαν. — ἀτυχὴς) ἀφυής. Παράβ. ἀριθμ. ΚΓ'. §. 13. — τῆς ἐν τῷ λέγειν χάρ.) ἡ ἐν τῷ λέγειν χάρις, ὁ ἔπαινος, τὸν ὁποῖον ἀποκτᾷ ὁ Ῥήτωρ κολακεύων τὰς διαθέσεις τῶν ἀκροατῶν αὐτοῦ. Εἰς ἄλλους τόπους λέγεται τοῦτο, πρὸς χάριν δημηγορεῖν, τῷ δήμῳ χαρίζεσθαι δημηγοροῦντα.

§. 2. τοὺς . . . λέγοντας) τοὺς παλαιοὺς ῥήτορας. — καὶ ὑμεῖς) ἀκούετε. — οἱ παριόντες) οἱ παρελθόμενοι, (Ιδ. ΚΗ'. §. 6.) οἱ ῥήτορες. — ἐκεῖνον) τὸν περίφημον κατ' ἐξοχήν. — Νικίαν) Ιδ. ΚΒ'. §. 1. — τὸν ὁμών. ἐμ.) τὸν Δημοσθένην, ςρατηγόν τινα Ἀθηναῖον ἐπὶ τοῦ Πελοποννησιακοῦ καὶ Σικελικοῦ πολέμου.



τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριςείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. 3. Ἐξ οὗ δὲ οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσομαι; προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει· καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς· 4. Καί τοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ἡμῶν. Εςαι δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεςι γενέσθαι.

5. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς, ὥςπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον· ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεὺς, ὥςπερ ἐςὶ

§. 3. οὗτοι) καταφρονητικῶς. — τί γράψω;) τίνα νόμον. — προπέποται) προδέδοται. Δημοσθ. ἐν τῷ Περὶ ςεφάν. σελ. 324. « οἱ τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ. » Κυρίως προπίνειν λέγεται ὅταν τις πίνων εἰς ὑγείαν παραδίδῃ τὸ ποτήριον τινί. — τῆς χάριτος) ἀντὶ δηλ. Ιδ. Γραμ. Βουτ. §. ΡΙΘ'. 6. — τούτων) τῶν ῥητόρων.

§. 4. κεφάλαια) ἐπὶ κεφαλαίων. — τῶν τ' ἐπὶ) περὶ τῶν ἔργων ἐπὶ τῶν πρ. Ιδ. §. 2. — οὐ γάρ . . . γενέσθαι) παρὰ προσδοκίαν ἔννοια, διὰ νὰ δώσῃ εἰς τὴν ἁπλῆν κατασκευήν, οὐ γὰρ ἀλλοτρίοις, ἀλλὰ οἰκείοις παραδείγμασι χρήσομαι, περισσότερον τόνον.

§. 5. οὐδ' ἐφίλουν αὐτοὺς) ἡ μετὰ τῆς ἀναφορικῆς Ἀντωνυμίας ἀρχομένη σύνταξις διακόπτεται πολλάκις, ὅταν ἤθελε παρεμπέσῃ ἄλλη πτῶσις, κατὰ τοῦτον τὸν τρόπον. Ιδ. Τόμ. Γ'. Περίοδ. Α'. ἀριθμ. Θ'. §. 51. — πέντε καὶ τεταρ.) σχεδὸν ἀπὸ Ὀλυμπ. ΟΖ'. 1. ὅτε ἔλαβεν αἱ Ἀθῆναι τὴν ἡγεμονίαν, ἕως Ὀλυμπ. ΠΖ', 1. ἢ ΠΗ'. 1. Ιδ. καὶ ἄλλον λογαριασμόν. ΚΓ'. §. 41. ΚΔ'. §. 7. —

προσῆκον Βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ, καὶ πεζῇ καὶ ναυμαχοῦντες, ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δὲ ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. 6. Ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι. Ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν, θεάσασθε, ὁποῖοι ἔν τε τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις. 7. Δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν, καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. 8. Οὐ γὰρ εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν

---

μύρια τάλ.) κατὰ τὸν Θουκυδ. ὑπῆρχεν ὁ θησαυρὸς τῶν Ἀθηνῶν πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου τάλαντα 9700. — εἰς τὴν ἀκρόπ.) Ἰδ. ΚΖ'. §. 5. — ταύτην τὴν χώρ.) τὴν Μακεδονίαν. — βασιλεὺς) Περδίκκας, θεῖος τοῦ Ἀμύντου. Ὁ Δημοσθ. διϊσχυρίζεται συχνάκις ὅτι ἡ Μακεδονία ἐξήρτητο τὸ ἀρχαῖον ἐκ τῶν Ἀθηνῶν, χωρὶς νὰ ἦναι οἱ λόγοι τῆς διϊσχυρίσεώς του ἱκανῶς σαφεῖς. — ὥσπερ προσῆκ.) κατὰ τὸν Εὐριπ. Ἰφιγέν. ἐν Αὐλ. 1400.

βαρβάρων δ' Ἕλληνας εἰκὸς ἄρχειν, ἀλλ' οὐ βαρβάρους,
. . . . Ἑλλήνων· τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι.

— αὐτοὶ) καὶ οὐχὶ διὰ τῶν μισθοφόρων. — κρείττω. . . τῶν φθον.) ἀντὶ τοῦ φθόνου, τὸν φθόνον τῇ δόξῃ ἐνίκησαν.

§. 7. κάλλη. . . ἱερῶν) αὐξητικὴ περίφρασις, ἀντὶ ἱερὰ κάλλιστα. — ἀναθημάτ.) ἀναθήματα, πᾶν εἶδος χαρισμάτων πρὸς στολισμὸν τῶν ναῶν, συμπεριλαμβανομένων δὲ καὶ τῶν ἀγαλμάτων. — τῷ τῆς πολιτ. ἤθει) ἐν τῇ δημοκρατικῇ ἰσότητι. — ὥστε τὴν Ἀρ.) ὁ λόγος, ὅς τις ἠμπόρει νὰ ἐξακολουθηθῇ οὕτως, ὥστε τὴν Ἀριστ. καὶ Μιλτιάδου οἰκίαν τῆς τοῦ γείτονος οὐ σεμνοτέραν εἶναι, μεταβάλλεται διὰ τὸ παρεντεθὲν, εἴ τις ἄρα. . . ἐστιν.

§. 8. εἰς περιουσίαν) ἵνα αὐτοί τι πλέον ἔχοιεν. — ἴσως) ἐπιεικῶς.



αὔξειν ἕκαστος ᾤετο δεῖν. Ἐκ δὲ τοῦ, τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν.

9. Τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις, οἷς εἶπον, προστάταις. Νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως ἢ παραπλησίως; 10. Καὶ τὰ μὲν ἄλλα σιωπῶ, πολλ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν δ' ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης, ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ηὐξήκαμεν. Ἢ φρασάτω τις ἐμοὶ παρελθὼν, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος.

---

§. 9. ἐκείνοις) τοῖς προγόνοις. — τῶν νῦν) (ἐν πολλοῖς χειρογράφοις γράφεται τούτων) τῶν χρηστῶν εἶναι προσποιουμένων.

§. 10. καὶ τὰ μὲν ἄλ.) προσεπινοείτω τις ἐνταῦθα ἀπόκρισίν τινα τῆς προηγηθείσης ἐρωτήσεως, οἷον· πολλοῦ γε δεῖ. — ἀλλ' ὅσης) ἀντὶ ἀλλὰ τοσαύτης, ὅσην αὐτοὶ ὁρᾶτε, ἐρημίας ἐπειλημμένοι, ἢ τοσαύτης, ἣν ὁρᾶτε, ἐρημίας περιεχούσης ἡμᾶς. — Λακεδαιμ.) εἰς τοὺς πρὸς τοὺς Θηβαίους δυστυχεῖς πολέμους. — Θηβ. ἀσχ.) διὰ τὸν ἱερὸν καλούμενον πόλεμον. — ἐξὸν) Ἰδ. Γραμ. Βουτ. §. ΡΛΒ'. Σημ. ϛ'. β. — βραβεύειν) κυρίως περὶ τῶν ἀγωνοθετῶν. — χώρ. οἰκ.) τῆς Ἀμφιπόλεως. Ἰδ. ΚΗ'. §. 10. — πλείω) μάλιστα διὰ τῶν ἐξόδων εἰς τοὺς μισθοφόρους. — ηὐξήκαμεν) κατὰ τὴν διόρθωσιν τοῦ Βαλκενάιρου, ἀντὶ ἠσκήκαμεν. Δημοσθ. Ὀλυνθ. Α'. σελ. 11. « ηὐξήσαμεν Φίλιππον ἡμεῖς καὶ κατεστήσαμεν τηλικοῦτον. » Παράβ. Κατὰ Φιλίπ. λόγ. Γ'. σελ. 118. 9.

11. Ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. Καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις, ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς, ἃς ἐπισκευάζομεν, καὶ κρήνας καὶ λήρους; Ἀποβλέψατε δὴ πρὸς τοὺς τὰ τοιαῦτα πολιτευομένους· ὧν οἱ μὲν ἐκ πτωχῶν ταχὺ πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. Ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται.

12. Τί δὴ τὸ πάντων αἴτιον τούτων; καὶ τί δή ποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. 13. Νῦν δὲ τοὐναντίον· κύριοι μὲν τῶν ἀγαθῶν οἱ

§. 11. ἀλλ', ὦ τᾶν) πλαστὴ ὑποφορὰ τινὸς τῶν ἀκροατῶν. — καὶ τί) ὁ Καὶ ἐπιτείνει τὴν ἐρώτησιν. — καὶ λήρους,) ἀναφέρων τόσον παιδαριώδη πράγματα προςθέτει μετ' ἀγανακτήσεως καὶ λήρους. Οὕτω καὶ Πλάτ. εἰς Γοργ. σελ. 490. C. „περὶ σιτία αὖ λέγεις, καὶ ποτά, καὶ ἰατροὺς, καὶ φλυαρίας.“ καὶ Εὔβουλ. παρ' Ἀθην. ΙΙ'. σελ. 347. D. „ἐσθίουσ' ἑκάστοτε ἄνηθα, καὶ σέλινα, καὶ φλυαρίας.“ — σεμνοτ.) κατὰ τοιοῦτον τρόπον, ὁποῖος μόνον εἰς δημόσια κτίρια ἁρμόζει. — εἰσὶ κατεσκ.) ἀντὶ κατεσκευάσαντο. Βιγέρ. σελ. 342. σημ.

§. 12. αὐτὸς) Ἰδ. §. 5. „αὐτοὶ στρατευόμενοι.“ ΚΖ'. §. 2. — καὶ ἀγαπητ.) ἡ Σύνταξ. καὶ ἀγαπητὸν ἦν ἑκάστῳ (ἴσως ἔγραψεν ὁ Δημ. ἑκάστων) μεταλαβεῖν τῶν ἄλλων. . . — ἀγαπητὸν, ποτὲ μὲν μετὰ Ἀπαρεμφάτου, ποτὲ δὲ μετὰ τοῦ Εἰ ἢ Ἐὰν, ἀντὶ ἀρκεῖσθαι. Ἰδ. §. 13.

§. 13. ἐν ὑπηρέτου) ἐν ᾧ δὲ ἤθελε κύριοι πολῖται· καὶ προσθ. μέρει) ἐν ᾧ ἔπρεπεν ὑμεῖς πανταχοῦ νὰ ἦσθε πρῶτοι) Δημοσθ. Ὀλυνθ. Β'. σελ. 22. „ἡ Μακεδονικὴ δύναμις ἐν μὲν προςθήκης μέρει (Ἰδ. Βιγέρ. σελ. 108, 47) ἐστί τις οὐ σμικρά.“ — θεωρικῶν)



πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται· ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα καὶ συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοΐδια πέμψωσιν οὗτοι· καὶ τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. 14. Οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς ἐπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασσεύουσι, χειροήθεις αὐτοῖς ποιοῦντες. Ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας. Ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ φρόνημα ἔχειν.

χρημάτων· τοὺς δύο ὀβολοὺς, τοὺς ὁποίους ἕκαστος πολίτης ἐλάμβανεν ἐκ τοῦ κοινοῦ θησαυροῦ εἰς ἀποζημίωσιν, ὅταν ἐπήγαινεν εἰς τὸ θέατρον. — βοΐδια) τὰ ὑπὸ τοῦ θησαυροῦ ἀγοραζόμενα, καὶ ἐπὶ τῶν δημοσίων ἑορτῶν ὑπὸ τοῦ λαοῦ ἐσθιόμενα ἱερεῖα. — τὸ πάντων ἀνανδρ.) Ἰδ. Γραμ. Βουτ. §. ΡΛϚ'. Γ'. ε. σελ. 509. π. 474. ν.

§. 14. καθείρξ.) ὡς ἄγρια θηρία, τὰ ὁποῖα διὰ τῆς καθείρξεως θέλει νὰ ἡμερώσῃ τις. — τιθασσ.) Πλούταρχ. ἐν βίῳ Νουμ. 8. „δημαγωγῶν καὶ τιθασσεύων τὸ θυμοειδὲς καὶ φιλοπόλεμον.“ καὶ ἐν Συγκρ. Λυκούργ. καὶ Νουμ. 4. „ὥσπερ ὄντως ἐν αὐτῷ τιθασσεύων τὸν πόλεμον.“ — ἔστι δὲ) τουτέστιν εἴ τις μικρὰ καὶ φαῦλα πράττῃ, οὐ δύναται μέγα φρόνημα λαβεῖν. — ἔχειν) αὐτοὺς δηλ.

# ΠΑΡΑΡΤΗΜΑ

ἐκ τῶν τοῦ Ηροδότου Μουσῶν.

Περὶ τῆς Ιωνικῆς διαλέκτου, τὴν ὁποίαν μεταχειρίζεται ὁ Ηρόδοτος σημειούσθω τις ἐν γένει, ὅτι τοὺς συνηρημένους σχηματισμοὺς ἐκφέρει ὁ Ηρ. ἀσυναιρέτως· τὰ ψιλὰ κ. π. τ. πρὸ τῶν δασυνομένων ἀφίνει ἀμετάτρεπτα· α καθαρὸν δὲν δέχεται, ἀλλὰ μεταβάλλει αὐτὸ εἰς η, τὸ ὁποῖον ϛοιχεῖον ἐν γένει μεταχειρίζεται συχνάκις· τὴν χρονικὴν αὔξησιν ἀμελεῖ πολλάκις· τὴν χασμῳδίαν δὲν ἀποφεύγει· εἰς τὰς εἰς αις καὶ οις ληγούσας Δοτικὰς προσθέτει καὶ ι, καὶ τίθησι Αρθρα προτακτικὰ ἀντὶ τῶν υποτακτικῶν. — Ολαι αἱ εἰς τὰς Σημειώσεις ἀραιῶς τυπωμέναι λέξεις εἶναι Ιωνικοὶ σχηματισμοί.

10476



## ΛΑ'.

## Σόλωνος ἀποδημίαι καὶ διατριβὴ παρὰ τῷ Κροίσῳ.

(Ηρόδ. Α'. κεφ. 29.)

1. Κροίσου Λυδῶν ἄρχοντος, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ελλάδος σοφιϛαί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαϛος αὐτέων ἀπικνέοιτο· καὶ δὴ καὶ Σόλων, ἀνὴρ Αθηναῖος, ὅς, Αθηναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. Αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Αθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἂν σφίσι Σόλων θῆται.

---

ΛΑ'.

§. 1. ἀπικν.) ἀντὶ ἀφικν. Ιδ. Γραμ. Βεύτ. §. ΙΑ'. — Σάρδις) Σάρδεις, μητρόπολις τῆς Λυδίας. — οἱ πάντες) οἱ τότε ἀκμάζοντες. — σοφιϛαί) φιλόσοφοι, ἁπλῶς χωρὶς τινος ἄλλης κακῆς σημασίας. — ἐόντες) ἀντὶ ὄντες. Γραμ. Βεύτ. §. ΙϚ'. Δ'. δ'. — ὡς . . . ἀπικν.) ἀντὶ ἄλλος ἄλλῳ χρόνῳ καὶ τρόπῳ. Θουκυδ. Α'. 15. „ ὡς ἕκαϛοι οἱ ἀϛυγείτονες ἐπολέμουν. » Ιδ. ΙΗ'. 2. » ἀπέπλευσαν ἐξ Ελλησπόντου ὡς ἕκαϛοι κατὰ πόλεις. » — καὶ δὴ καὶ) συμβάλλει εἰς τὸ νὰ κάμῃ περίϛασίν τινα εἰς ἀντίθεσιν πρὸς ἄλλην νὰ ἐξέχῃ, ὅθεν καὶ κεῖται πολλάκις μετὰ τὸ ἄλλος. Οὕτω Βιβλ. Δ'. 1. πολλάκις. Παράβ. καὶ ἀριθμ. ΑΓ'. §. 40. — ἔτεα) ἔτη. — θεωρίης) ἱϛορίας. — τῶν) ὧν — αὐτὸ ποιῆσαι) λῦσαι τοὺς νόμους δηλ. — τοὺς) οὕς.

(30.) 2. Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. Απικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ, ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. 3. Θεησάμενον δέ μιν τὰ πάντα, καὶ σκεψάμενον, ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε. „ Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαί μοι ἐπῆλθέ σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον. " 4. Ο μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπηρώτα. Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει. „ Ω βασιλεῦ, Τέλλον Ἀθηναῖον. " Αποθωυμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ἐπιστρεφέως. „ Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; " 5. Ο δὲ εἶπε. „ Τέλλῳ, τοῦτο μὲν, τῆς πόλιος εὖ ἡκούσης, παῖδες ἦσαν καλοί τε κἀγαθοὶ, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα· τοῦτο δὲ, τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο. 6. Γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. Καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως. "

(κεφ. 31.) 7. Ως δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον, εἴπας πολλά τε καὶ ὄλβια, ἐπη-

---

§. 2. ὦν) οὖν. — εἵνεκεν) ἀντὶ ἕνεκα· καθὼς καὶ τὸ παρακατ. ἐξεινίζετο, ἀντὶ ἐξενίζετο — μετὰ δὲ) ἡ Μετὰ ἀπολύτως κεῖται πολλάκις παρ' Ηροδ. ὡς καὶ ἄλλαι προθέσεις. — βασιληΐοισι) βασιλείοις. — ὄλβια) τουτέστι πλούσια.

§. 3. θεησάμ) ἀντὶ θεασάμ. — μίν) νιν, αὐτόν. — Τὸ θεᾶσθαι ἐκφράζει τὴν θέαν ἐν γένει, τὸ δὲ σκέπτεσθαι τὴν τῶν μερικῶν θεωρίαν. — ὥς οἱ) αὐτῷ. — εἴρετο) ἤρετο. Γραμ. Βουτ. §. ΡΛ'. σελ. 305. π. 283. ν. — ἡμέας (ἀντὶ ἡμᾶς, καὶ σέο, ἀντὶ σοῦ) γάρ) ὁ λόγος οὗτος περιέχει τὴν αἰτίαν τοῦ ἑπομένου ἵμερος ἐπῆλθε. Πολὺ ἀγαπᾷ ὁ Ηρόδ. ταύτην τὴν σύνταξιν. Βιγέρ. σελ. 495. σημ. Ιδ. καὶ ἀριθμ. ΛΒ'. §. 2. ΛΕ'. §. 11. — πολλὸς πολύς. — φιλοσοφέων) φιλοσοφεῖν, περὶ παντὸς εἴδους ἐπιστημονικῶν ἀσχολιῶν. Ιδ. ὄπισθ. Ισοκράτ. ἀριθμ. ΚΕ'. §. 9. — γῆν πολλὴν (τουτέστι πολλὰ τῆς γῆς) ἐπελήλ.) Ιδ. ΚΑ'. §. 4. — ἐπείρ.) ἀντὶ ἐπέρ. — ἐπείρ. μοι) ἡ γραφὴ τῆς Μοι ἐκ τῶν καλλίστων χειρογράφων, διὰ τῆς ὁποίας σηκόνεται ἡ τῆς Με κοινῆς γραφῆς ἀμφιβολία. Οὕτω Παυσαν. Η'. σελ. 634. » οὐκ ἐπῆλθεν ἔρεσθαί μοι. » καὶ ἄλλοι. Η Σύνταξ. ἐπῆλθέ μοι ἐπείρ. σέ.

§. 4. ὑποθωπ.) τουτέστι κολακεύσας, πρὸς χάριν λέξας. — τῷ ἐόντι χρησ.) τουτέστι τα ὄντα μετὰ ἀληθείας λέξας· καθὼς ἐκφράζεται καὶ ὁ Ξενοφ. Απομν. Β'. α'. 27. Ηρόδ. Κ'. 106. „ εἰ [illegible] ἔρα τι τοῦτο ποιεῦσι, καὶ σὺ τὸ ἐὸν ἀκήκοας. » — ἀποθωυμ.) ἀντὶ ἀποθαυμ. — ἐπιστρεφέως) μετ' ἐμφάσεως. Ιδ. Λς'. §. 25. « ἐπεστραμμένα λέγειν.» — κοίῃ) ἀντὶ ποίᾳ, γνώμῃ δηλ. Ιδ. Γραμ. Βουτ. §. Ι'. Σημ. γ'.

§. 5. τοῦτο μέν. . . τοῦτο δὲ) Βιγέρ. σελ. 24. σημ. 20. — πόλιος) Ιδ. Γραμ. Βουτ. §. ΜΔ'. Σημ. γ'. — εὖ ἡκούσης) τουτέστιν ἐχούσης. Βιγέρ. σελ. 257. ΙΙ. ὡς ἐπὶ τὸ πλεῖστον μετὰ Γενικῆς πράγματος, καθὼς κατωτέρω « βίου εὖ ἥκοντι» καὶ « χρημάτων εὖ ἥκοντας". ἀριθμ. ΛΓ'. §. 4. Καταλληλότερον ἤθελεν εἶναι κατὰ τὸ ἰδίωμα τῆς γλώσσης τοῦτο τό, τῆς πόλιος εὖ ἥκοντι. — σφι) σφίσι. — ὡς τὰ παρ' ἡμῖν) ἐστὶ δηλαδή. τουτέστιν ὡς κατὰ τὴν ἡμετέραν τύχην. Οὕτω καὶ ἐν βίῳ Ομήρου. σελ. 749. » πεπαιδευμένος τε ἀνὴρ, ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ. » Θουκυδ. ς'. 20. » τὸ δὲ πλῆθος ὡς ἐν μιᾷ νήσῳ. »

§. 6. τροπὴν ποιήσας) τουτέστι τρέψας. — αὐτοῦ τῇ περ (ᾗ περ) ἔπεσε) Παράβ. ἀριθμ. Κ'. §. 3.

§. 7. Η Σύνταξ. Ως δὲ ὁ Σόλων τὰ κατὰ τὸν Τέλλ. εἴπας προετρ. (τουτέστι πρὸς τὸ ἐρωτᾷν ἐτρέψατο, τουτέστιν ἐκίνησεν) ὁ Κροῖσος ἐπηρώτα. — Αἱ λέξεις πολλά τε καὶ ὄλβια, εἰσὶ προσθή-

ρώτα, τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι· δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. Ο δὲ εἶπε. „ Κλέοβίν τε καὶ Βίτωνα. Τούτοισι γὰρ ἐοῦσι γένος Αργείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν, καὶ δὴ λέγεται ὅδε ὁ λόγος. 8. Εούσης ὁρτῆς τῇ Ηρῃ τοῖσι Αργείοισι, ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν· οἱ δὲ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληϊόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἷλκον τὴν ἅμαξαν· ἐπὶ τῆς ἁμάξης δέ σφι ὀχέετο ἡ μήτηρ. Σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες, ἀπίκοντο ἐς τὸ ἱρόν. 9. Ταῦτα δέ σφι ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς

---

κα κατ' ἐπεξήγησιν τοῦ τὰ κατὰ τὸν Τέλλ. — γῶν) γοῦν. — δευτερεῖα) τὸ δεύτερον ἆθλον, ὡς νὰ ἦτον λόγος ἐνταῦθα περὶ ἀγῶνος τῆς ὀλβιότητος. — βίος) ὡς καὶ ἐν §. 5. ἀντὶ χρήματα. — τοιήδε) τὸ τοιήδε ἐξηγεῖται ἐξ ἡμισείας εἰς τὸ ἀκόλουθον κῶλον· τὰ δὲ λοιπὰ ἐξηγεῖ ἡ ἱςορία· ῥώμη τοσαύτη, ὥστε νικᾷν ἐν τοῖς ἀγῶσι, καὶ οἵους τε γενέσθαι ἕλκειν τὴν μητέρα ἐφ' ἁμάξης καθεζομένην ςαδίους πέντε καὶ τεσσαράκοντα. Περὶ τῆς ἱςορίας παραβ. Κικέρ. Qu. Tusc. I. 47.

§. 8. ὁρτῆς) ἑορτῆς. — τὴν μητ.) ἱέρειαν οὖσαν τῆς Ηρας. — ἐκκληϊόμ.) ἀντὶ ἐκκλειόμενοι· τῷ χρόνῳ βιαζόμενοι.

§. 9. ὑπὸ τῆς πανηγ.) τουτέςιν ὑπὸ τῶν ἐπὶ τῇ ἑορτῇ παρόντων. — διέδεξε) διέδειξε. — ὡς εἴη) ἡ Εὐκτ. ἐκφράζει τὰς βουλὰς τοῦ θεοῦ· ὡς ἔςι δὲ ἤθελεν ἦναι ἡ ἰδία τοῦ Ηροδ. κρίσις. Ιδ. ἀριθμ. ΙΖ'. §. 9. — μᾶλλον) τὸ μᾶλλον, μετὰ τὸ ἄμεινον, πλεονάζει, ὡς μετὰ τὸ συγκριτικὸν πολλάκις. Ιδ. §. 14. — τὴν ῥώμην) οὐχὶ, καθὼς εὑρίσκεται ἐν τισι χειρογράφοις, τὴν γνώμην, ὅπερ περιέχεται κατὰ τὴν ἔννοιαν ἐν τῷ ἑπομένῳ. Φυσικὸν ὅτι ἄνδρες πρὸ πάντων θαυμάζουσι τὴν ὑπερβολικὴν ῥώμην ἄλλων ἀνδρῶν. — οἵων τέκνων) ἀντὶ ὅτι τοίων τέκνων. Ηροδ. Η'. 111. „ ἰδόκεέ τι ὑμῖν λήσειν οἷα ἐμηχανῶ τότε. " Αἰσχύλ. Πέρσ. 7.. „ ὡς ἰδεῖν τέλος πάρεςιν οἷον ἤνυσε κακόν, " καὶ Θεόκριτ. Εἰδύλ. Β'. „ ... μέμφομαι οἷά με ποιεῖ. "



πανηγύριος, τελευτὴ τοῦ βίου ἀρίςη ἐπεγένετο. Διέδεξε δὲ ἐν τούτοισι ὁ θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Αργεῖοι μὲν γὰρ περιςάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην· αἱ δὲ Αργεῖαι, τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε. 10. Η δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, ςᾶσα ἀντίον τοῦ ἀγάλματος, εὔχετο, Κλεόβι τε καὶ Βίτωνι, τοῖσι ἑωϋτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄριςόν ἐςι. Μετὰ ταύτην δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι, οὐκέτι ἀνέςησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσχοντο. Αργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι, ἀνέθεσαν ἐς Δελφοὺς, ὡς ἀνδρῶν ἀρίςων γενομένων. "

(κεφ. 32.) 11. Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι. Κροῖσος δὲ σπερχθεὶς εἶπε. „ Ω ξεῖνε Αθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέῤῥιπται ἐς τὸ μηδὲν, ὥςτε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; " 12. Ο δὲ εἶπε. „ Ω Κροῖσε, ἐπιςάμε-

---

§. 10. τοῦ ἀγάλμ.) τῆς Ηρας. — εὔχετο) ἀντὶ ηὔχετο. — ἑωϋτῆς) Ιδ. Γραμ. Βουτ. §. ΞΘ'. Σημ. ε'. — ἐν τέλει ἔσχ.) ἀντὶ τούτου τοῦ θανάτου ἔτυχον.

§. 11. ἔνεμε) ὡς ἀγωνοθέτης. — σπερχθεὶς) ὀργισθεὶς, θυμωθεὶς. — ἀπέῤῥιπται) εἰκονικώτερον καὶ ἐμφατικώτερον παρὰ τὸ καταφρονεῖται.

§. 12. ἐπιςάμ. . . πέρι) ἡ συνέχεια τῶν δύω λόγων τούτων σαφηνίζεται ἀπὸ τὴν πρόοδον τῆς ὁμιλίας. Ο Σόλων δὲν τολμᾷ νὰ ἀποφασίσῃ περὶ πραγμάτων ἀνθρωπίνων, ἠξεύρων ὅτι ταῦτα κρέμανται ἐκ τῆς καλῆς ἢ κακῆς διαθέσεως τῶν θεῶν. — τὸ θεῖον (ὁ δαίμων) φθονερὸν) οἱ θεοὶ, ζηλότυποι εἰς τὴν ὑπεροχὴν αὐτῶν, φθονοῦσι τοὺς ἀνθρώπους διὰ τὴν ἀπόλαυσιν ἀταράχου εὐδαιμονίας, ἡ ὁποία ἤθελε κάμει αὐτοὺς ὁμοίους μὲ ἐκείνους. — ταραχῶδες.)

νόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηΐων πρηγμάτων πέρι; Ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἐςιν ἰδέειν, τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθέειν. 13. Ες γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. Οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακιςχιλίας καὶ διςμυρίας, ἐμβολίμου μηνὸς μὴ γενομένου. Εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε· ἡμέ-

ταρχῶν αἴτιον. — χρόνῳ) τοῦ βίου. — τὰ (ἃ) μή τις ἐθέλει) τουτέςι λυπηρὰ καὶ δύςηνα.

§. 13. προτίθημι) ἡ Πρὸ ἐν συνθέσει σημαίνει ἐνίοτε τὸ πόρρω. — οὗτοι ἐόντες (πλεοναςικῶς) ἐνιαυτ. ἑβδ.) ἀντὶ οὗτοι οἱ ἑβδομ. ἐν. — μὴ γενομένου) τουτέςιν εἰ μὴ ἐγένετο, ἦν. — ἐθελήσει. . . γίν.) τὸ Θέλω κεῖται πολλάκις παρ' Ηροδότῳ περιφραςικῶς, ὥςτε ἡ σημασία τοῦ μετὰ τούτου κυριακευμένου Απαρεμφάτου ἤτοι παντελῶς ου μεταβάλλεται δι' αὐτοῦ, ἢ ολίγον τι. Οὕτω βιβλ. Α'. 109. « εἰ δὲ θελήσει, τούτου τελευτήσαντος, ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννίς. » — Ο λογαριασμὸς εἰς τὸ χωρίον τοῦτο κατὰ τὴν κοινὴν γραφὴν δὲν εἶναι ὀρθός. Αν 70 ἔτη, χωρὶς τῶν ἐμβολίμων ἐτῶν = 25200 ἡμ. τὸ ἔτος λοιπὸν = 360 ἡμ. Αν ὅμως 70 ἔτη, συναριθμουμένων καὶ τῶν ἐμβολίμων ἐτῶν, = 26250 ἡμ. τὸ ἔτος λοιπὸν = 375 ἡμ. ὅθεν πολὺ μακρότερον, καὶ τὸ ακουόμενον ὄφελος « ἵνα αἱ ὧραι συμβαίνωσι » χάνεται. Υπολαμβάνουσι λοιπόν τινες, ὅτι ὁ Σόλων μετεχειρίσθη τὴν χρονολογίαν τῶν Λυδῶν, κατὰ τὴν ὁποίαν ὁ χρόνος πιθανῶς = 350 ἡμ. ὥςτε ἔπρεπε κατὰ διετίαν νὰ ἐμβάλλωνται 30 ἡμ. τὸ ὁποῖον ὀνομάζει ὁ Σόλων, κατὰ τὸν τρόπον τῶν Ελλήνων, ἕνα μῆνα. Αλλὰ τὸν πρῶτον ἀριθμὸν ἐκλαμβάνουσιν ὡς διεφθαρμένον, ὅθεν καὶ γράφουσιν ἡμέρας πεντηκοσίας καὶ τετρακιςχιλίας καὶ διςμυρίας, 24500 Πλὴν καὶ οὕτω καθεὶς βλέπει ὅτι τὸ μέσον τοῦτο τῆς διορθώσεως εἶναι βιασμένον. — ἡ ἑτέρη. . . προςά.) τουτέςι ἄλλη ἄλλο τι προςάγει ἡμέρα. — (κατὰ) πᾶν ἐς. ἄν. συμφορὴ) ἀντὶ κεῖται τὰ ἀνθρώπινα συμφορᾶς μεςά.



ραι δὲ ἐκ τῶν μηνῶν τούτων χίλιαι πεντήκοντα. Τουτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσίων καὶ ἑξακιςχιλιέων καὶ διςμυριέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τοπαράπαν οὐδὲν ὅμοιον προςάγει πρῆγμα. Οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐςὶ ἄνθρωπος συμφορή. 14. Εμοὶ δὲ σὺ καὶ πλουτέειν μὲν μέγα φαίνεαι, καὶ βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με, οὔκω σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. Οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐςι, εἰ μὴ οἱ τύχη ἐπίσποιτο, πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσι· πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. Ο μὲν δὴ μέγα πλούσιος, ἀνόλβιος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος μούνοισι· οὗτος δὲ, τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖσι. 15. Ο μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προςπεσοῦσαν ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, τοῖσι δὴ προέχει ἐκείνου, ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ

§. 14. τὸ (ὃ) εἴρεο (ἤρου) με, εἴ σε ὄλβιον νομίζω δηλ. οὔκω (οὔπω) σε ἐγ. λ. — πύθωμαι ἂν) ὁ Αόριςος τῆς Υποτακτικῆς μετὰ τοῦ Αν ἔχει πολλάκις σημασίαν Μέλλοντος τετελεσμένου. Γραμ. Βουτ. §. ΡΚς'. ι. — μᾶλλον ὀλβιώτ.) Ιδ. §. 9. — εἰ μὴ. . . βίον) ἀντὶ εἰ μὴ ἐν πᾶσι τοῖς καλοῖς θάνοι. Τὸ Επεσθαι λέγεται παρὰ ποιηταῖς κατ' ἐξοχὴν περὶ τῆς μοίρας καὶ τύχης. Πίνδαρ. Πυθ. Γ'. 150. „ τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται. » ὁ αὐτ. Ε'. 72. « Βάττου ἕπεται παλαιὸς ὄλβος. » — μετρ. ἔχ. βίου) καθὼς τὸ ἥκοντες. §. 5. ἀντὶ μέτριον βίον ἔχοντες. Βιγέρ. σελ. 248.

§. 15. ὁ μὲν) πλούσιος. — δυνατ.) τουτέςι μᾶλλον δύναται. — ἐνεῖκαι) ἀντὶ ἐνέγκαι. — ὁ δὲ) μετρίως ἔχων βίου. — τελ. τὸν βίον εὖ) ὁ Ηρόδ. συνειθίζει νὰ τελειόνῃ τὸν λόγον διὰ περισσοτέραν ἔμφασιν μετὰ τοῦ εὖ. Ιδ. ΑΒ'. §. 4. οὗτος. . . ἐςὶ) ἡ Σύνταξις· οὗτος ἐκεῖνός ἐςιν ἄξιος καλ. ὄλβιος.

ἀπερύκει. Ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. Εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι, πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχέειν, μηδὲ καλέειν κω ὄλβιον, ἀλλ' εὐτυχέα. 16. Τὰ πάντα μέν νυν ταῦτα ξυλλαβεῖν ἄνθρωπον ἐόντα, ἀδύνατον· ὥσπερ χώρη οὐδεμίη καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, ἀρίστη αὕτη. Ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι. Ὃς δ' ἂν αὐτέων πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δικαιός ἐστι φέρεσθαι. Σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν κῆ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προῤῥίζους ἀνέτρεψε."

(κεφ. 33.) 17. Ταῦτα λέγων τῷ Κροίσῳ οὔκως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς ἀποπέμπεται· κάρτα δόξας ἀμαθὴς εἶναι, ὃς, τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾷν ἐκέλευε.

---

§. 16. ξυλλαβεῖν) ἅμα ἕξειν. — ἄνθρ. ἐόντα) φανερόνει τὸν περιορισμὸν τοῦ ἀνθρώπου. Οὕτως Εὐριπ. Αντιόπ. λείψ. λά. „ἄνθρωπος ὢν οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν." — ὡς δὲ) οὕτως ... ἀνθρώπου σῶμα) κατὰ περίφρασιν, ἀντὶ ἄνθρωπος. — ἓν οὐδὲν) Βιγήρ. σελ. 468, σημ. Ἰδ. ἀριθμ. ΚΑ'. §. 11. — οὐδὲν αὔταρκες) μηδενὸς ἄλλου προσδεόμενος. — εὐχαρίστ.) τουτέστι καλῶς, ἐνδόξως. — παρ' ἐμοὶ) Ηροδ. Γ'. 160. „παρὰ Δαρείῳ κριτῇ" — δικαιός ἐστι) μετὰ Απαρεμφ. ταὐτὸν τῷ ἄξιος. Βιγήρ. σελ. 86. VII. — ὑποδέξας) ἀντὶ ὑποδείξας. ἡ Ὑπὸ ἐν συνθέσει σημαίνει ἐλάττωσιν.

§. 17. οὔτε ἐχαρίζετο) ἀντὶ οὐδὲν εἰς χάριν ἔλεγεν, οὐ χαριζόμενος τῷ βασιλεῖ. — ποιησάμ.) μηδενὸς λόγου ἄξια ποιησάμενος ... ἀνόητα αὐτοῦ ζητήματα. Τὸ χωρίον οὔτε λόγου μιν (Κροῖσον) ποιησάμ., ἠμπορεῖ νὰ ἐξηγήσῃ τις οὕτω· καὶ ἀποπέμπεται· λόγου μιν ποιησάμ. οὐδενός. Εἶναι τραχὺ τὸ μὲν ἐχαρίζετο νὰ ἀναφέρῃ τις εἰς τὸν Σόλωνα, τὸ δὲ ἀποπέμπεται εἰς τὸν Κροῖσον.



(κεφ. 34.) 18. Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον· ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον.

## ΛΒ'.

## Τυραννία τοῦ Πεισιστράτου.

(Ηρόδ. Α'. 58. καὶ ἑξ.)

1. Πεισίστρατος ὁ Ἱπποκράτεος, στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀριστολαΐδεω, καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν. Ξυλλέξας δὲ στασιώτας, καὶ τῷ λόγῳ τῶν ὑπερακρίων προστὰς, μηχανᾶται τοιάδε. 2. Τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους, ἤλασεν ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθροὺς, οἵ μιν

---

§. 18. νέμεσις) ἡ θεία ἐκδίκησις τῆς ὑπερηφανίας. — ὡς εἰκάσαι) ἐστὶ δηλ. Σοφοκλ. Οἰδ. ἐν Κολ. 17." χῶρος δ' ὅδ' ἱερὸς, ὡς ἐπεικάσαι, βρύων δάφνης." Ηρόδ. Θ'. 32. "ὡς δὲ ἐπεικάσαι ἐστί."

ΛΒ'.

§. 1. στασιαζ.) Ἰδ. περὶ τῶν τριῶν τούτων στάσεων Πλούταρχ. ἐν Βίῳ Σόλ. κεφ. 13. ὅστις καὶ ὀνομάζει αὐτὰς παράλους, πεδιεῖς, καὶ διακρίους, ὀνόματα, τὰ ὁποῖα φανερόνουσι τοὺς διαφόρους τόπους, εἰς τοὺς ὁποίους ἦσαν αἱ στάσεις. — καταφρον.) εἰς ἀσυνήθη σημασίαν, ἀντὶ τοῦ, φρονήσας, ἐρασθεὶς τῆς τυραννίδος. Ὅμοιον τούτῳ εἶναι τρόπον τινὰ καὶ τὸ (Ηρόδ. Α'. 66)" καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι." καὶ Ἀριστοφ. Σφ. 506. " αἰτίαν ἔχω ταῦτα δρᾷν, ξυνωμότης ὢν, καὶ φρονῶν τυραννίδα."

§. 2. τρωματ.) ἀντὶ, τραυματ' — δῆθεν) ὡς αὐτὸς ἔφη. Τὸ Δῆθεν λέγεται πολλάκις μετ' εἰρωνείας, πρόφασιν σημαῖνον. Ἰδ. ἀριθμ.

ἐλκύνοντα εἰς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν. Ἐδέετο δὲ τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νισαίην τε ἑλὼν, καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. 3. Ο δὲ δῆμος ὁ τῶν Αθηναίων ἐξαπατηθεὶς ἔδωκε οἱ τῶν ἀστέων καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγενέατο Πεισιστράτου, κορυνηφόροι δὲ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντο οἱ ὄπισθε. Ξυνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν. 4. Ενθα δὴ ὁ Πεισίστρατος ἦρχεν Αθηναίων, οὔ τε τιμὰς τὰς ἐούσας ξυνταράξας, οὔτε θέσμια μεταλλάξας· ἐπί τε τοῖσι κατεστεῶσι ἔνεμε τὴν πόλιν κοσμέων καλῶς τε καὶ εὖ.

(κεφ. 60.) 5. Μετὰ δὲ οὐ πολλὸν χρόνον τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέους στασιῶται καὶ οἱ τοῦ Λυ-

---

ΙΗ'. 14. §. Οὕτω καὶ ἐν Βιβλ. ς'. κ. Ηρόδ.» ὁ δὲ οὐδὲ εἰδέναι ἔφη. ἐθωύμαζε δὲ τὸ γεγονὸς, ὡς οὐδὲν δῆθεν τῶν παρεόντων πρηγμάτων ἐπιστάμενος.» Βιγέρ. σελ. 499. σημ. — ἐδέετο) ἐδεῖτο. — πρὸς Μεγ.) Ιδ. ἀριθμ. Λ'. §. 5. — Νισαίην) Ιδ. ἀριθμ. ΙΗ'. §. 50. — ἀποδεξάμ.) Ιδ. ΛΔ'. §. 16.

§. 3. ἐγενέατο) ἐγίνοντο. — ἔσχον) ἀντὶ, κατέλαβον.

§. 4. τιμὰς) τὰ ἀρχοντικὰ ἀξιώματα. — θέσμια) νόμους. — ἔνεμε κοσμέων) καὶ αἱ δύο λέξεις εἰσὶ σχεδὸν συνώνυμοι. Κοσμεῖν παρ' Ομήρῳ ἀντὶ τοῦ διατάττειν. — ἐπί τε τοῖσι κατ.) τουτέστι, πάντα φυλάττων τὰ καθεστῶτα· ἡ Επὶ μετὰ Δοτικῆς σημαίνει συνθήκην. — καλῶς καὶ εὖ) τὸ εὖ εἰς τὸ τέλος. Ιδ. ΛΔ'. §. 15.

§. 5. πολλὸν) πολύν. — τὠυτὸ φρον.) τουτέστιν, συμφρονήσαντες. Ιδ. ΛΓ'. §. 22. — αὖθις ἐκ νέης) Πλούταρχ. Τόμ. Β'. σελ. 959.» ἐκ νέας αὖθις ἀρχῆς.» — περιελαυν.) ταρασσόμενος, διωκόμενος. — οἱ τὴν θυγ.) ἀντὶ, τὴν ἑαυτοῦ θυγ. Οἱ Ιωνες συνειθίζουσι νὰ μεταχειρίζωνται τὴν Δοτικὴν τῆς Αντωνυμίας ἀντὶ τῆς Γενικῆς. Τοιοῦτον εἶναι καὶ τὸ παρὰ Σοφοκλ. ἐν Αἴαντι. 874.» ὦ τροφεῖς μοι.» καὶ Εὐριπ. Ιφιγ. ἐν Αὐλ. 613.» ὦ τέκνον μοι.» — ἐπὶ τῇ τυρ.) Λόγγος βιβ. Γ'. σελ. 95.» ἄνδρα ποιήσεται τινα ἐπὶ μισθοῖς μεγάλοις. Βιγέρ. σελ. 619.



κούργου, ἐξελαύνουσί μιν. Οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Αθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων ἀπέβαλε. Οἱ δὲ ἐξελάσαντες Πεισίστρατον αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισιν ἐστασίασαν. Περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι. 6. Ενδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τουτέοισι Πεισιστράτου, μηχανέονται δὴ ἐπὶ τῇ κατόδῳ πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ. — Εν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ τῇ οὔνομα ἦν Φύη, μέγαθος ἀπὸ τεσσέρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους, καὶ ἄλλως εὐειδής. 7. Ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες, καὶ προδέξαντες σχῆμα οἷόν τι ἔμελλεν εὐπρεπέστατη φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον ἐς τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε.» Ω Αθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, τὸν αὐτὴ ἡ Αθηναίη τιμήσασα ἀνθρώπων μάλιστα, κατάγει ἐς τὴν ἑωυτῆς ἀκρόπολιν». 8. Οἱ μὲν δὴ ταῦτα διαφοιτέοντες ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς δήμους φάτις ἀπίκετο, ὡς Αθηναίη Πεισίστρατον κατάγει, καὶ ἐν τῷ ἄστεϊ, πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον, καὶ ἐδέκοντο τὸν Πεισίστρατον.

---

§. 6. τὸν λόγον) τὴν προβληθεῖσαν συμφωνίαν. — ἐπὶ τῇ κατ.) ἡ Επὶ φανερόνει σκοπόν. Βιγέρ. σελ. 622. σημ. — εὑρίσκω) νομίζω, ὡς ἐμοὶ δοκεῖ. — (κατὰ) μέγ . . . . ἀπολ.) τουτέστι, μέγεθος ἔχουσα ἀπολεῖπον τρ. δ. ἀπὸ τεσ. πηχ.

§. 7. προδέξαντες) προδείξ. — σχῆμα) τουτέστιν, ἐν σχήματι, ὃ ἔχουσα εὐπρ. φαν. ἔμελλε. — δέκεσθε) δέχεσθε, καθὼς καὶ παρακατ. ἐδέκοντο, ἐδέχοντο.

(κεφ. 61.) 9. Απολαβὼν δὲ τὴν τυραννίδα τρόπῳ τῷ εἰρημένῳ ὁ Πεισίςρατος, κατὰ τὴν ὁμολογίην τὴν πρὸς Μεγακλέα γενομένην, γαμέει τοῦ Μεγακλέος τὴν θυγατέρα. Οἷα δὲ παίδων τέ οἱ ὑπαρχόντων νεηνιέων, καὶ λεγομένων ἐναγέων εἶναι τῶν Αλκμαιωνιδέων, οὐ βουλόμενος οἱ γενέσθαι ἐκ τῆς νεογάμου γυναικὸς τέκνα, οὐκ ἐν τῇ νομίμης γυναικὸς τιμῇ ἔσχεν αὐτήν. 10. Τὰ μέν νυν πρῶτα ἔκρυπτε ταῦτα ἡ γυνή· μετὰ δὲ, εἴτε ἱςορεύσῃ, εἴτε καὶ οὔ, φράζει τῇ ἑωϋτῆς μητρὶ, ἡ δὲ, τῷ ἀνδρί· τον δὲ δεινόν τι ἔσχεν, ἀτιμάζεσθαι πρὸς Πεισιςράτου. Οργῇ δὲ, ὡς εἶχε, καταλλάσσετο τὴν ἔχθρην τοῖσι ςασιώτησι. Μαθὼν δὲ ὁ Πεισίςρατος τὰ ποιεύμενα ἐπ' ἑωϋτῷ, ἀπαλλάσσετο ἐκ τῆς χώρης τοπαράπαν. Απικόμενος δὲ ἐς Ερετρίην ἐβουλεύετο ἅμα τοῖσι παισίν. 11. Ιππίεω δὲ γνώμην νικήσαντος, ἀνακτᾶσθαι ὀπίσω τὴν τυραννίδα, ἐνθαῦτα ἤγειρον δωτίνας ἐκ τῶν πολίων, αἵτινές σφι προηδέατό κού τι. Πολλῶν δὲ μεγάλα παρασχόντων χρήματα, Θηβαῖοι ὑπερβάλλοντο τῇ δόσει τῶν χρημάτων.

§. 9. οἷα δὲ) μετὰ Μετοχ. ἢ Γενικ. ἀπολύτου· φανερόνει δὲ αἰτίαν. Ιδ. Ηροδ. Α'. 189. " οἷα δὲ ἐμίλου πολλοῦ ἐργαζομένου, ἤνετο τὸ ἔργον." Παράβ. ἀριθμ. ΑΔ'. §. 10. — ἐναγέων) Ιδ. ἀριθμ. ΑΓ'. §. 17. 4.

§. 10 δεινόν τι ἔσχεν) ὡς τὸ, δεινὸν ποιεῖσθαι, ἡγεῖσθαι. Ιδ. ἀριθμ. ΑΓ'. §. 50. — ὡς εἶχε) τὸ Εχω μετὰ Γενικ. καὶ Αιτιατ. φανερόνει διάθεσίν τινα, ἥτις συνοδεύει τὴν ἀμέσως ἀκολουθοῦσαν πρᾶξιν, ἢ γίνεται αἰτία αὐτῆς. Ιδ. Βιγέρ σελ. 248. — καταλλάσσ. τὴν ἔχθρ.) τουτέςι, διηλλάσσετο, διαλλαγὰς ἐποιεῖτο πρὸς τοὺς ςασιώτας· τρόπον τινὰ, κατήλλαξε τὴν ἔχθραν ἀντὶ τῆς φιλίας.

§. 11. γνώμην νικ.) Ιδ. Βιγέρ. σελ. 266. καὶ ἑξ. — προηδέατο) προαιδεῖσθαι, χάριν προσοφείλειν τινὶ τῆς εὐεργεσίας, ἣν εὐεργετήθη, ἕνεκα. Παράβ. Βιβλ. Γ'. 40 — οὐ πολ. λόγ. εἰπεῖν) προσεπινοείτω τις τὸ ὡς· καθὼς τὸ, ὡς λέγων εἰπεῖν. [illegible] σημ. — χρόνος διέφυ) καινοπρεπὴς τρόπος τοῦ λέγειν· ἐπεράσεν ἐν τῷ μεταξὺ κάμποσος καιρός.



Μετὰ δὲ, οὐ πολλῷ λόγῳ εἰπεῖν, χρόνος διέφυ, καὶ πάντα σφι ἐξήρτυτο ἐς τὴν κάτοδον. Καὶ γὰρ Αργεῖοι μισθωτοὶ ἀπίκοντο ἐκ Πελοποννήσου· καὶ Νάξιός σφι ἀνὴρ ἀπιγμένος ἐθελοντὴς, τῷ οὔνομα ἦν Λύγδαμις, προθυμίην πλείςην παρείχετο, κομίσας καὶ χρήματα καὶ ἄνδρας.

(κεφ. 62.) 12. Εξ Ερετρίης δὲ ὁρμηθέντες, διὰ ἐνδεκάτου ἔτεος ἀπίκοντο ὀπίσω. Καὶ πρῶτον τῆς Αττικῆς ἴσχουσι Μαραθῶνα. Εν δὲ τούτῳ τῷ χώρῳ σφι ςρατοπεδευομένοισιν, οἵ τε ἐκ τοῦ ἄςεος ςασιῶται ἀπίκοντο, ἄλλοι τε ἐκ τῶν δήμων προσέῤῥεον, τοῖσιν ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαςότερον. 13. Οὗτοι μὲν δὴ ξυνηλίζοντο. Αθηναίων δὲ οἱ ἐκ τοῦ ἄςεος, ἕως μὲν Πεισίςρατος τὰ χρήματα ἤγειρε, καὶ μεταῦτις ὡς ἔσχε Μαραθῶνα, λόγον οὐδένα εἶχον. Επεί τε δὲ ἐπύθοντο, ἐκ τοῦ Μαραθῶνος αὐτὸν πορεύεσθαι ἐπὶ τὸ ἄςυ, οὕτω δὴ βοηθέουσι ἐπ' αὐτόν. 14. Καὶ οὗτοί τε πανςρατιῇ ἤϊσαν ἐπὶ τοὺς κατιόντας· καὶ οἱ ἀμφὶ Πεισίςρατον ὡς ὁρμηθέντες

§. 12. διὰ ἐνδεκ. ἔτ.) Βιγέρ. σελ. 587. — τῆς Αττικῆς Μαραθ.) Ιδ. περὶ τῆς τάξεως τῶν λέξεων ταύτης ἀριθ. ΑΓ'. §. 41. ΑΖ'. §. 20. — ςασιῶται) οἱ παλαιοὶ αὐτῶν ὀπαδοί. — ἐκ τῶν δήμων) τῆς Αττικῆς δηλ. — πρὸ ἐλευθ. ἀσπαστ.) ἡ Πρὸ καὶ Αντὶ μετὰ τοῦ συγκριτικοῦ κεῖνται πολλάκις πλεοναςικῶς ἀντὶ τοῦ, πρὸ τῆς ἐλευθερίας τὴν τυραννίδα ἠσπάζοντο. Ηρόδ. ς'. 12. " πρὸ τούτων τῶν κακῶν ἡμῖν γε κρέσσον καὶ ὁτιῶν ἄλλο παθέειν ἐςί."

§. 14. κατιόντας) κατελθόντας. — ὡς ὁρμ.) τουτέςιν, ἐπεὶ, ὅτε. — ἐς τώϋτὸ ξυν.) Ιδ. §. 5. πάντες ὁμοῦ. — Παλλ. Αθην.) ἐπί τινος λόφου ἐν τῷ δήμῳ Παλληνῇ. Ιδ. ἀριθ. ΑΖ'. §. 17. — ἔθεντο τὰ ὅπλ.) περὶ τῶν, ὅσοι ςέκονται εἴς τι μέρος καὶ προσμένουσι τὴν μάχην. Ηρόδ. Θ'. 53. " ἔθεντο πρὸ τοῦ ἱροῦ τὰ ὅπλα. Παυσανίης δὲ . . . . παρήγγειλε . . . . ἀναλαβόντας τὰ ὅπλα, ἰέναι κατὰ τοὺς ἄλλους." [illegible] §. 17. 26. — θείῃ πομ. χρ.) ἀντὶ, ὑπὸ θεῶν πεμφθείς. Παράβ. ΑΖ'. §. 20. — Ο μάντις Αμφίλυτος ἦτον καθ' ὅλας τὰς μαρτυρίας τῶν παλαιῶν, Αθηναῖος καὶ ὄχι Ακαρνὰν

ἐκ Μαραθῶνος ἤισαν ἐπὶ τὸ ἄστυ ἐς τῶυτὸ ξυνιόντες, ἀπικνέονται ἐπὶ Παλληνίδος Ἀθηναίης ἱρὸν, καὶ ἀντία ἔθεντο τὰ ὅπλα. Ενθαῦτα θείῃ πομπῇ χρεώμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ Ἀχαρνεὺς, χρησμολόγος ἀνὴρ, ὅς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ, τάδε λέγων.

Ἔῤῥιπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται.
Θῦνοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

(Κεφ. 63.) 15. Ο μὲν δὴ οἱ ἐνθεάζων χρᾷ τάδε· Πεισίστρατος δὲ, ξυλλαβὼν τὸ χρηστήριον, καὶ φὰς δέκεσθαι τὸ χρησθὲν, ἐπῆγε τὴν στρατιήν. Ἀθηναῖοι δὲ οἱ ἐκ τοῦ ἄστεος πρὸς ἄριστον τετραμμένοι ἔσαν δὴ τηνικαῦτα· καὶ μετὰ τὸ ἄριστον μετεξέτεροι αὐτέων, οἱ μὲν, πρὸς κύβους, οἱ δὲ, πρὸς ὕπνον· οἱ δὲ ἀμφὶ Πεισίστρατον ἐσπεσόντες τοὺς Ἀθηναίους τρέπουσι. 16. Φευγόντων δὲ τουτέων, βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται, ὅκως μήτε ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι, διεσκεδασμένοι τε εἶεν. Ἀναβιβάσας τοὺς παῖδας ἐπὶ ἵππους προέπεμπεν· οἱ δὲ, καταλαμβάνοντες τοὺς φεύγοντας, ἔλεγον τὰ ἐντεταλμένα ὑπὸ Πεισιστράτου, θαρσέειν τε κελεύοντες, καὶ ἀπιέναι ἕκαστον ἐπὶ τὰ ἑωϋτοῦ.

---

(ὡς γράφεται κοινῶς)· ὅθεν ἡ διόρθωσις τοῦ Βαλκενκίρου ἦτον ἀξία νὰ καταχωρισθῇ εἰς τὸ κείμενον. — οἰμήσουσι) ἐπελεύσονται, ὁρμήσουσιν.

§. 15. ξυλλαβὼν) Ηρόδ. Α'. 114. "τὴν φωνὴν τὴν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες ξυνέλαβον" — δέκεσθαι τὸ χρ.) συνήθης φράσις, ὅταν δίδηται εἴς τινα οἰωνὸς αἴσιος. — μετεξέτεροι) ἔνιοι αὐτῶν. Πολλάκις τὸ ὅλον κεῖται κατ' ὀνομαστικὴν πρὸ τῶν μερῶν. Ιδ. ἀριθμ. ΙΗ'. §. 4.

§. 16. ἐνθαῦτα) ἐνταῦθα. Μετὰ τὴν Μετοχήν. Ιδ. ΙΙΙ'. §. 13. ΛΓ'. §. 3. 33. — ἁλισθεῖεν.....εἶεν) ... περὶ τῆς Μυκτικῆς ἀριθμ. ΙΙΖ'. §. 64. — τοὺς παῖδας) ἑαυτοῦ δηλ. — ἀπιέναι ἑκ.) Ιδ. ἀριθμ. ΙΖ'. §. 14. 15.



(Κεφ. 64.) 17. Πειθομένων δὲ τῶν Ἀθηναίων, οὕτω δὴ Πεισίστρατος, τὸ τρίτον σχὼν Ἀθήνας, ἐῤῥίζωσε τὴν τυραννίδα, ἐπικούροισί τε πολλοῖσι, καὶ χρημάτων ξυνόδοισι, τῶν μὲν, αὐτόθεν, τῶν δὲ, ἀπὸ Στρυμόνος ποταμοῦ ξυνιόντων· ὁμήρους τε τῶν παραμεινάντων Ἀθηναίων καὶ μὴ αὐτίκα φυγόντων παῖδας λαβὼν, καὶ καταστήσας ἐς Νάξον (καὶ γὰρ ταύτην ὁ Πεισίστρατος κατεστρέψατο πολέμῳ καὶ ἐπέτρεψε Λυγδάμι). πρὸς δὲ ἔτι τουτέοισι, τὴν νῆσον Δῆλον καθήρας ἐκ τῶν λογίων· καθήρας δὲ ὧδε. Επ' ὅσον ἔποψις τοῦ ἱροῦ εἶχεν, ἐκ τούτου τοῦ χώρου παντὸς ἐξορύξας τοὺς νεκροὺς μετεφόρεεν ἐς ἄλλον χῶρον τῆς Δήλου. Καὶ Πεισίστρατος μὲν ἐτυράννευεν Ἀθηναίων· Ἀθηναίων δὲ οἱ μὲν ἐν τῇ μάχῃ ἐπεπτώκεσαν, οἱ δὲ αὐτέων μετὰ Ἀλκμαιωνίδεω ἔφευγον ἐκ τῆς οἰκηΐης.

---

§. 17. οὕτω δὴ) Ιδ. §. 13. — ἐῤῥίζ. τὴν τυρ.) Ιδ. §. 5. — αὐτόθεν) ἐξ αὐτῆς τῆς χώρας, τῆς Ἀττικῆς δηλ. Ενθυμηθήτω τις ἐνταῦθα τὰ πλούσια μεταλλεῖα τοῦ ἀργύρου εἰς τὸ ὄρος Λαύριον. — Στρυμ.) οἱ Ἀθηναῖοι εἶχον ἀποικίας εἰς τὰ πέριξ τοῦ Στρυμόνος ποταμοῦ, ὅς τις ῥέει μεταξὺ Θρᾴκης καὶ Μακεδονίας. — παῖδας λαβὼν.....καταστήσας.....καθήρας) αἱ Μετοχαὶ ἀποδίδονται εἰς τὸ ἐῤῥίζωσε. Τίνι τρόπῳ συνήργησεν ἡ κάθαρσις τῆς Δήλου εἰς στερέωσιν τῆς τυραννίας δὲν σαφηνίζεται ἐκ τῆς διηγήσεως. Ο λόγος ἴσως κεῖται εἰς τὰς λέξεις, ἐκ τῶν λογίων (κατὰ τοὺς χρησμούς. Ιδ. Βιγέρ. στλ. 600. IV.). Παράβ. περὶ τῆς ὑποθέσεως Θουκυδ. Γ'. 104. ὅς τις καὶ τὰς λέξεις "ἐπ' ὅσον ἡ ἐπ. τοῦ ἱρ. εἶχεν" οὕτως ἑρμηνεύει [illegible] ἐφεωρᾶτο τῆς νήσου." — Ἀθην.) Ἀθηναῖοι ἐνταῦθα κατ' ἐξοχὴν οἱ ἐχθροὶ καὶ ἐναντίοι τοῦ Πεισιστράτου.

## ΛΓ'.

### Αἱ Ἀθῆναι ὑπὸ τοῖς Πεισιστρατίδαις, καὶ μετὰ τὴν ἀποδίωξιν αὐτῶν, μέχρι τοῦ πρώτου Περσικοῦ πολέμου.

(Ἡρόδ. Ε'. 55.)

Αἱ Ἐπεὶ Ἵππαρχον τὸν Πεισιστράτου, Ἱππίεω δὲ τοῦ τυράννου ἀδελφεὸν, ἰδόντα ὄψιν ἐνυπνίου τῷ ἑωϋτοῦ πάθεϊ ἐναργεστάτην, κτείνουσι Ἀριστογείτων καὶ Ἁρμόδιος, μετὰ ταῦτα ἐτυραννεύοντο Ἀθηναῖοι ἐπ' ἔτεα τέσσερα οὐδὲν ἧσσον, ἀλλὰ καὶ μᾶλλον ἢ πρότου.

(κεφ. 56.) 2. Ἡ μέν νυν ὄψις τοῦ Ἱππάρχου ἐνυπνίου ἦν ἥδε· ἐν τῇ προτέρῃ νυκτὶ τῶν Παναθηναίων ἐδόκεε ὁ Ἵππαρχος ἄνδρα οἱ ἐπιστάντα μέγαν καὶ εὐειδέα αἰνίσσεσθαι τάδε τὰ ἔπεα,

ΛΓ'.

§. 1. ἐναργεστ.) ἐναργὴς, σαφὴς, ἐμφανής. Αἰσχύλ. Πέρσ. 174.

Πολλοῖς μὲν ἀεὶ νυκτέροις ὀνείρασι
Ξύνειμι . . . . . . . .
Ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην.

Λουκιαν. Ἐνύπν. §. 5. « ὄνειρος ἐναργὴς οὕτως ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας. » — τῷ ἑωυτ. πάθει) ἡ Αττικὴ ἠμπορεῖ ἐνίοτε νὰ ἐξηγηθῇ διὰ τῆς Εἰς. — οὐδὲν ἧσσον) διότι ἐκ τούτου τοῦ χρόνου ὁ Ἱππίας ἐδιοίκει μὲ μεγάλην αὐστηρότητα.

§. 2. αἰνίσσεσθαι· λέγεται συχνάκις περὶ μαντειῶν. — ὡς ἡμ. ἐγέν. τάχιστα) Οὕτω συνειθίζει ὁ Ηρόδ. νὰ χωρίζῃ τὸ ὡς ἀπὸ τοῦ τάχιστα καὶ τῶν παρομοίων ὑπερθετικῶν· Βιβ. Α'. 47. « ὡς ἐσῆλθον τάχιστα» Α'. 65 « ὡς ἐπετρόπευσε τάχιστα » — ἀριθμ. ΙΖ'. §. 26. « ἔπη δύναιντο κάλλιστα. » — ὑπερτιθέμ.) ὑπερτίθεμαί τινί τι, λέγω, κοινοποιῶ τι εἴς τινα, διὰ νὰ λάβω περὶ τούτου συμβουλήν. — ἀπειπάμ.) ἀντίκειται τῇ ἐκφράσει, δέχεσθαι οἰωνόν. [illegible] (Ἀριθμ. ΛΒ'. §. 14.). Τὰ πλησιέστερα περιστατικὰ τοῦ φόνου διηγεῖται ὁ Θουκυδ.



Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ.
Οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

ταῦτα δὲ, ὡς ἡμέρη ἐγένετο τάχιστα, φανερὸς ἦν ὑπερτιθέμενος ὀνειροπόλοισι· μετὰ δὲ, ἀπειπάμενος τὴν ὄψιν, ἔπεμπε τὴν πομπὴν, ἐν τῇ δὴ τελευτᾷ.

(κεφ. 62.) 3. Ἱππίεω τυραννεύοντος, καὶ ἐμπικραινομένου Ἀθηναίοισι διὰ τὸν Ἱππάρχου θάνατον, Ἀλκμαιωνίδαι, γένος ἐόντες Ἀθηναῖοι, καὶ φεύγοντες Πεισιστρατίδας, ἐπεί τέ σφι ἅμα τοῖσι ἄλλοισι Ἀθηναίων φυγάσι πειρωμένοισι κατὰ τὸ ἰσχυρὸν οὐ προεχώρεε ἡ κάτοδος, ἀλλὰ προσέπταιον μεγάλως, πειρώμενοι κατιέναι τε καὶ ἐλευθερῶν τὰς Ἀθήνας, Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος τειχίσαντες, ἐνθαῦτα οἱ Ἀλκμαιωνίδαι, πᾶν ἐπὶ τοῖσι Πεισιστρατίδῃσι μηχανώμενοι, παρ' Ἀμφικτυόνων τὸν νηὸν μισθοῦνται τὸν ἐν Δελφοῖσι, τὸν νῦν ἐόντα, τότε δὲ οὔκω, τοῦτον ἐξοικοδομῆσαι. 4. Οἷα δὲ χρημάτων εὖ ἥκοντες,

κυδ. ς'. 54. καὶ ἑξ. Τὴν δόξαν τῶν φονέων τοῦ τυράννου ἐξυμνεῖ παλαιὸν σκολιόν Βρυγκ. Ἀνάλ. Τόμ. Δ'. σελ. 155. VII.

§. 3. Ἀλκμαιων.) ἀριθμ. ΑΒ'. §. 17 — κατὰ τὸ ἰσχ.) τουτέστι, κατὰ βίαν. — κατιέναι) ἀριθμ. ΑΒ'. §. 14. — προσέπτ.) τὴν παρὰ τὸ Λειψύδριον γεγονυῖαν φθορὰν θρηνεῖ ἓν σκολιόν. Βρυγκ. Ἀναλεκτ. Τόμ. Α'. σελ. 155. VI. Ὁ τόπος οὗτος ἔκειτο ἐπὶ τοῦ ὄρους Πάρνηθος. Ἀντὶ δὲ Πάρνηθος ἐγράφετο πρότερον ἐνταῦθα Παιονίης, τὸ ὁποῖον ὅμως διώρθωσεν ὁ Κυσέρος, καὶ ἡ διόρθωσις κατεχωρίσθη εἰς τὸ κείμενον. — παρ' Ἀμφικτ.) οἱ Ἀμφικτύονες εἶχον τὴν ἐφορείαν τοῦ ἐν Δελφοῖς ναοῦ καὶ τῶν θησαυρῶν, καὶ τῶν Πυθίων ἀγώνων. Ἰδ. ἀριθμ. ΚΗ'. §. 20. — Ὁ ἀρχαιότερος ναὸς, ὑπὸ Τροφωνίου καὶ Ἀγαμήδου κτισθεὶς, κατεκαύθη τῷ πρώτῳ ἔτει τῆς ΝΗ'. Ολυμπ. Παυσαν. Γ'. 5. — τοῦτον) ὁ Ηρόδ. συνειθίζει νὰ ἀνακαλῇ, καὶ μάλιστα μετὰ παρενθέτους λόγους, τὸ οὐσιαστικὸν δι' ἀντωνυμίας τινός. [illegible] οἷα) Ἰδ. ΑΒ'. §. — χρημ. εὖ ἥκ.) ΛΑ'. §. 5. — ἀνέκαθεν) ἄνωθεν. Ἰδ. §. 13. 14. καὶ Βιβλ. Ε'. 55. « γένος ἐόντες

καὶ ἐόντες ἄνδρες δόκιμοι ἀνέκαθεν ἔτι, τὸν νηὸν ἐξεργάσαντο τοῦ παραδείγματος κάλλιον, τά τε ἄλλα, καὶ ξυγκειμένου σφι πωρίνου λίθου ποιέειν τὸν νηὸν, Παρίου τὰ ἔμπροσθεν αὐτοῦ ἐξεποίησαν.

(κεφ. 63.) 5. Ὡς ὦν δὴ οἱ Ἀθηναῖοι λέγουσι, οὗτοι οἱ ἄνδρες ἐν Δελφοῖσι κατήμενοι ἀνέπειθον τὴν Πυθίην χρήμασι, ὅκως ἔλθοιεν Σπαρτιητέων ἄνδρες, εἴτε ἰδίῳ ςόλῳ, εἴτε δημοσίῳ χρησάμενοι, προφέρειν σφι τὰς Ἀθήνας ἐλευθεροῦν. 6. Λακεδαιμόνιοι δὲ, ὥς σφι αἰεὶ τὠυτὸ πρόφαντον ἐγένετο, πέμπουσι Ἀγχιμόλιον τὸν Ἀςέρος, ἐόντα τῶν ἀςῶν ἄνδρα δόκιμον, ξὺν ςρατῷ, ἐξελῶντα Πεισιςρατίδας ἐξ Ἀθηνέων, ὅμως καὶ ξεινίους σφι ἐόντας ταμάλιςα· τὰ γὰρ τοῦ θεοῦ πρεσβύτερα ἐποιεῦντο ἢ τὰ τῶν ἀνδρῶν· πέμπουσι δὲ τούτους κατὰ θάλασσαν πλοίοι-

---

τὸ ἀνέκαθεν Γεφυραῖοι ». — τοῦ παραδείγμ.) παράδειγμα, τὸ σχέδιον, τὸ ὁποῖον πρέπει νὰ ἀκολουθήσωσιν οἱ ἐπιχειροῦντες κτίριόν τι, συμπεριλαμβανομένων δὲ καὶ ὅλων τῶν ὑπὸ τοῦ ἀρχιτέκτονος γενομένων συνθηκῶν. — ξυγκειμ.) γενικὴ ἀπολ. Βιγέρ. σελ. 347 — (ἰα) πωρ. λίθου.) (Γραμ. Βουτ. §. Ρ1ζ'. γ'. δ. σελ. 417. π. ς'. καὶ 3. σελ. 384. ν.) πέτρα ἐλαφρὰ καὶ μαρμάρῳ ὁμοία, ἣ ὁποία ἔβγαινεν εἰς τὴν Ἑλλάδα. Πλίν. XXXVI. 17.» Pario similis candore et duritie, minus tamen ponderosus, qui p o r u s vocatur.

§. 5. ὅκως) ὁσάκις. — ἰδίῳ ςόλ.) τουτέςιν, εἴτε περὶ ἰδίων, εἴτε περὶ κοινῶν πραγμάτων. Κοινῶς γράφεται « ἰδίῳ ςόλῳ χρησάμενοι». ἠμπορεῖ τις νὰ συμπεράνῃ ὅμως, ὅτι ὁ Ηρόδ. ἔγραψε «χρησάμενοι» (τὸ ὁποῖον καὶ κατεχωρίσθη ἐν τῷ κειμένῳ). ἐπειδὴ ἡ πρᾶξις πρέπει νὰ προηγῆθῃ τῆς ἐν τῷ, ἔλθοιεν, περιεχομένης, καὶ ἡ ἔννοια εἶναι, ὁσάκις ἔλθοιεν Σπαρτιᾶται, εἴτε περὶ ἰδίων, εἴτε περὶ κοινῶν πραγμάτων ςαλέντες . . . . — ςολ. χρησ.) τουτέςι, ςαλέντες. — προφέρειν) κελεύειν, ἀνελεῖν.

§. 6. πρόφ. ἐγέν.) τουτέςι, προὐφάνθη. Ησύχ. « πρόφαντον, λόγιον, θεοπρόπιον. » Ηρόδ. θ'. 93. « πρόφαντά σφι ἔν τε Δωδώνῃ καὶ ἐν Δελφοῖσι ἐγένετο » — ταμάλιςα) Βιγέρ. σελ. 416. VI. — πρεσβύτ.) τουτέςι, τιμιώτερα.



σι. 7. Ὁ μὲν δὴ προσχὼν ἐς Φάληρον τὴν ςρατιὴν ἀπέβησε· οἱ δὲ Πεισιςρατίδαι, προπυνθανόμενοι ταῦτα, ἐπεκαλέοντο ἐκ Θεσσαλίης ἐπικουρίην· ἐπεποίητο γάρ σφι ξυμμαχίη πρὸς αὐτούς. Θεσσαλοὶ δέ σφι δεομένοισι ἀπέπεμψαν, κοινῇ γνώμῃ χρεώμενοι, χιλίην τε ἵππον, καὶ τὸν βασιλῆα τὸν σφέτερον Κινέην, ἄνδρα Κονιαῖον· τοὺς, ἐπεί τε ἔσχον ξυμμάχους οἱ Πεισιςρατίδαι, ἐμηχανέατο τοιάδε. 8. Κείραντες τῶν Φαληρέων τὸ πεδίον, καὶ ἱππάσιμον ποιήσαντες τοῦτον τὸν χῶρον, ἐπῆκαν τῷ ςρατοπέδῳ τὴν ἵππον· ἐμπεσοῦσα δὲ διέφθειρε ἄλλους τε πολλοὺς τῶν Λακεδαιμονίων, καὶ δὴ καὶ τὸν Ἀγχιμόλιον· τοὺς δὲ περιγενομένους αὐτέων ἐς τὰς νέας κατέρξαν.

9. Ὁ μὲν δὴ πρῶτος ςόλος ἐκ Λακεδαίμονος οὕτω ἀπήλλαξε· καὶ Ἀγχιμολίου εἰσὶ ταφαὶ τῆς Ἀττικῆς Ἀλωπεκῆσι, ἀγχοῦ τοῦ Ἡρακληΐου τοῦ ἐν Κυνοσάργεϊ. (κεφ. 64). Μετὰ δὲ, Λακεδαιμόνιοι, μέζω ςόλον ςείλαντες, ἀπέπεμψαν ἐπὶ τὰς Ἀθήνας, ςρατηγὸν τῆς ςρατιῆς ἀποδέξαντες βασιλῆα Κλεομένεα τὸν Ἀναξανδρίδεω, οὐκέτι κατὰ

---

§. 7. ὁ μὲν) Ἀγχιμόλιος δηλ. — ἵππον) χιλίους ἱππεῖς. — Κονιαῖον) δὲν εἶναι βεβαίως γνωςὸν, ἐκ τίνος τόπου ἐλήφθη τὸ ἐθνικὸν τοῦτο.

§. 8. κείραντες) τὰ δένδρα κόψαντες. — τῷ ςρατοπ.) τῶν Λακεδαιμονίων δηλ. — κατέρξαν) ἀντὶ, κατεῖρξαν, τουτέςι, κατήλασαν εἰς τὰς ναῦς καὶ ἐν αὐταῖς κατεῖρξαν.

§. 9. ἀπήλλ.) οὐδετέρως, ἀντὶ, τοιαύτην ἔκβασιν ἔλαβεν. — ταφαὶ) τὸν τάφον ἑνὸς μόνου σημαίνει ἐνταῦθα τὸ πληθυντικὸν, ὡς παρ' Εὐριπ. Ἑλέν. 1069. « εἰ χέρσῳ ταφὰς θεῖναι κελεύσει. » ὅπου μόνον περὶ τοῦ τάφου τοῦ Μενελάου ὁ λόγος. — Ἀλωπεκῆσι) Ἀλωπεκαὶ, δῆμος τῆς Ἀττικῆς, παρὰ τὴν ἀριςερὰν ὄχθην τοῦ Ἰλισσοῦ ποταμοῦ. — Κυνοσάργ.) γυμνάσιον ἦν τὸ Κυνόσαργες εἰς τὸ ἀνατολικὸν μέρος τῶν Ἀθηνῶν, ... περιπάτοις κεκοσμημένον. Ἰδ. ἀριθμ. ΛΑ'. §. 28.

θάλασσαν στείλαντες, ἀλλὰ κατ' ἤπειρον. 10. Τοῖσι δὲ ἐσβαλοῦσι ἐς τὴν Ἀττικὴν χώρην ἡ τῶν Θεσσαλέων ἵππος πρώτη προσέμιξε, καὶ οὐ μετὰ πολὺ ἐτράπετο· καὶ σφέων ἔπεσον ὑπὲρ τεσσεράκοντα ἄνδρας, οἱ δὲ περιγενόμενοι ἀπαλλάσσοντο ὡς εἶχον ἰθὺς ἐπὶ Θεσσαλίης. Κλεομένης δὲ ἀπικόμενος ἐς τὸ ἄστυ, ἅμα Ἀθηναίων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι, ἐπολιόρκεε τοὺς τυράννους, ἀπεργμένους ἐν τῷ Πελασγικῷ τείχεϊ. (κεφ. 65) 11. Καὶ οὐδέν τι πάντως ἂν ἐξεῖλον τοὺς Πεισιστρατίδας οἱ Λακεδαιμόνιοι· οὔτε γὰρ ἐπέδρην ἐπενόεον ποιήσασθαι, οἵ τε Πεισιστρατίδαι σίτοισι καὶ ποτοῖσι εὖ παρεσκευάδατο· πολιορκήσαντές τε ἂν ἡμέρας ὀλίγας, ἀπαλλάσσοντο ἐς τὴν Σπάρτην. 12. Νῦν δὲ ξυντυχίη τοῖσι μὲν κακὴ ἐπεγένετο, τοῖσι δὲ, ἡ αὐτὴ αὕτη ξύμμαχος· ὑπεκτιθέμενοι γὰρ ἔξω τῆς χώρης

§. 10. ἐτράπετο) Frontin Strateg. II. 2. 9. Cleomenes, Lacedaemonius, adversus Hippiam Atheniensem, qui equitatu praevalebat, planitiem, in qua dimicaturus erat, arboribus prostratis impedivit, et inviam equiti fecit. (Κλεομένης ὁ Λακεδαιμόνιος, ἐναντίον Ἱππίου τοῦ Ἀθηναίου, ὅς τις ὑπερίσχυε κατὰ τὸ ἱππικὸν, ῥίπτων δένδρα εἰς τὴν πεδιάδα, ὅπου ἔμελλε νὰ γίνῃ ἡ μάχη, τὴν ἔκαμεν ἄβατον εἰς τοὺς ἱππεῖς (ἄνιππον).) — ὡς εἶχον) ἄνευ τινος ἀναβολῆς μελλήσεως. — ἰθὺς) καὶ ἰθὺ, ταὐτὸν τῷ, εὐθὺς, εὐθύ. — ἅμα Ἀθην.) τουτέστι, σὺν τούτοις τῶν Ἀθηναίων οἳ ἐβούλοντο ἐλεύθεροι εἶναι. — ἐλευθέροισι) Ἰδ. Γραμ. Βουτ. §. ΡΚΘʹ. βʹ, Βʹ. — ἀπεργμ.) τουτέστιν, ἀπειργμ. — τῷ Πελασγ. τείχεϊ) Πελασγικὸν τεῖχος, ὀχύρωμά τι περὶ τὴν Ἀκρόπολιν, τὸ ὁποῖον κατ' ἰδίας χάριν καὶ Πελαργικὸν τεῖχος καλεῖται. Ἰδ. Θουκυδ. Βʹ. 17 καὶ ὄπισθ. ἀριθμ. ΛΕʹ §. 16.

§. 11. οὐδέν τι πάντως) ἐπιτείνει τὴν ἄρνησιν. Ἡρόδ. Ϛʹ. 3. „οὐδέν τι πάντως ταῦτα τοῦ βασιλῆος βεβουλευμένου.“ — ἐπέδρην) ἐφέδραν, πολιορκίαν. — παρεσκευάδατο) τουτέστι, παρεσκευασμένοι ἦσαν. Ἰδ. Γραμ. Βουτ. §. 97ʹ. Αʹ γʹ. σελ. 202. π. 189. ν.

§. 12. τοῖσι μὲν) Πεισιστρατίδαις. — αὐτὴ αὕτη) αὐτὴ ἡ ἰδία. — ξύμμαχος) ὡς βιβλ. Γʹ. 31. „παρεξεύρον ἄλλον νόμον ξύμ[illegible] τῷ θέλοντι γαμέειν ἀδελφεάς.“ καὶ βιβλ. Δʹ. 129 „[illegible] δὲ τοῖ-



οἱ παῖδες τῶν Πεισιστρατιδέων ἥλωσαν. 13. Τοῦτο δὲ ὡς ἐγένετο, πάντα αὐτέων τὰ πρήγματα ξυνετετάρακτο· παρέστησαν δὲ ἐπὶ μισθῷ τοῖσι τέκνοισι, ἐπ' οἷσι ἐβούλοντο οἱ Ἀθηναῖοι, ὥστε ἐν πέντε ἡμέρῃσι ἐκχωρῆσαι ἐκ τῆς Ἀττικῆς. Μετὰ δὲ, ἐξεχώρησαν ἐς Σίγειον τὸ ἐπὶ τῷ Σκαμάνδρῳ, ἄρξαντες μὲν Ἀθηναίων ἐπ' ἔτεα ἕξ τε καὶ τριήκοντα, ἐόντες δὲ καὶ οὗτοι ἀνέκαθεν Πύλιοί τε καὶ Νηλεΐδαι, ἐκ τῶν αὐτέων γεγονότες καὶ οἱ ἀμφὶ Κόδρον τε καὶ Μέλανθον, οἳ, πρότερον ἐπήλυδες ἐόντες, ἐγένοντο Ἀθηναίων βασιλῆες. — Οὕτω οἱ Ἀθηναῖοι τυράννων ἀπαλλάχθησαν.

(κεφ. 66.) 14. Ἀθῆναι, ἐοῦσαι καὶ πρὶν μεγάλαι, τότε ἀπαλλαχθεῖσαι τυράννων ἐγένοντο μέζονες· ἐν δὲ αὐτῇσι δύο ἄνδρες ἐδυνάστευον, Κλεισθένης τε, ἀνὴρ Ἀλκμαιωνίδης, ὅσπερ δὴ λόγον ἔχει τὴν Πυθίην ἀναπεῖσαι, καὶ Ἰσαγόρης ὁ Τισάνδρου, οἰκίης μὲν ἐὼν δοκίμου, ἀτὰρ τὰ ἀνέκαθεν οὐκ ἔχω φράσαι. θύουσι δὲ οἱ ξυγγενέες αὐτοῦ

σι Πέρσῃσι ἦν ξύμμαχον, καὶ τοῖσι Σκύθῃσι ἀντίξοον.“ καὶ Λυσίας ἀριθμ. ΚΓʹ. §. 40. „τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον.“

§. 13. παρέστησαν) Ἰδ. ΛΕʹ. §. 28. — ἐπ' οἷσι... οἱ Ἀθηναῖοι) προσθήκη κατ' ἐπεξήγησιν εἰς τὸ, ἐπὶ μισθῷ. — Σίγειον) εἰς τὸν Ἑλλήσποντον. — ἔτεα ἕξ τε καὶ τρ.) ἀφ' οὗ χρόνου ἔλαβεν ὁ Πεισίστρατος τὴν τυραννίαν, τοῦ μεταξὺ διαστήματος τῆς ἐξορίας αὐτοῦ ἀφαιρουμένου. — ἀνέκαθεν) Ἰδ. §. 4. — Νηλεΐδαι) ἐκ τοῦ Νηλέως, πατρὸς τοῦ Νέστορος, τοῦ ὁποίου ὁ ἀπόγονος Ἀλκμαίων ἔφυγεν ἐκ τῆς Μεσσήνης ἐπὶ τῆς καθόδου τῶν Ἡρακλειδῶν. — Μέλανθος, πατὴρ τοῦ Κόδρου, βασιλεὺς τῆς Ἀττικῆς, ἦτον ὡσαύτως ἀπόγονος τοῦ Νηλέως. — ἐκ τῶν αὐτέων καὶ....) ὁ Καὶ μετὰ τὸ, οἱ αὐτοὶ, καὶ τὰ τοιαῦτα ἀντὶ τοῦ Ὡς. Ἡρόδοτ. Δʹ. 109. „Βουδῖνοι οὐ τῇ αὐτῇ γλώσσῃ χρέωνται καὶ Γελωνοί.“ Ἰδ. ἀριθμ. ΚΒʹ. §. 36. ΛΕʹ. §. 24.

§. 14. ὅσπ. λόγ. ἔχ.) ἀντὶ, ὃν λόγος ἔχει, ἢ, ὃς λέγεται. Οὕτω βιβλ. Πʹ. 94. „τούτους μὲν τοιαύτη φάτις ἔχει.“ Θʹ. 77.

Διὶ Καρίῳ. 15. Οὗτοι οἱ ἄνδρες ἐςασίασαν περὶ δυνάμιος· ἑσσούμενος δὲ ὁ Κλεισθένης τὸν δῆμον προςεταιρίζεται· μετὰ δὲ, τετραφύλους ἐόντας Αθηναίους, δεκαφύλους ἐποίησε, τῶν Ιωνος παίδων, Γελέοντος καὶ Αἰγικόρεος καὶ Αργάδεω καὶ Οπλητος, ἀπαλλάξας τὰς ἐπωνυμίας· ἐπιχωρίων δὲ ἑτέρων ἡρώων ἐπωνυμίας ἐξευρὼν, πάρεξ Αἴαντος· τοῦτον δὲ, ἅτε ἀςυγείτονα καὶ ξύμμαχον ξεῖνον ἐόντα, προςέθετο. — —

(κεφ. 70) 16. Εν τῷ μέρεϊ δὲ ἑσσούμενος ὁ Ισαγόρης ἀντιτεχνᾶται τάδε. Επικαλέεται Κλεομένεα τὸν Λακεδαιμόνιον, γενόμενον ἑωϋτῷ ξεῖνον ἀπὸ τῆς Πεισιςρατιδέων πολιορκίης. 17. Τὰ μὲν δὴ πρῶτα πέμπων ὁ Κλεομένης ἐς τὰς Αθήνας κήρυκα ἐξέβαλε Κλεισθένεα, καὶ μετ' αὐτοῦ ἄλλους πολλοὺς Αθηναίων, τοὺς ἐναγέας ἐπιλέγων. Ταῦτα δὲ πέμπων ἔλεγε ἐκ διδαχῆς τοῦ Ισαγόρεω· Οἱ μὲν γὰρ Αλκμαιωνίδαι καὶ οἱ συςασιῶται αὐτέων εἶχον

ἵνα λόγος οὐ ἔχῃ ἔτι μέζωνος — θύουσι δὲ) τουτέςι, τοῦτο μόνον ἔχω λέγειν, ὅτι οἱ ξυγ. θύουσι .... Διὶ Καρίῳ. Καρίῳ λοιπὸν θεῷ, καὶ οὐχὶ Αθηναίῳ. Τοῦτο ἐφαίνετο νὰ φανερόνῃ ὅτι ὁ Ισαγόρας κατήγετο ἀπὸ γένους Καρικοῦ, καταφρονημένου εἰς τὴν Ελλάδα.

§. 15. ἑσσούμ.) ἀντὶ, ἡσσώμενος — δεκαφ. ἐπ.) τουτέςιν, εἰς δέκα φυλὰς αὐτοὺς διέγραψεν Η εἰς περισσοτέρας φυλὰς διαίρεσις ἔπρεπε νὰ γενῇ ἐμπόδιον εἰς τὰ ἐπιχειρήματα μελλόντων τυράννων. — τῶν Ιωνος) Ιων, ὁ πατριάρχης τῆς Ιωνικῆς φυλῆς, ἐκ τῆς ὁποίας ἦσαν καὶ οἱ Αθηναῖοι. — πάρεξ Αἴαντ. μόνον ἡ Αἰαντὶς φυλὴ ἔφερεν ὄνομα ἥρωος ξένου. Ο Αἴας ἐλατρεύετο εἰς τὴν Αἴγιναν· ἦθεν ἀςυγείτων.

§. 16. ἐν τῷ μέρεϊ) Βλέπ. σελ. 107. II.

§. 17. ἐπιλέγων) ἐπονομάζων αὐτοὺς τοὺς ἐναγέας. — εἶχον αἰτίην) καθὼς τὴν φήμην, ἔλαβον αἴτιον, ὃ ἐςὶν ἐκείνου. Ιδ. §. 18. ἀριθμ. ΚΒ'. §. 21. — τοῦ φόνου τούτου) ἐπειδὴ ἡ ἔννοια τοῦ φόνου περιέχεται ἐν τῇ λέξει ἐναγής. Αλλὰ τάχα δὲν ἠμπόρει τὸ «τοῦ φόνου τούτου» νὰ ἔχῃ ἀναφορὰν εἰς τὴν ἔξω, ἐννοουμένην φόνον τῶν μετὰ Κύλωνος;



αἰτίην τοῦ φόνου τούτου· αὐτὸς δὲ οὐ μετεῖχε, οὐδ' οἱ φίλοι αὐτοῦ.

(κεφ. 71.) 18. Οἱ δ' ἐναγέες Αθηναίων ὧδε ὠνομάσθησαν. Ην Κύλων τῶν Αθηναίων ἀνὴρ Ολυμπιονίκης· οὗτος ἐπὶ τυραννίδι ἐκόμησε· προςποιησάμενος δὲ ἑταιρηΐην τῶν ἡλικιωτέων καταλαβεῖν τὴν ἀκρόπολιν ἐπειρήθη· οὐ δυνάμενος δὲ ἐπικρατῆσαι, ἱκέτης ἵζετο πρὸς τὤγαλμα. 19. Τούτους ἀνιςέασι μὲν οἱ πρυτάνιες τῶν Ναυκράρων, οἵπερ ἔνεμον τότε τὰς Αθήνας, ὑπεγγύους πλὴν θανάτου· φονεῦσαι δὲ αὐτοὺς αἰτίη ἔχει Αλκμαιωνίδας. Ταῦτα πρὸ τῆς Πεισιςράτου ἡλικίης ἐγένετο.

(κεφ. 72.) 20. Κλεομένης δὲ ὡς πέμπων ἐξέβαλε Κλεισθένεα καὶ τοὺς ἐναγέας, Κλεισθένης μὲν αὐτὸς ὑπεξέσχε· μετὰ δὲ, οὐδὲν ἧσσον παρῆν ἐς τὰς Αθήνας ὁ Κλεομένης, οὐ ξὺν μεγάλῃ χειρί· ἀπικόμενος δὲ ἀγηλατέει ἑπτακόσια ἐπίςια Αθηναίων, τά οἱ ὑπέθετο ὁ Ισαγόρης. 21. Ταῦτα δὲ ποιήσας δεύτερον τὴν βουλὴν καταλύειν ἐπειρᾶτο· τριηκοσίοισι δὲ τοῖσι Ισαγόρεω ςασιώτῃσι τὰς ἀρχὰς ἐνεχείριζε. Αντιςαθείσης δὲ τῆς βουλῆς, καὶ οὐ βουλομένης πείθεσθαι, ὅ, τε Κλεομένης καὶ Ισαγόρης

§. 18. ὧδε) διὰ ταύτην τὴν αἰτίαν. Διεξοδικώτερον διηγεῖται τὸ συμβὰν τοῦτο Θουκυδ. Α'. 126. — τὤγαλμα) τῆς Αθηνᾶς δηλ.

§. 19. ἀνιςέασι) ἀνιςᾶσι. — οἱ πρυτ. τῶν Ναυκρ.) Ναύκραροι ὠνομάζοντο τὸ πάλαι οἱ προςάται τῶν δήμων, οἱ ὁποῖοι μετὰ ταῦτα ὠνομάσθησαν Δήμαρχοι. Οὗτοι ἐσύςαινον ἓν εἶδος βουλῆς, ἡ ὁποία, καθὼς καὶ ἡ κυρίως βουλὴ, ἄλλαττε τοὺς προέδρους της (πρυτάνεις). Ο, τι δὲ ἐνταῦθα ἀπονέμεται εἰς τοὺς πρυτάνεις τούτους, ἀποδίδει ὁ Θουκυδ. εἰς τοὺς ἄρχοντας. — ἔνεμον) Ιδ. ΛΒ'. §. 4. — ὑπεγγ. πλὴν θαν) τουτέςιν, ἑαυτοὺς παραδόντας ἐφ' ᾧ μὴ θανατοῦν αὐτούς.

[illegible] ὑπεξέσχε.) (ἑαυτὸν) ἀντὶ, ὑπεξῆλθε. Βλ. Η'. 132 — ἐπίςια) ἐφέςια (φαμιλίας).

οἱ δὲ λοιποὶ ὑπεξέσχον ἐκ τῆς Χίου

καὶ οἱ ςασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. 22. Αθηναίων δὲ οἱ λοιποί, τὰ αὐτὰ φρονήσαντες, ἐπολιόρκεον αὐτοὺς ἡμέρας δύο· τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρης, ὅσοι ἔσαν αὐτέων Λακεδαιμόνιοι. 23. Επετελέετο δὲ τῷ Κλεομένεϊ ἡ φήμη· ὡς γὰρ ἀνέβη ἐς τὴν ἀκρόπολιν, μέλλων δὴ αὐτὴν κατασχήσειν, ἤϊε ἐς τὸ ἄδυτον τῆς θεοῦ, ὡς προσερέων· ἡ δὲ ἱρηΐη ἐξαναςᾶσα ἐκ τοῦ θρόνου, πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖψαι, εἶπε· « Ω ξεῖνε Λακεδαιμόνιε, πάλιν χώρει, μηδ' ἔσιθι ἐς τὸ ἱρόν· οὐ γὰρ θεμιτὸν Δωριῆα παριέναι ἐνθαῦτα. » Ο δὲ εἶπε. » Ω γύναι, ἀλλ' οὐ Δωριεύς εἰμι, ἀλλ' Αχαιός. » 24 Ο μὲν δὴ, τῇ κληηδόνι οὐδὲν χρεώμενος, ἐπεχείρητέ τε, καὶ τότε πάλιν ἐξέπιπτε μετὰ τῶν Λακεδαιμονίων. Τοὺς δὲ ἄλλους Αθηναῖοι κατέδησαν τὴν ἐπὶ θανάτῳ· ἐν δὲ αὐτοῖσι, καὶ Τιμησίθεον τὸν Δελφὸν, τοῦ ἔργα χειρῶν τε καὶ λήματος ἔχοιμ' ἂν μέγιστα καταλέξαι· οὗτοι μὲν νυν δεδεμένοι ἐτελεύτησαν.

---

§. 22: τὰ αὐτὰ φρον.) ἀριθμ. ΑΒ'. §. 5.— αὐτέων) τῶν πολιορκουμένων.

§. 23. ἡ φήμη) κυρίως περὶ ἀπαισίων λόγων, καὶ τοιούτων, οἳ ἐπειδὴ λέγονται καὶ χωρὶς τινος σκοποῦ.— ἡ φήμη) ἣ ἔτυχε αὐτῷ. Ο Ηρόδ. βάλλει πολλάκις τὸ ὡρισμένον ἄρθρον οὕτως, ὥςε ὁ πληρέςερος αὐτοῦ ὁρισμὸς πρέπει νὰ ἐκληφθῇ ἐκ τῶν ἑπομένων.— τῆς θεοῦ) Αθηνᾶς.— προσερέων. (Μέλλων) προσευξόμενος.— θρόνου) αἱ ἐν ἀξίᾳ γυναῖκες ἐκάθηντο ἐπὶ θρόνων, τοὺς πόδας ἐπί τινος ὑποποδίου (θρήνυος) ἔχουσαι.— τὰς θύρας ἀμεῖψαι) Αἰσχύλ. Χοηφ. 569. « εἰ δ' οὖν ἀμείψω βαλὸν ἕρκειον πυλῶν. » καὶ κατὰ Μίσην διάθεσιν παρὰ Θεοκρ. Β'. 104. « ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ. » — ἀλλ' οὐ) ἀντὶ, ὀρθῶς τάχα λέγεις· ἀλλὰ τοῦτο οὐδὲν πρὸς ἐμέ· οὐ γάρ. Α'. Ιδ. Γραμ. Βουτ. §. ΡΛΗ'.

§. 24. κληηδόνι) τὸ ἀνωτέρω φήμη. κυρίως δὲ τὸ μὲν λέγεται ἐπὶ θείων φωνῶν, τὸ δὲ κληδὼν ἐπὶ ἀνθρωπινων· πολλάκις ὅμως κεῖνται ὡς ταυτοσήμαντα.— κατέδ. τὴν ἐ. θαν.) Βιβλ. Γ'. 119.



(κεφ. 73.) 25. Αθηναῖοι δὲ μετὰ ταῦτα, Κλεισθένεα καὶ τὰ ἑπτακόσια ἐπίςια τὰ διωχθέντα ὑπὸ Κλεομένεος μεταπεμψάμενοι, πέμπουσι ἀγγέλους ἐς Σάρδις, ξυμμαχίην βουλόμενοι ποιήσασθαι πρὸς Πέρσας· ἠπιςέατο γάρ σφι πρὸς Λακεδαιμονίους τε καὶ Κλεομένεα ἐκπεπολεμῶσθαι. 26. Απικομένων δὲ τῶν ἀγγέλων ἐς τὰς Σάρδις, καὶ λεγόντων τὰ ἐντεταλμένα, Αρταφέρνης ὁ Υςάσπεος, Σαρδίων ὕπαρχος, ἐπειρώτα τίνες ἐόντες ἄνθρωποι, καὶ κῇ γῆς οἰκημένοι, δεοίατο Περσέων ξύμμαχοι γενέσθαι· πυθόμενος δὲ πρὸς τῶν ἀγγέλων ἀπεκορύφου σφι τάδε· εἰ μὲν διδοῦσι βασιλέϊ Δαρείῳ Αθηναῖοι γῆν τε καὶ ὕδωρ, ὁ δὲ ξυμμαχίην σφι συνετίθετο· εἰ δὲ μὴ διδοῦσι, ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευε. 27. Οἱ δὲ ἄγγελοι, ἐπὶ σφέων αὐτέων βαλλόμενοι, διδόναι ἔφασαν, βουλόμενοι τὴν ξυμμαχίην ποιήσασθαι. Οὗτοι μὲν δὴ, ἀπελθόντες ἐς τὴν ἑωϋτῶν, αἰτίας μεγάλας ἔχον. (κεφ. 74.) 28. Κλεομένης δὲ, ἐπιςάμενος περιϋβρίσθαι ἔπεσι καὶ ἔργοισι ὑπ' Αθηναίων, ξυνέλεγε ἐκ πάσης Πελοποννήσου ςρατὸν, οὐ φράζων ἐς τὸ ξυλλέγει· τίσασθαί τε ἐθέλων τὸν δῆμον τῶν

---

ἀντὶ τοῦ, κατέδ. ἀπάξοντες τὴν.. καθάπερ καὶ Αρριαν. περὶ Αναβ. Ζ'. σελ. 456. « ἀπάγειν κελεύειν τὴν ἐπὶ θανάτῳ. » Προςυπακουςέον δὲ τὸ ὁδόν. Ξενοφ. Κύρ. Π. Β'. δ'. 13. « προέπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδόν. » — Τιμησίθ.) Τιμασίθ. Ιδ. περὶ τούτου Πασαν. ς'. 8.

§. 25. ἐπίςια) Ιδ. §. 20.— ἐκπεπολ.) τουτέςιν, ἐχθροὺς, πολεμίους γεγενημένους.

§. 26. ἀπεκορύφου) ἠμείβετο ὀλίγοις· κυρίως δὲ περὶ τοῦ ὅςτις μόνον τῶν κορυφῶν τινος πράγματος ἐφάπτεται.

§. 27. ἐπὶ σφ. αὐτ. βαλ.) παίρνοντες αὐτοὶ τὴν ὑπόθεσιν ἐπάνω των. Βιβλ. Γ'. 155. « νῦν δ' ἐμεωϋτοῦ βαλλόμενος ἔπρηξα. » Ε'. 106. « ἴσθι αὐτὸν ἐπ' ἑωϋτοῦ βαλλόμενον πεπρηχέναι. » — ἐς τὴν ἑωυτ.) πατρίδα δηλ.— αἰτ. μεγ. ἔχον) ἀντὶ, εἶχον. Ιδ. §. 17.

§. 28. ἐς τὸ ξυλ.) ἀντὶ, ἐς ὃ τέλος.— τίσασθ.... κατας.) ἐξήγησις τοῦ, ἐς τό.

Ἀθηναίων, καὶ Ἰσαγόρεα βουλόμενος τύραννον καταστῆσαι· ξυνεξῆλθε γάρ οἱ οὗτος ἐκ τῆς ἀκρόπολιος. 29. Κλεομένης τε δὴ στόλῳ μεγάλῳ ἐσέβαλε ἐς τὴν Ἐλευσῖνα, καὶ οἱ Βοιωτοὶ ἀπὸ ξυνθήματος Οἰνόην αἱρέουσι, καὶ Ὑσιάς, δήμους τοὺς ἐσχάτους τῆς Ἀττικῆς. Χαλκιδέες τε ἐπὶ τὰ ἕτερα ἐσίνοντο, ἐπιόντες χώρους τῆς Ἀττικῆς. Ἀθηναῖοι δὲ, καίπερ ἀμφιβολίῃ ἐχόμενοι, Βοιωτῶν μὲν καὶ Χαλκιδέων ἐσύστερον ἔμελλον μνήμην ποιήσεσθαι, Πελοποννησίοισι δὲ ἐοῦσι ἐν Ἐλευσῖνι ἀντία ἔθεντο τὰ ὅπλα.

(κεφ. 75.) 30. Μελλόντων δὲ ξυνάψειν τὰ στρατόπεδα ἐς μάχην, Κορίνθιοι μὲν πρῶτοι, σφὶ αὐτοῖσι δόντες λόγον ὡς οὐ ποιοῖεν τὰ δίκαια, μετεβάλλοντό τε καὶ ἀπαλλάσσοντο· μετὰ δὲ, Δημάρητος ὁ Ἀρίστωνος, ἐὼν καὶ οὗτος βασιλεὺς Σπαρτιητέων, καὶ ξυνεξαγαγών τε τὴν στρατιὴν ἐκ Λακεδαίμονος, καὶ οὐκ ἐὼν διάφορος ἐν τῷ πρόσθεν χρόνῳ Κλεομένεϊ. 31. Ἀπὸ δὲ ταύτης τῆς διχοστασίης ἐτέθη νόμος ἐν Σπάρτῃ, μὴ ἐξεῖναι ἕπεσθαι ἀμφοτέρους τοὺς βασιλῆας, ἐξιούσης τῆς στρατιῆς· τέως γὰρ ἀμφότεροι εἵποντο· παραλυομένου δὲ τουτέων τοῦ ἑτέρου, καταλείπεσθαι καὶ τῶν Τυνδαριδέων τὸν ἕτερον· πρὸ τοῦ γὰρ δὴ καὶ οὗτοι ἀμφότεροι, ἐπίκλητοί σφι ἐόντες, εἵποντο. 32. Τότε δὴ ἐν τῇ Ἐλευσῖνι ὁρέωντες οἱ λοιποὶ τῶν ξυμμάχων τούς τε βασιλῆας τῶν Λακεδαιμονίων οὐκ ὁμολογέοντας, καὶ Κορινθίους ἐκλιπόντας τὴν τάξιν, οἴχοντο καὶ αὐτοὶ ἀπαλλασσόμενοι.

(κεφ. 77.) 33. Διαλυθέντος ὦν τοῦ στόλου τούτου ἀκλεῶς, ἐνθαῦτα Ἀθηναῖοι, τίννυσθαι βουλόμενοι, πρῶτα στρατηΐην ποιεῦνται ἐπὶ Χαλκιδέας. Βοιωτοὶ δὲ τοῖσι Χαλκιδεῦσι βοηθέουσι ἐπὶ τὸν Εὔριπον. Ἀθηναίοισι δὲ ἰδοῦσι τοὺς Βοιωτοὺς ἔδοξε πρότερον τοῖσι Βοιωτοῖσι ἢ τοῖσι Χαλκιδεῦσι ἐπιχειρέειν. 34. Ξυμβάλλουσί τε δὲ τοῖσι Βοιωτοῖσι οἱ Ἀθηναῖοι, καὶ πολλῷ ἐκράτησαν· κάρτα δὲ πολλοὺς φονεύσαντες ἑπτακοσίους αὐτέων ἐζώγρησαν. Τῆς

---

§. 29. ἀπὸ ξυνθ.) τουτέστιν, ἐκ συνθ. Θουκυδ. Π'. 91. «ἀπὸ παραγγέλματος αἰφνιδίου ἄρας.» — Οἰνόην) δῆμον εἰς τὸ ἀρκτικὸν μέρος τῆς Ἀττικῆς πρὸς τὰ σύνορα τῆς Βοιωτίας. — Ὑσιάς) δῆμος τῆς Ἀττικῆς, Ὑσιαὶ καλούμενος, δὲν εἶναι γνωστὸς, ἀλλὰ τόπος τις τῆς Βοιωτίας εἰς τὸ δυτικὸν μέρος τοῦ Κιθαιρῶνος. Ὑπολαμβάνουσι οἵτινες, ὅτι ὁ τόπος οὗτος ἀνῆκε τὸ πάλαι εἰς τὴν Ἀττικὴν, τὸ ὁποῖον εἶναι ἀναπόδεικτον καὶ ἀπίθανον. — ἐσίνοντο) ἐλυμαίνοντο τὴν γῆν. — χώρους) τοὺς ἀγρούς. — καίπερ (τὸ πρῶτον) ἀμφιβ. ἐχ.) τουτέστιν, ἀμφίβολοι ὄντες. — ἔμελλον μν. ποιήσ.) ἀντὶ τοῦ συνήθους, ἔδοξεν αὐτοῖς, τοῖς μὲν Βοιωτοῖς καὶ Χαλκιδεῦσι ἐσύστ. ἀπαντῆν. — ἀντ. ἔθ. τὰ ὅπλα) Ἰδ. ἀριθμ. ΑΒ'. §. 14.

§. 30. λόγον δόντες) τουτέστι, λογισάμενοι. Βιβλ. Α'. 209. Κῦρος ἐδίδου λόγον ἑωυτῷ περὶ τῆς ὄψιος.» βιβλ. Α'. 107.» οἱ δὲ εὖθαι δόντες σφίσι λόγον.» — μετεβάλ.) τουτέστι μετεβουλεύοντο.

§. 31. ἀπὸ δὲ τ.) Βιγέρ. σελ. 581. σημ. — ἕπεσθαι) συνεξέρχεσθαι. — τοῦ ἑτέρου τουτέων) τῶν βασιλέων δηλ. — Τυνδαρ.) οἱ Σπαρτιᾶται, ὡς φαίνεται, ἐλάμβανον τὰ ἀγάλματα καὶ τῶν δύο Διοσκούρων, ὡς θεῶν βοηθῶν, εἰς τὸν πόλεμον· διότι οὗτοι καὶ εἰς καιρὸν εἰρήνης ἦσαν προστάται τοῦ βασιλείου τῆς Σπάρτης. Ὑπὸ τὴν προστασίαν τούτων ἐδιοίκουν καὶ ἐπολέμουν οἱ βασιλεῖς. Ἐὰν λοιπὸν ὁ εἷς τῶν βασιλέων ἔμενεν εἰς τὴν Σπάρτην, ἔπρεπε νὰ μείνῃ ὀπίσω καὶ τὸ ἓν τῶν ἀγαλμάτων ἐκείνων. — ἐπίκλητοι) σύμμαχοι.

§. 32. οἴχοντο) (ἀντὶ, ᾤχοντο) ἀπαλλ.) Βιγέρ. σελ. 349.

§. 33. ἐνταῦθα) Ἰδ. ΑΒ'. §. 19. — ἐπὶ Χαλκ.) Ἰδ. §. 29. Οἱ Χαλκιδεῖς, ὡς ἐκ τῆς συνεχείας τοῦ λόγου δῆλον γίνεται, ἐπέστρεψαν εἰς τὴν πατρίδα των, καὶ ὅτε οἱ Ἀθηναῖοι ἤθελον νὰ διαβῶσιν εἰς τὴν Εὔβοιαν, ἀντεστάθησαν εἰς αὐτοὺς οἱ Βοιωτοὶ ἐπὶ τὸν Εὔριπον (τὸν μεταξὺ Εὐβοίας καὶ Βοιωτίας πορθμὸν), καὶ ἡ μάχη ἔγινεν ἐπὶ τῆς ξηρᾶς.

§. 34. πολλῷ ἐκράτ.) τουτέστι, πολλῷ κρείττονες ἐγένοντο. Οὕτω §. 65.» πολλὸν ἑσσώθησαν.» καὶ βιβλ. Θ'. 23. «ἑσσοῦντο πολλόν.» Ἰδ. ἀριθμ. ΑΕ'. §. 21. — κληρούχ. ἐπὶ τῇ τῶν ἱππ. χώρ.) κατέσχον τὰ ὑπάρχοντα τῶν Χαλκιδέων, στείλαντες ἀποίκους ἐκ τῆς Ἀττικῆς. — ἱπποβότ.) κυρίως ἐκεῖνοι, οἱ ὁποῖοι, ὄντες πλούσιοι ἐ-

δὲ αὐτῆς ταύτης ἡμέρης οἱ Ἀθηναῖοι, διαβάντες ἐς τὴν Εὔβοιαν, ξυμβάλλουσι καὶ τοῖσι Χαλκιδεῦσι· νικήσαντες δὲ καὶ τούτους τετρακισχιλίους κληρούχους ἐπὶ τῶν ἱπποβοτέων τῇ χώρῃ λείπουσι· οἱ δὲ ἱπποβόται ἐκαλέοντο οἱ παχέες τῶν Χαλκιδέων. 35. Ὅσους δὲ καὶ τουτέων ἐζώγρησαν, ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ, ἐν πέδαις δήσαντες· χρόνῳ δὲ ἔλυσάν σφεας διμνέως ἀποτιμησάμενοι. Τὰς δὲ πέδας αὐτέων, ἐν τῇσι ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν.

(κεφ. 78.) 36. Ἀθηναῖοι μέν νυν ηὔξηντο· δηλοῖ δὲ οὐ κατ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ ἡ ἰσηγορίη ὡς ἐστι χρῆμα σπουδαῖον, εἰ καὶ Ἀθηναῖοι, τυραννευόμενοι μὲν, οὐδαμῶν τῶν σφέας περιοικεόντων ἔσαν τὰ πολέμια ἀμείνους, ἀπαλλαχθέντες δὲ τυράννων, μακρῷ πρῶτοι ἐγένοντο· δηλοῖ ὦν ταῦτα, ὅτι κατεχόμενοι μὲν, ἐθελοκάκεον, ὡς δεσπότῃ ἐργαζόμενοι, ἐλευθερωθέντων δὲ, αὐτὸς ἕκαστος ἑωυτῷ προθυμέετο κατεργάζεσθαι.

χανῶς, ἐδύναντο νὰ τρέφωσιν ἵππους. Ξενίζον εἶναι ἐνταῦθα τὸ ἄρθρον, ὅθεν καὶ ὁ Βαλκκεναῖρος προβάλλει τὴν ἀνάγνωσιν, ἱπποβόται δέ. Ἀλλ' ἴσως μόνον ἡ ἔκφρασις δὲν εἶναι ἀκριβὴς, ἀντὶ τοῦ, οἱ δὲ ἱπποβόται καλούμενοι ἦσαν οἱ παχεῖς.

§. 35. ἐν πέδ. δήσ.) ἀντὶ, ἔχοντες. Η Ἐν μετὰ Αττικῆς ὀργάνον σημαινούσης πλεονάζει πολλάκις. Βιγέρ. σελ. 608 XIII. καὶ σελ. 812. 387. — διμνέως) τουτέστι, δυοῖν μνῶν ἀξίους.

§. 36. ἡ ἰσηγορ.) τουτέστιν, ἰσονομία. — σπουδαῖον) σπουδῆς ἄξιον. — οὐ κατ' ἓν μοῦνον) τουτέστιν, οὐχ ἑνὶ μόνῳ λόγῳ, ἀλλὰ παντὶ τρόπῳ. — Η περίοδος αὕτη Αττικῶς οὕτως ἤθελεν ἔχει, ἡ ἰσηγορία φανερὸν ἐστι χρῆμα σπουδαῖον οὖσα. — κατεχόμ.) τῷ τῆς τυραννίδος ζυγῷ δηλ. — ἐλευθερωθέντων) αὐτῶν δηλ. Ἀντὶ τούτου ἠμπόρει νὰ ἦναι καὶ, ἐλευθερωθέντες.



(κεφ. 82.) 37. Η δὲ ἔχθρη ἡ προοφειλομένη ἐς Ἀθηναίους ἐκ τῶν Αἰγινητέων ἐγένετο ἐξ ἀρχῆς τοιῆσδε. Ἐπιδαυρίοισι ἡ γῆ καρπὸν οὐδένα ἀνεδίδου. Περὶ ταύτης ὦν τῆς ξυμφορῆς οἱ Ἐπιδαύριοι ἐχρέωντο ἐν Δελφοῖσι· ἡ δὲ Πυθίη σφέας ἐκέλευε Δαμίης τε καὶ Αὐξησίης ἀγάλματα ἱδρύσασθαι· καί σφι ἱδρυσαμένοισι ἄμεινον συνοίσεσθαι. 38. Ἐπειρώτεον ὦν οἱ Ἐπιδαύριοι, κότερα χαλκοῦ ποιέονται τὰ ἀγάλματα, ἢ λίθου· ἡ δὲ Πυθίη οὐδέτερα τουτέων ἔα, ἀλλὰ ξύλου ἡμέρης ἐλαίης. Ἐδέοντο ὦν οἱ Ἐπιδαύριοι Ἀθηναίων ἐλαίην σφι δοῦναι ταμέσθαι, ἱρωτάτας δὴ κείνας νομίζοντες· λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἔσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ' ἐκεῖνον τὸν χρόνον, ἢ Ἀθήνῃσι. 39. Οἱ δὲ ἐπὶ τοῖσδε δώσειν ἔφασαν, ἐπ' ᾧ ἀπάξουσι ἔτεος ἑκάστου τῇ Ἀθηναίῃ τῇ Πολιάδι ἱρὰ, καὶ τῷ Ἐρεχθέϊ καται-

§. 37. προοφειλ.) ἡ ἔχθρα θεωρεῖται ὡς χρέος. — Ἐπιδαυρ.) ἐπὶ τῶν παραθαλασσίων τῆς Ἀργολίδος, ἀντικρὺ τῆς νήσου Αἰγίνης. — Δαμίης (ἐκ τοῦ δῆμος, δωρικ. δᾶμος) καὶ Αὐξ.) ὑπὸ τὰ ὀνόματα ταῦτα ἐννόουν τὴν Δήμητρα καὶ τὴν Περσεφόνην, ὡς τοὺς δήμους ὑπερασπιζούσας, καὶ τὸν πλοῦτον αὐξανούσας θεάς. — ἄμεινον συνοίσ.) συνηθέστερον τὸ, ἔσεσθαι. Βιβλ. Α'. 187. »μὴ ἄλλως ἀνοίξῃ, οὐ γὰρ ἄμεινον» (Ιδ. ἀριθμ. ΙΙΙ' §. 90). Βιβλ. §. Δ'. 15. »πειθομένοισι ἄμεινον συνοίσεσθαι.» καὶ Ε. 114. »καί σφι ποιεῦσι ταῦτα ἄμεινον συνοίσεσθαι».

§. 38. κότερα (πότερα) ποιέονται) οὐχὶ, ὡς θέλει ὁ Βαλκεναῖρος, ποιέωνται. — οὐδέτ.... ἔα) οὐκ ἔα, ἠρνεῖτο, ἀπέτρεπεν. Βιβλ. Ε'. 36. »Ἑκαταῖος.... πρῶτα μὲν οὐκ ἔα πόλεμον βασιλέϊ ἀναιρέεσθαι·» βιβλ. Β'. 30.» καί σφεας θεοὺς πατρῴους ἀπολιπεῖν οὐκ ἔα.» Η'. 36.» ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν.» — δοῦναι) συγχωρῆσαι. — Ἀθήνῃσι) ὁ Ηρόδ. βάλλει τὰ ὀνόματα τῶν πόλεων ἐπὶ τῆς ἐρωτήσεως, ποῦ; ποτὲ μὲν μετὰ τῆς Ἐν, ποτὲ δὲ χωρὶς αὐτῆς.

§. 39. ἐπὶ τοῖσδε.....ἐπ' ᾧ) καὶ μόνον τὸ, ἐπ' ᾧ, ἤθελεν ἦναι ἱκανόν· παραδείγματα τῆς περιττότητος ταύτης φέρει ὁ Βιγέρ.

νέσαντες δ' ἐπὶ τούτοισι οἱ Ἐπιδαύριοι τῶν τε ἐδέοντο ἔτυχον, καὶ ἀγάλματα ἐκ τῶν ἐλαιέων τουτέων ποιησάμενοι ἱδρύσαντο· καὶ ἥ τε γῆ σφι ἔφερε, καὶ Ἀθηναίοισι ἐπετέλεον τὰ ξυνέθεντο·

(κεφ. 83.) 40. Τοῦτον δὲ ἔτι τὸν χρόνον, καὶ προ τοῦ, Αἰγινῆται Ἐπιδαυρίων ἤκουον, τά τε ἄλλα καὶ δὴ καὶ δίκας, διαβαίνοντες ἐς Ἐπίδαυρον, ἐδίδοσάν τε καὶ ἐλάμβανον παρ' ἀλλήλων οἱ Αἰγινῆται. 41. Τὸ δὲ ἀπὸ τοῦδε, νῆάς τε πηξάμενοι, καὶ ἀγνωμοσύνῃ χρησάμενοι, ἀπέστησαν ἀπὸ τῶν Ἐπιδαυρίων. Ἅτε δὲ ἐόντες διάφοροι, ἐδηλέοντο αὐτοὺς, ὥστε δὴ θαλασσοκράτορες ἐόντες, καὶ δὴ καὶ τὰ ἀγάλματα ταῦτα τῆς τε Δαμίης καὶ τῆς Αὐξησίης ὑπαιρέονται αὐτέων· καί σφεα ἐκόμισάν τε καὶ ἱδρύσαντο τῆς σφετέρης χώρης ἐς τὴν μεσόγαιαν, τῇ Οἴη μὲν ἐστι οὔνομα, στάδια δὲ μάλιστά κη ἀπὸ τῆς πόλιος ὡς εἴκοσι ἀπέχει. 42. Ἱδρυσάμενοι δὲ ἐν τούτῳ τῷ χώρῳ, θυσίῃ-

σελ. 618. — Ἀθην. πολ.) Ἀθηναίη Πολιάς, ἡ τῶν πόλεων φύλαξ. ἐνταῦθα δὲ τῆς ἀκροπόλεως, ὅπου ἐκ ξύλου ἐλαίας κατασκευασμένη ἵστατο ἐν τῷ Ερεχθείῳ. — Ερεχθ.) ἐγχωρίῳ τινι ἥρωϊ, ὅστις ἐτιμᾶτο ὡσαύτως ἐπὶ τῆς Ακροπόλεως. Παράβ. ἀριθμ. Λς΄. 11.

§. 40. καὶ δὴ καὶ) παρελείφθη κατὰ τὸ πρόβλημα τοῦ Βαλκενάρου αἱ ἀντιγραφεῖς παρεῖδον τὸ, δὴ καὶ, διὰ το παρακείμενον, δίκας. Παράβ. ἀριθμ. ΛΑ΄. §. 1. — δίκας....ἐδίδ. καὶ ἐλάμβ.) δίκας δοῦναι καὶ λαβεῖν λέγεται περὶ ἐκείνων, οἱ ὁποῖοι μὴ ἔχοντες ἴδια κριτήρια ἔπρεπε νὰ πηγαίνωσιν ἀλλοῦ νὰ θεωρῶσι τὰς κρίσεις των.

§. 41. τὸ ἀπὸ τοῦδε) Ἰδ. §. 47. Βιγὴρ σελ. 21. σημ. — ἅτε ἐόντες) καθὼς τὸ, οἷα. Ἰδ. ΑΒ΄. §. 9. — διάφοροι) ἐχθροὶ, διαφερόμενοι πρὸς αὐτούς. — δηλέοντο) ἐσίνοντο. — σφεα) αὐτά. — τῆς σφετ. χ. ἐς τὴν μεσ.) Ἰδ. περὶ τῆς τάξεως τῶν λέξεων ταύτης. ΑΒ΄. §. 12. Οὕτω καὶ §. 9 " ταφαὶ τῆς Αττικῆς Αλωπεκῆσι" καὶ ἀριθμ. ΙΗ΄. §. 77. — τῇ (ᾗ) Οἴη) ὠνομάζετο ὁ τόπος οὕτως, ἴσως διὰ τὴν ἑαυτοῦ θέσιν, ἀπὸ τοῦ Οἶος, μόνος.

§. 42. κερτόμοισι.) ἐνθυμηθήτω τις τὰ ἐπὶ τῶν Ελευσινίων ἑορτῶν γε-



σι τέ σφεα καὶ φοροῖσι γυναικηΐοισι κερτόμοισι ἱλάσκοντο, χορηγῶν ἀποδεικνυμένων ἑκατέρῃ τῶν δαιμόνων δέκα ἀνδρῶν· κακῶς δὲ ἠγόρευον οἱ χοροὶ ἄνδρα μὲν οὐδένα, τὰς δὲ ἐπιχωρίας γυναῖκας. Ἐσαν δὲ καὶ τοῖσι Ἐπιδαυρίοισι αἱ τοιαῦται ἱρουργίαι· εἰσί δέ σφι καὶ ἄῤῥητοι ἱρουργίαι. (κεφ. 84.) 43. Κλεφθέντων δὲ τῶνδε τῶν ἀγαλμάτων, οἱ Ἐπιδαύριοι τοῖσι Ἀθηναίοισι τὰ ξυνέθεντο οὐκ ἐπετέλεον. Πέμψαντες δὲ οἱ Ἀθηναῖοι ἐμήνιον τοῖσι Ἐπιδαυρίοισι· οἱ δὲ ἀπέφαινον λόγῳ ὡς οὐκ ἀδικοῖεν· ὅσον μὲν γὰρ χρόνον εἶχον τὰ ἀγάλματα ἐν τῇ χώρῃ, ἐπιτελέειν τὰ ξυνέθεντο· ἐπεὶ δὲ ἐστερῆσθαι αὐτέων, οὐ δίκαιον εἶναι ἀποφέρειν ἔτι, ἀλλὰ τοὺς ἔχοντας αὐτὰ Αἰγινήτας πρήσσεσθαι ἐκέλευον. 44. Πρὸς ταῦτα Ἀθηναῖοι, ἐς Αἴγιναν πέμψαντες, ἀπαίτεον τὰ ἀγάλματα· οἱ δὲ Αἰγινῆται ἔφασαν σφίσι τε καὶ Ἀθηναίοισι εἶναι οὐδὲν πρῆγμα. (§. 85.) 45. Ἀθηναῖοι μέν νυν λέγουσι, μετὰ τὴν ἀπαίτησιν ἀποσταλῆναι τριήρεϊ

φυρισμὸν, καὶ τὰ σκώμματα ἐπὶ τῶν Διονυσίων. — κακῶς ἠγόρ.) τουτέστιν, ἐκερτόμουν, ἐκακολόγουν. — ἄῤῥητοι) μυστηριώδεις.

§. 43. ἐπεὶ....ἐστερ.) εἰς τὸν πλάγιον λόγον (ὅταν τις ἀναφέρῃ αὐτοὺς τοὺς λόγους ἄλλου τινὸς) ἐκφράζουσιν οἱ Ἕλληνες καὶ τὰς παρεμπιπτούσας προτάσεις πολλάκις δι' Απαρεμφάτου. Ξενοφ. Α΄. α. 13. « Σωκράτης ἐθαύμαζεν, εἰμὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν. » —

§. 44. ἀπαίτεον) ἀντὶ, ἀπῄτεον. — οὐδὲν πρῆγμα) τουτέστιν, οὐδὲν εἶναι κοινὸν (οὐδεμίαν κοινωνίαν). Βιβλ. Ε΄. 33. « σοὶ δὲ καὶ τούτοισι τοῖσι πρήγμασι τί ἐστί; » Δημοσθ. Περὶ στεφάν. σελ. 186. « διομνύμενος μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα ».

§. 45. ἀστῶν τούτους) αἱ δυσκολίαι, τὰς ὁποίας φαίνεται ὅτι ἔχει ἡ Αντωνυμία αὕτη, σηκόνονται, ἐάν τις φέρῃ τὴν δύναμιν τοῦ λόγου ἐπὶ τῶν λέξεων, τριήρεϊ μιῇ, ἐπὶ τῶν ὁποίων ἐπιστηρίζεται καὶ ἡ φιλονεικία. Ἰδ. §. 46. Διὰ νὰ κάμῃ τὴν περίστασιν ταύτην ὁ Ηρόδ. νὰ ἐξέχῃ περισσότερον, μεταβάλλει τὴν κυρίαν πρότασιν εἰς παρεμπίπτουσαν· Κοινῶς οὕτως ἤθελον ἔχει ἡ διήγησις, μετὰ

μιῇ τῶν ἀςῶν τούτους, οἳ ἀποπεμφθέντες ἀπὸ τοῦ κοινοῦ, καὶ ἀπικόμενοι ἐς Αἴγιναν, τὰ ἀγάλματα ταῦτα, ὡς σφετέρων ξύλων ἐόντα, ἐπειρῶντο ἐκ τῶν βάθρων ἐξανασπᾷν, ἵνα σφεα ἀνακομίσωνται. Οὐ δυναμένους δὲ τούτῳ τῷ τρόπῳ αὐτέων κρατῆσαι, περιβαλόντας σχοινία ἕλκειν τὰ ἀγάλματα· καί σφι ἕλκουσι, βροντήν τε καὶ ἅμα βροντῇ σεισμὸν ἐπιγενέσθαι· τοὺς δὲ τριηρίτας τοὺς ἕλκοντας ὑπὸ τουτέων ἀλλοφρονῆσαι· παθόντας δὲ τοῦτο, κτείνειν ἀλλήλους ἅτε πολεμίους· ἐς ὃ ἐκ πάντων ἕνα λειφθέντα, ἀνακομισθῆναι αὐτὸν ἐς Φάληρον.

(κεφ. 86.) 46. Αθηναῖοι μέν νυν οὕτω λέγουσι γενέσθαι. Αἰγινῆται δὲ, οὐ νηΐ μιῇ ἀπικέσθαι Αθηναίους· μίην μὲν γὰρ, καὶ ὀλίγῳ πλεῦνας μιῆς, καὶ εἴ σφι μὴ ἔτυχον ἐοῦσαι νέες, ἀπαμύνασθαι ἂν εὐπετέως· ἀλλὰ πολλῇσι νηυσὶ ἐπιπλέειν σφι ἐπὶ τὴν χώρην· αὐτοὶ δέ σφι εἶξαι, καὶ οὐ διαναυμαχῆσαι. Οὐκ ἔχουσι δὲ τοῦτο διασημῆναι ἀτρεκέως, οὔτε εἰ ἕσσονες συγγινωσκόμενοι εἶναι τῇ ναυμαχίῃ, κατὰ τοῦτο εἶξαν, οὔτε εἰ βουλόμενοι ποιῆσαι οἷόν τι καὶ ἐποίησαν. 47. Αθηναίους μέν νυν, ἐπεί τέ σφι

τὴν ἀπαίτησιν οἱ Αθηναῖοι ἀπέπεμψάν τινας ἀπὸ τοῦ κοινοῦ, οἳ ἀφικόμενοι εἰς Αἴγ. . . . ἀνακομίσωνται. Τούτους οὖν οἱ μὲν Αθηναῖοι μιᾷ τριήρει ἀποςαλῆναι λέγουσι. — σεισμὸν) τῆς γῆς. — ἀλλοφρον.) τουτέςιν, ἀλλοιωθῆναι τὰς φρένας. — ἐς ὃ) ἀντὶ, ἕςτε, ἢ, ἕως οὗ. — αὐτὸν) πλεοναςικῶς. Ιδ. §. 3.

§. 46. Αθηναῖοι μέν νυν) αἱ λέξεις αὗται ἀναλαμβάνουσι πάλιν τὴν συνέχειαν τῆς διηγήσεως, ἥτις §. 44 διεκόπη διὰ τῶν παρεμβληθεισῶν περιςάσεων. — καὶ εἰ) ἴδωμεν δὲ ὅτι. Βιγέρ. σελ. 192. — νέες) Παράδ. §. 41. — αὐτοὶ δέ σφι εἶξαι) περὶ τῆς Ομοςιχ. μετὰ Απαρεμφ. Ιδ. Γραμ. Βουτ. §. ΡΚΘ'. 6'. Δ'. — ὀρθὴ γραφὴ τοῦ διαναυμαχῆσαι, κατὰ χειρόγραφά τινα, ἐνεθεῖσα ἀντὶ ἄλλων εἰς τὸ, οὐδ' ἀνταναυμαχ. καὶ εἰς τὸ, ναυμαχ. — κατὰ τοῦ- πλεονάζει. — οἷόν τι καὶ) ἐμφαντικῶς, ἀντὶ τοῦ, ὃ καὶ

§. 47. οὕτω δὴ) ὡς ἀπόδοσις τῆς προτάσεως. Ιδ. ΑΒ' §. 19.



οὐδένα ἐς μάχην κατίςατο, ἀποβάντας ἀπὸ τῶν νεῶν, τραπέσθαι πρὸς τὰ ἀγάλματα· οὐ δυναμένους δὲ ἀνασπάσαι ἐκ τῶν βάθρων αὐτὰ, οὕτω δὴ περιβαλλομένους σχοινία ἕλκειν, ἐς ὃ ἑλκόμενα τὰ ἀγάλματα ἀμφότερα τὠυτὸ ποιῆσαι· ἐμοὶ μὲν οὐ πιςὰ λέγοντες, ἄλλῳ δέ τεῳ· ἐς γούνατα γάρ σφι αὐτὰ πεσέειν, καὶ τὸν ἀπὸ τούτου χρόνον διατελέειν οὕτω ἔχοντα. 48. Αθηναίους μὲν δὴ ταῦτα ποιέειν· σφέας δὲ Αἰγινῆται λέγουσι πυθομένους τοὺς Αθηναίους, ὡς μέλλοιεν ἐπὶ σφέας ςρατεύεσθαι, ἑτοίμους Αργείους ποιέεσθαι. Τούς τε δὴ Αθηναίους ἀποβεβάναι ἐς τὴν Αἰγιναίην, καὶ παρεῖναι βοηθέοντάς σφι τοὺς Αργείους· καὶ λαθεῖν τε ἐξ Επιδαύρου διαβάντας ἐς τὴν νῆσον, καὶ οὐ προακηκοῦσι τοῖσι Αθηναίοισι ἐπιπεσέειν ὑποταμομένους τὸ ἀπὸ τῶν νεῶν· ἅμα τε ἐν τούτῳ τὴν βροντήν τε γενέσθαι καὶ τὸν σεισμὸν αὐτοῖσι.

(κεφ. 87.) 49. Λέγεται μέν νυν ὑπ' Αργείων τε καὶ Αἰγινητέων τάδε. Ομολογέεται δὲ καὶ ὑπ' Αθηναίων, ἕνα μοῦνον τὸν ἀποσωθέντα αὐτέων ἐς τὴν Αττικὴν γενέσθαι· πλὴν Αργεῖοι μὲν λέγουσι, αὐτέων τὸ Αττικὸν ςρατόπεδον διαφθειράντων, τὸν ἕνα τοῦτον περιγενέσθαι· Αθη-

— ἄλλῳ δέ τεῳ) ἀντὶ, τῳ, τουτέςι, τινι. Τῇ αὐτῇ ἐκφράσει κέχρηται Ηρόδ. καὶ ἐν βιβλ. Α'. 42. — σφι) τοῖς ἕλκουσιν· ἡ Δοτικὴ κατὰ πλεονασμόν. — τὸν ἀπὸ τούτου) Ιδ. §. 41. — διατελ. οὕτω ἔχ.) τουτέςιν, ἀεὶ ἐν τῷ αὐτῷ σχήματι μεῖναι.

§. 48. τούς τε . . . Αἰγιν.) ὁ λόγος οὗτος ἔπρεπε κυρίως νὰ ἐκφρασθῇ ὑπτίως, τῶν δὲ Αθηναίων ἀποβεβηκότων. Πλὴν ὁ Ηρόδοτος συνειθίζει νὰ ὀρθοῖ τοὺς πλαγίους λόγους. Οὕτως §. 53. » Ιππίης . . . . καὶ οἱ Αθηναῖοι». — Αἰγιναίην) νῆσον δηλ. ἀντὶ, Αἴγιναν. — τὸ ἀπὸ τῶν νεῶν) τὸ Αρθρον πρὸ τῆς Προθέσ. πλεονάζει. Βιβλ. Α'. 159. » πρὶν τὸ ἀπὸ σεῦ ἡμῖν δηλωθῇ ὁκότερα ποιέωμεν.» Γ'. 40. » ἤν τε μὴ . . . τὠπὸ τούτου αἱ εὐτυχίαι.»

§. 49. τὸν ἀποσωθ.) τὸ ὡρισμένον Αρθρον ἀνάγει εἰς §. 45. — τοῦ δαιμονίου) διαφθείραντος τὸν ὑπ' αὐτῶν πεμφθέντα ςόλον δηλ.

ναῖοι δὲ, τοῦ δαιμονίου· περιγενέσθαι μέντοι οὐδὲ τοῦτον τὸν ἕνα, ἀλλ' ἀπολέσθαι τρόπῳ τοιῷδε· 50. Κομισθεὶς γὰρ ἐς τὰς Ἀθήνας ἀπήγγειλε τὸ πάθος· πυθομένας δὲ τὰς γυναῖκας τῶν ἐπ' Αἴγιναν ϛρατευσαμένων ἀνδρῶν, δεινόν τι ποιησαμένας κεῖνον μοῦνον ἐξ ἁπάντων σωθῆναι, πέριξ τὸν ἄνθρωπον τοῦτον λαβούσας καὶ κεντεύσας τῇσι περόνῃσι τῶν ἱματίων, εἰρωτᾷν ἑκάϛην αὐτέων ὅκῃ εἴη ὁ ἑωϋτῆς ἀνήρ· καὶ τοῦτον μὲν οὕτω διαφθαρῆναι. 51. Ἀθηναίοισι δὲ ἔτι τοῦ πάθεος δεινότερόν τι δόξαι εἶναι τὸ τῶν γυναικῶν ἔργον· ἄλλο μὲν δὴ οὐκ ἔχειν ὅτεω ζημιώσουσι τὰς γυναῖκας, τὴν δὲ ἐσθῆτα μετέβαλον αὐτέων ἐς τὴν Ἰάδα· ἐφόρεον γὰρ δὴ προτοῦ αἱ τῶν Ἀθηναίων γυναῖκες ἐσθῆτα Δωρίδα, τῇ Κορινθίῃ παραπλησιωτάτην· μετέβαλον ὦν ἐς τὸν λίνεον κιθῶνα, ἵνα δὴ περόνῃσι μὴ χρέωνται.

---

§. 50. κομισθεὶς) ὁ Ηρόδ. ἀρχίζει τὴν διήγησιν εἰς λόγον ὀρθὸν, καὶ ἐξακολουθεῖ εἰς λόγον πλάγιον. Τὸ ἐναντίον εἶναι συνηθέϛερον. — δεινόν τι ποιησ.) Παράβ. ΛΒ'. §. 10. Βιβλ. Γ'. 155. » δεινόν τι ποιεύμενος, Ἀσσυρίους Πέρσῃσι καταγελᾷν. »

§. 51. τοῦ πάθεος) τῆς τῶν ἐν Αἰγίνῃ διαφθαρέντων συμφορᾶς. — ἄλλο... ζημ.) τουτέϛιν, ἄλλην τινὰ ζημίαν οὐκ ἔχειν πλὴν τοῦ μεταβαλεῖν κ. τ. λ. Η συνάφεια τῶν λόγων καθὼς πολλάκις παρ' Ηροδ. Οὕτω βιβλ. Γ'. 37. » ὃς δὲ τούτους μὴ ὀπώπεε, ἐγὼ δὲ οἱ σημανέω. » αὐτ. 72. » ἄλλα δ' ἐϛὶ τὰ λόγῳ μὲν οἷά τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται. » — ὅτεω (ᾧ τινι) ζημιώσουσι) τυχὸν ζημιώσωσι, τὸ ὁποῖον ὁ Βεσσελίγγιος ἔκ τινων χειρογράφων παρέλαβεν. Ιδ. ἀριθμ. ΧΗ'. §. 58. » σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέϛατα διαπορεύσονται. » Ισοκρ. Αρειοπαγ. σελ. 153. » τοῦτο σκοποῦσιν ὁπόθεν ἀεὶ τὴν παροῦσαν ἡμέραν δυνήσονται διαγαγεῖν. » — Ιάδα. Δωρίδα) αἱ Δωρίδες γυναῖκες ἐφόρουν ἁπλοῦν τι φόρεμα, τὸ ὁποῖον, ἀμφοτέρωθεν ἀνοικτὸν, συνεκρατεῖτο περόναις, χωρὶς ζώνης καὶ μετὰ μικρῶν χειρίδων (μανικίων). Αἱ δὲ Ιάδες ἐφόρουν λινοῦς χιτῶνας (κιθῶνας), πολυπτύχους καὶ μακροχειριδωτούς.



* * *

(κεφ. 96.) 52. Ιππίης δὲ ἐπεί τε ἀπίκετο ἐκ τῆς Λακεδαίμονος ἐς τὴν Ἀσίην, πᾶν χρῆμα ἐκίνεε, διαβάλλων τε τοὺς Ἀθηναίους πρὸς τὸν Ἀρταφένεα, καὶ ποιέων ἅπαντα ὅκως αἱ Ἀθῆναι γενοίατο ὑπ' ἑωϋτῷ τε καὶ Δαρείῳ. 53. Ιππίης τε δὴ ταῦτα ἔπρησσε, καὶ οἱ Ἀθηναῖοι, πυθόμενοι ταῦτα, πέμπουσι ἐς Σάρδις ἀγγέλους, οὐκ ἐῶντας τοὺς Πέρσας πείθεσθαι Ἀθηναίων τοῖσι φυγάσι. Ο δὲ Ἀρταφέρνης ἐκέλευε σφέας, εἰ βουλοίατο σόοι εἶναι, καταδέκεσθαι ὀπίσω Ιππίην. Οὔκων δὴ ἐνδεκομένοισι δέ σφι, ἐδέδοκτο ἐκ τοῦ φανεροῦ τοῖσι Πέρσῃσι πολεμίους εἶναι.

(κεφ. 97.) 54. Νομίζουσι δὴ ταῦτα, καὶ διαβεβλημένοισι ἐς τοὺς Πέρσας, ἐν τούτῳ δὴ τῷ καιρῷ ὁ Μιλήσιος Ἀριϛαγόρης ὑπὸ Κλεομένεος τοῦ Λακεδαιμονίου ἐξελαθεὶς ἐκ τῆς Σπάρτης, ἀπίκετο ἐς Ἀθήνας· αὕτη γὰρ ἡ πόλις τῶν λοιπέων ἐδυνάϛευε μέγιϛα. 55. Επελθὼν δὲ

---

§. 52. ἐκ τῆς Λακ.) οἱ Λακεδ. μετεπέμψαντο τὸν Ιππίαν ἐκ τοῦ Σιγείου (Ιδ. §. 13.) εἰς τὴν Σπάρτην, καὶ ἐπειράθησαν νὰ κάμωσιν ὑπὲρ αὐτοῦ συμμαχίαν τινὰ, πλὴν εἰς μάτην· ὅθεν ἐπέϛρεψεν ὁ Ιπ. πάλιν εἰς τὸ Σίγειον.

§. 53. Ιππίης. . . πέμπουσι) Ιδ. §. 48. — οὐκ ἐῶντας) ἀπείργοντας, κωλύοντας. — καταδέκ. ὀπίσω) πάλιν· ὡς καὶ βιβλ. Α'. 13. » ἀποδοῦναι ὀπίσω ἐς Ηρακλείδας τὴν ἀρχήν. » — ἐκ τοῦ φανεροῦ) ἀντὶ, φανερῶς, ἐπιφανῶς. Βιγέρ. σελ. 397.

§. 54. διαβεβλημ.) ὑπὸ τοῦ Ιππίου δηλ. Ιδ. §. 52. — Αἱ Ἀττικαὶ νομίζουσι καὶ διαβεβλ. ἀποδίδονται εἰς τὸ, ἀπίκετο ἐς Ἀθήνας. Οὕτω καὶ §. 58. » οὗτοι ὦν ἐπεί τέ σφι ἀπικέατο. » — ὁ Μιλήσ. Ἀριϛ.) ὁ Ἀριϛαγόρας ἀποϛατεῖ ἐναντίον τοῦ Δαρείου, καὶ ζητεῖ νὰ κατορθώσῃ τὴν ἐλευθερίαν τῶν Ιώνων. Εἰς τὴν ἀρχὴν τοῦ βιβλίου τούτου διηγεῖται ὁ Ηρόδοτος τὰ ἔργα καὶ τοὺς πόνους αὐτοῦ.

§. 55. τά (ἅ) καὶ ἐν τῇ Σ.) Ιδ. βιβλ. Ε'. 49. Ἀντὶ τοῦ, ταῦτα ἔλεγε, φαίνεταί μοι ὅτι πρέπει νὰ γραφῇ ἐνταῦθα, ταῦτά. — δόρυ . . . . ἀσπίδα) τὰ ὅπλα τῶν ὁπλιτῶν τῶν Ελλήνων· οἱ δὲ Πέρσαι ἔφερον ὅπλα ἐλαφρότερα. Ὅθεν Αἰσχύλ. Πέρσ. 86. » Ξέρξης

ἐπὶ τὸν δῆμον ὁ Αρισαγόρης, ταῦτα ἔλεγε τὰ καὶ ἐν τῇ Σπάρτῃ, περὶ τῶν ἀγαθῶν τῶν ἐν τῇ Ασίῃ, καὶ τοῦ πολέμου τοῦ Περσικοῦ, ὡς οὔτε ἀσπίδα, οὔτε δόρυ νομίζουσι, εὐπετέες τε χειρωθῆναι εἴησαν. 56. ταῦτά τε δὴ ἔλεγε, καὶ πρὸς τοῖσι τάδε, ὡς οἱ Μιλήσιοι τῶν Αθηναίων εἰσὶ ἄποικοι, καὶ οἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα, καὶ οὐδὲν ὅ, τι οὐκ ὑπίσχετο, οἷα κάρτα δεόμενος· ἐς ὃ ἀνέπεισέ σφεας. Πολλοὺς γὰρ οἶκε εἶναι εὐπετέςερον διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβαλέειν, τρεῖς δὲ μυριάδας Αθηναίων ἐποίησε τοῦτο. 57. Αθηναῖοι μὲν δὴ ἀναπεισθέντες ἐψηφίσαντο εἴκοσι νέας ἀποςεῖλαι βοηθοὺς Ιωσι, ςρατηγὸν ἀποδέξαντες αὐτέων εἶναι Μελάνθιον, ἄνδρα τῶν ἀςῶν ἐόντα τὰ πάντα δόκιμον· αὗται αἱ νέες ἀρχὴ κακῶν ἐγένοντο Ελλησί τε καὶ Βαρβάροισι. — —

(κεφ. 99.) 58. Αρισαγόρης δὲ, ἐπειδὴ οἵ τε Αθηναῖοι ἀπικέατο εἴκοσι νηυσὶ, ἅμα ἀγόμενοι Ερετριέων πέντε τριήρεας, οἳ οὐ τὴν Αθηναίων χάριν ἐςρατεύοντο, ἀλλὰ

. . . ἐπάγει δουρικλύτοις ἀνδράσι τοξοδάμνοο Αρην.» Παράβ. ςίχ. 237, 238. — νομίζουσι) φορεῖν εἰώθασι. Βιγὲρ. σελ. 267. καὶ ἑξ.— Σημείωσαι τὴν Σύνταξιν τοῦ νομίζουσι μετὰ τοῦ εἴησαν, καθὼς καὶ τὸ παρακ. §. 56. εἰσι ἄποικοι, καὶ εἰκὸς εἴη.

§. 56. Μιλήσ. . . ἄποικ.) Νηλεὺς, ὁ υἱὸς τοῦ Κόδρου, ἔφερεν εἰς τὴν Ασίαν ἀποικίαν Ιώνων ἐκ τῆς Αττικῆς καὶ κατῴκησεν εἰς τὴν Μίλητον. — οἰκὸς) εἰκὸς. — ἐς ὃ) Ιδ. §. 46. — οἶκε) ἔοικε. — διαβάλλειν) ἐξαπατᾷν. Βιβλ. Εʹ. 50. « τἄλλα ἐὼν σοφὸς, καὶ διαβάλλων ἐκεῖνον εὖ, ἐν τούτῳ ἐσφάλη.» Εʹ. 107.» Ιςιαῖος μὲν δὴ λέγων ταῦτα, διέβαλε. Δαρεῖος δὲ ἐπείθετο.»

§. 57. ἀρχὴ κακῶν) κατὰ μίμησιν τοῦ Ομήρου, ὅςτις τοῦ Πάριδος τὰς νῆας «ἀρχεκάκους» ὀνομάζει» αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο» Ιλ. Ε. 63.

§. 58. Αρισαγ.) ὁ διὰ πολλῶν παρενθηκῶν διακοπεὶς λόγος συνάπτεται πάλιν διὰ τοῦ, οὗτοι ἐπεὶ . . Σάρδις, καὶ τελειοῦται. — Ερετρ. τὸν πρ. Χ.) τὰ πλατύτερα περιςατικὰ τούτου τ. . πολέμου τῶν πόλεων τῆς Εὐβοίας δὲν εἶναι γνωςά· τοῦτο δὲ εἶναι γνω-



τῶν αὐτέων Μιλησίων, ὀφειλόμενά σφι ἀποδιδόντες· οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ερετριεῦσι τὸν πρὸς Χαλκιδέας πόλεμον ξυνδιένεικαν, ὅτε περ καὶ Χαλκιδεῦσι ἀντία Ερετριέων καὶ Μιλησίων Σάμιοι ἐβοήθεον· οὗτοι ὧν ἐπεί τέ σφι ἀπικέατο, καὶ οἱ ἄλλοι ξύμμαχοι παρῆσαν, ἐποιέετο ςρατηΐην ὁ Αρισαγόρης ἐς Σάρδις. Αὐτὸς μὲν δὴ οὐκ ἐςρατεύετο, ἀλλ' ἔμενε ἐν Μιλήτῳ· ςρατηγοὺς δὲ ἄλλους ἀπέδεξε Μιλησίων εἶναι, τὸν ἑωϋτοῦ τε ἀδελφεὸν Χαροπῖνον, καὶ τῶν ἄλλων ἀςῶν Ερμόφαντον. (κεφ. 100.) 59. Απικόμενοι δὲ τῷ ςόλῳ τούτῳ Ιωνες ἐς Εφεσον, πλοῖα μὲν κατέλιπον ἐν Κορήσσῳ τῆς Εφεσίης· αὐτοὶ δὲ ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Εφεσίους ἡγεμόνας. 60. Πορευόμενοι δὲ παρὰ ποταμὸν Καΰςριον, ἐνθεῦτεν ἐπεί τε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο, αἱρέουσι Σάρδις, οὐδενός σφι ἀντιωθέντος· αἱρέουσι δὲ χωρὶς τῆς ἀκροπόλιος τἆλλα πάντα· τὴν δὲ ἀκρόπολιν ἐρρύετο αὐτὸς Αρταφέρνης, ἔχων δύναμιν ἀνδρῶν οὐκ ὀλίγην. (κεφ. 101.) 61. Τὸ δὲ μὴ λεηλατῆσαι ἑλόντας σφέας τὴν πόλιν ἔσχε τόδε. Εσαν ἐν τῇσι Σάρδισι οἰκίαι,

ςὸν ὅτι ἡ κυρίευσις τοῦ καρποφόρου πεδίου Ληλάντου προὐξένησε μεταξὺ αὐτῶν διαφοράς. — ἀπέδεξε εἶναι) οὕτω καὶ §. 68. Βιβλ. Εʹ. 25. » Οτάνεα δὲ ἀποδέξας ςρατηγὸν εἶναι. Ομ. Ιλ. Δ. 20. » δῶκε ξεινήϊον εἶναι.» Βιγέρ. σελ. 738.

§. 59. Κορήσσ.) Κόρησσος, ὄρος πλησίον τῆς Εφέσου, παρὰ τοὺς πρόποδας τοῦ ὁποίου ἔκειτο πόλις τοῦ αὐτοῦ ὀνόματος μετὰ λιμένος. — αὐτοὶ) εἰς ἀντίθεσιν τοῦ, πλοῖα. Ιδ. Λςʹ. §. 3.

§. 60. Τμῶλον) Τμῶλος, ὄρος τῆς Λυδίας, εἰς τοῦ ὁποίου τὸ Βόρειον μέρος ἔκειντο αἱ Σάρδεις.

§. 61. τὸ μὴ λ.) τουτέςιν, ὥςτε μή. Οὕτω Βιβλ. Αʹ. 158. «Αριςόδικος . . . ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους.» Σοφοκλ. Οἰδ. Τυρ. 1388 « οὐκ ἂν ἐσχόμην Τὸ μὴ ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας.» — τουτέων . . . ἐνέπρ.) ἡ Σύνταξ. ὡς τις τῶν ςρ. ἐνέπρ. μίαν εἶπε. — ἀπενέμετο) κυρίως περὶ φλογὸς περὶ ἑαυτὴν ἐκτεινομένης.

αἱ μὲν πλεῦνες, καλάμιναι· ὅσαι δ' αὐτέων καὶ πλίνθιναι ἔσαν, καλάμου εἶχον τὰ ὀροφάς. Τουτέων δὴ μίην τῶν τις ςρατιωτέων ὡς ἐνέπρησε, αὐτίκα ἀπ' οἰκίης ἐς οἰκίην ἰὸν τὸ πῦρ ἐπενέμετο τὸ ἄςυ ἅπαν. 62. Καιομένου δὲ τοῦ ἄςεος, οἱ Λυδοί τε καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πόλι, ἀπολαμφθέντες πάντοθεν, ὥςτε τὰ περιέσχατα νεμομένου τοῦ πυρὸς, καὶ οὐκ ἔχοντος ἐξήλυσιν ἐκ τοῦ ἄςεος, ξυνέῤῥεον ἔς τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν ποταμὸν, ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου, διὰ μέσης τῆς ἀγορῆς ῥέει, καὶ ἔπειτα ἐς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ, ὁ δὲ ἐς θάλασσαν· ἐπὶ τοῦτον δὴ τὸν Πακτωλὸν καὶ ἐς τὴν ἀγορὴν ἀθροιζόμενοι οἵ τε Λυδοὶ καὶ οἱ Πέρσαι, ἠναγκάζοντο ἀμύνεσθαι. 63. Οἱ δὲ Ἴωνες ὁρέοντες τοὺς μὲν τῶν πολεμίων ἀμυνομένους, τοὺς δὲ, ξὺν πλήθει πολλῷ προςφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς τὸ οὖρος τὸ Τμῶλον καλεόμενον· ἐνθεῦτεν δὲ ὑπὸ νύκτα ἀπαλλάσσοντο ἐπὶ τὰς νέας.

(κεφ. 102.) 64. Καὶ Σάρδις μὲν ἐνεπρήσθησαν, ἐν δὲ αὐτῇσι καὶ ἱρὸν ἐπιχωρίης θεοῦ Κυβήβης· τὸ σκηπτόμενοι οἱ Πέρσαι ὕςερον ἀντενεπίμπρασαν τὰ ἐν Ἕλ-

§. 62. ἀπολαμφθ) ἀντὶ, ἀποληφθέντες, τουτέςιν, ἀποκλεισθέντες. — τὰ περιέσχ) τουτέςιν, τὰ περὶ τὰ ἔσχατα τῆς πόλεως. — οὐκ ἔχοντος) τουτέςι, παρέχοντος· ἀντὶ τοῦ συνήθους, καὶ φυγῆς οὐκ οὔσης. — ἐς θάλασ.) ἐκδιδοῖ θαλ. (ἐκ τοῦ ἐκδιδόω).

§. 64. Κυβήβης) κοινῶς, Κυβέλης. Περὶ αὐτῆς λέγει Σοφοκλ. Φιλοκτ. 390.

μᾶτερ αὐτοῦ Διὸς,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις.

— σκηπτόμ.) τοῦτο ἦτον βέβαια τῶν Ἑλλήνων μόνον ἐξήγησις· ἐπειδὴ γενικῶς ἠμπορεῖ τις νὰ ἀποδώσῃ τὴν κατάσκαψιν τῶν ἱερῶν εἰς τὴν πολεμικὴν λύσσαν τῶν Περσῶν, καὶ εἰς τὴν πρὸς τὴν εἰδωλολατρείαν ἀποςροφὴν αὐτῶν.



λῃσι ἱρά. 65. Τότε δὲ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ νομοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα, συνηλίζοντο καὶ ἐβοήθεον τοῖσι Λυδοῖσι· καί κως ἐν μὲν Σάρδισι οὐκέτι ἐόντας τοὺς Ἴωνας εὑρίσκουσι· ἑπόμενοι δὲ κατὰ ςίβον αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ· καὶ ἀντετάχθησαν μὲν οἱ Ἴωνες, ξυμβαλόντες δὲ πολλὸν ἑσσώθησαν. 66. Καὶ πολλοὺς αὐτέων οἱ Πέρσαι φονεύουσι, ἄλλους τε οὐνομαςοὺς, ἐν δὲ δὴ καὶ Εὐαλκίδεα ςρατηγέοντα Ἐρετριέων, ςεφανηφόρους τε ἀγῶνας ἀναραιρηκότα, καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου πολλὰ αἰνεθέντα. Οἳ δὲ αὐτέων ἀπέφυγον τὴν μάχην ἐσκεδάσθησαν ἀνὰ τὰς πόλιας. (κεφ. 103.) 67. Τότε μὲν δὴ οὕτω ἠγωνίσαντο· μετὰ δὲ, Ἀθηναῖοι μὲν τοπαράπαν ἀπολιπόντες τοὺς Ἴωνας, ἐπικαλεομένου σφέας πολλὰ δι' ἀγγέλλων Ἀριςαγόρεω, οὐκ ἔφασαν τιμωρήσειν σφίσι. Ἴωνες δὲ τῆς Ἀθηναίων ξυμμαχίης ςερηθέντες (οὕτω γάρ σφι ὑπῆρχε πεποιημένα ἐς Δαρεῖον), οὐδὲν δὴ ἔσσον τὸν πρὸς τὸν βασιλῆα πόλεμον ἐσκευάζοντο. 68. Πλώσαντες δὲ ἐς τὸν Ἑλλήσποντον Βυζάντιόν τε καὶ τὰς ἄλ-

§. 65. οἱ ἐντὸς Ἅλυος) Ἰδ. ἀρθμ. ΚΔ'. §. 9. — συναλίζ.) τουτέςι, συνηθροίζοντο, συνηγείροντο. — καί κως) πως. — πολλὸν ἑσσώθ.) τουτέςιν, πολλῷ ἥσσονες ἦσαν. Παράβ. §. 34. Βιβλ. Γ'. 102. «ἄεθλα δυνατώτεραι πολλὸν φέρειν.»

§. 66. ἀναραιρηκότα) ἀντὶ, ἀνῃρηκότα. Γραμ. Βουτ. §. ΡΑ'. Αἱρέω. — Σιμωνίδ.) Σιμωνίδης ὁ Κεῖος, ποιητὴς πολλῶν ἐγκωμίων εἰς νικητὰς εἰς τοὺς ἀγῶνας.

§. 67. ἐπικαλ.) τουτέςι, καίπερ ἐπικ. — οὐκ ἔφασ.) Γραμ. Βουτ. §. ΡΛΑ'. Σημ. ς'. σελ. 478 κ. 445. — οὕτω) τουτέςι, τοιούτων αὐτοῖς πεποιημένων εἰς τὸν βασιλέα, ἠναγκάσθησαν διατελεῖν πολεμοῦντες, καίπερ ςερηθέντες τῆς συμμ. τῶν Ἀθηναίων.

§. 68. τὰς ταύτῃ) τὰς ἐκεῖ οὔσας. — ἐκπλ. ἔξω τὸν Ἑλλ.) συνήθως, ἔξω τοῦ Ἑλλησπόντου. Τὸ ἔξω ὅμως κεῖται ἐνταῦθα ἀπολύτως, ὡς πλεονάζουσα προςθήκη εἰς τὸ, ἐκπλώσ. τὸ ὁποῖον ἠμπο-

λας πόλις ἁπάσας τὰς ταύτῃ, ὑπ' ἑωϋτοῖσι ἐποιήσαν τῇ ἐκπλώσαντές τε ἔξω τὸν Ελλήσποντον Καρίης τὴν πολλὴν προςεκτήσαντο σφίσι ξύμμαχον εἶναι· καὶ γὰρ τὴν Καῦνον πρότερον οὐ βουλομένην ξυμμαχέειν, ὡς ἐνέπρησαν τὰς Σάρδις, τότε σφι καὶ αὕτη προςεγένετο. — —

(κεφ. 105.) 69. Βασιλέϊ δὲ Δαρείῳ ὡς ἐξαγγέλθη Σάρδις ἁλούσας ἐμπεπρῆσθαι ὑπό τε Αθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γενέσθαι τῆς ξυλλογῆς, ὥςτε ταῦτα ξυνυφανθῆναι, τὸν Μιλήσιον Ἀρισαγόρην, πρῶτα μὲν λέγεται αὐτὸν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων οὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα ὡς οὗτοί γε οὐ καταπροΐξονται ἀποςάντες, εἴρεσθαι οἵ τινες εἶεν οἱ Αθηναῖοι· μετὰ δὲ, πυθόμενον, αἰτῆσαι τὸ τόξον· λαβόντα δὲ καὶ ἐπιθέντα ὀϊςὸν, ἄνω ἐς τὸν οὐρανὸν ἀπεῖναι, καί μιν ἐς τὸν ἠέρα βαλόντα εἰπεῖν.» Ζεῦ, ἐκγενέσθαί μοι Αθηναίους τίσασθαι. «εἴπαντα δὲ ταῦτα προστάξαι ἑνὶ τῶν θεραπόντων, δείπνου προκειμένου αὐτῷ, ἐς τρὶς ἑκάςοτε εἰπεῖν.» Δέσποτα, μέμνεο τῶν Αθηναίων.

---

νὰ ἔχῃ μεθ' ἑαυτοῦ τὴν Αἰτιατικήν. Βιβλ. Ε'. 104. » ἐξελύοντα τὸ ἄςυ.» — ξύμμ. εἶναι) Ιδ. §. 58. — Καῦνον Ιδ. ἀριθμ. §. 83·

§. 69. ξυνυφανθ.) συνυφαίνει, καθὼς τὸ μῆτιν, δόλον ὑφαίνειν, παρ' Ομήρῳ. — οὐ καταπρ) ἀντὶ, οὐκ ἀποίνητοι ἔσονται. Βιβλ. Γ'. 156. » οὐ δὴ 'μέ γε ὧδε λωβησάμενος καταπροίξεται.» Οὕτως ἀπειλεῖ καὶ Ἀρχίλοχος τὸν Λυκάμβην, «ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροίξεται». — λαβόντα . . . εἰπεῖν) τοῦτο ἦτον βέβαια μέγα σύμβολον, διότι καὶ τὰς εὐχὰς εἰς τὸν οὐρανὸν ἀνέπεμπον. — ὦ Ζεῦ) μεταβολὴ τῆς Περσικῆς θρησκείας εἰς Ελληνικὸν τρόπον· ἐπειδὴ οἱ Πέρσαι ἐλάτρευον τὸν οὐρανὸν καὶ τὸν ἥλιον. — ἐκγενέσθαι) τὸ Απαρέμφατον ἐπὶ εὐχῶν ἐξηγεῖται διὰ τοῦ Δὸς, ἢ, Γένοιτο· Αἰσχύλ. Επτ. ἐπὶ Θ. 259. «Θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.»



## ΛΔ'.

## Η ἐν Μαραθῶνι μάχη.

(Ηρόδ. ς'. 102. καὶ ἑξ.)

1. Οἱ Πέρσαι χειρωσάμενοι τὴν Ερετρίην, καὶ ἐπισχόντες ὀλίγας ἡμέρας, ἔπλεον ἐς τὴν Αττικὴν, κατέργοντές τε πολλὸν καὶ δοκέοντες ταῦτα τοὺς Αθηναίους ποιήσειν, τὰ καὶ τοὺς Ερετριέας ἐποίησαν. 2. Καὶ, ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεώτατον χωρίον τῆς Αττικῆς ἐνιππεῦσαι, καὶ ἀγχοτάτω τῆς Ερετρίης, ἐς τοῦτό σφι κατηγέετο Ιππίης ὁ Πεισιςράτου. Αθηναῖοι δὲ ὡς ἐπύθοντο ταῦτα, ἐβοήθεον καὶ αὐτοὶ ἐς τὸν Μαραθῶνα. 3. Ηγον δέ σφεας ςρατηγοὶ δέκα· τῶν ὁ δέκατος ἦν Μιλτιάδης, τοῦ τὸν πατέρα Κίμωνα τὸν Στησαγόρεω κατέλαβε φυγεῖν ἐξ Α-

---

ΛΔ'.

§. 1. χειρ. Ερετρ.) ἡ πρώτη προσβολὴ τοῦ Περσικοῦ ςρατεύματος ἔγινε κατὰ τῆς Εὐβοίας. — κατέργ. πολλὸν) ἡ ἔννοια φαίνεται ὅτι εἶναι, κατέχοντες ςενῶς τὴν Αττικὴν, καὶ οἱονεὶ κατακλείοντες τὴν χώραν· Αλλ' ἴσως ἔγραψεν ὁ Ηρόδ. κατέρξοντές τε τὴν πόλιν, διὰ νὰ ἐκφράσῃ τὸν σκοπὸν καὶ τὴν ἐλπίδα, οὕτω νὰ ςενοχωρέσωσι τὰς Αθήνας, καθὼς ἔκαμαν καὶ τὴν Ερετρίαν. Με τοῦτο ἤθελε συμφωνήσει καλῶς καὶ τὸ ἑπόμενον.

§. 2. καὶ, ἦν γάρ) νόει τὴν περίοδον διατεταγμένην οὕτω· καὶ Ιππίης κατηγέετο αὐτοὺς εἰς τὸν Μαραθ. ἦν γὰρ ὁ Μαραθ. ἐπιτηδ. χωρ. Ιδ. περὶ τῆς διατάξεως τῶν λέξεων ΛΑ'. §. 3. — ἐβοήθεον) Ιδ. ἀριθμ. ΙΗ'. §. 56.

§. 3. τῶν (ὧν) ὁ δέκ.) τουτέςιν, εἷς ἦν. — κατέλαβε) συνέβη· μετὰ Απαρεμφ. Ιδ. ἀριθμ. Λς'. §. 12. Βιβλ. Α'. 105. » κατέλαβε σφέας ἐκλιπεῖν τὴν χώραν.» — ἐκ τῆς Χερ.) εἷς τῶν προγόνων τοῦ Μιλτιάδου, Μιλτιάδης καὶ αὐτὸς ὀνομαζόμενος, ἔφερεν εἰς τὴν Χερσόνησον ἀποικίαν, τῆς ὁποίας ἐςάθη καὶ αὐτὸς ὁ ἴδιος διοικητής. Τὰ περιςατικὰ τῆς εἰς τὰς Αθήνας ἐπιςροφῆς αὐτοῦ διηγεῖται Ηρόδ. ς'. 39. 40.

θηνέων Πεισίςρατον τὸν Ιπποκράτεος. — — Οὗτος ὤν, ἥκων ἐκ τῆς Χερσονήσου, ςρατηγὸς Αθηναίων ἀπεδέχθη, αἱρεθεὶς ὑπὸ τοῦ δήμου.

(κεφ. 105.) 4. Καὶ πρῶτα μέν, ἐόντες ἔτι ἐν τῷ ἄςεϊ οἱ ςρατηγοί, ἀποπέμπουσι ἐς Σπάρτην κήρυκα Φειδιππίδην, Αθηναῖον μὲν ἄνδρα, ἄλλως δὲ ἡμεροδρόμον τε καὶ τοῦτο μελετῶντα. Τῷ δή, ὡς αὐτός τε ἔλεγε Φειδιππίδης, καὶ Αθηναίοισι ἀπήγγειλε, περὶ τὸ Παρθένιον οὖρος τὸ ὑπὲρ Τεγέης ὁ Πὰν περιπίπτει. 5. Βώσαντα δὲ τοὔνομα τοῦ Φειδιππίδεω τὸν Πᾶνα, Αθηναίοισι κελεῦσαι ἀπαγγεῖλαι, διότι ἑωϋτοῦ οὐδεμίην ἐπιμέλειαν ποιεῦνται, ἐόντος εὔνου Αθηναίοισι, καὶ πολλαχῇ γενομένου ἤδη σφι χρησίμου, τὰ δ' ἔτι καὶ ἐσομένου. 6. Καὶ ταῦτα μὲν Αθηναῖοι, καταςάντων σφίσι εὖ ἤδη τῶν πρηγμάτων, πιςεύσαντες εἶναι ἀληθέα, ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρόν, καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι ἐπετείῃσι καὶ λαμπάδι ἱλάσκονται.

(κεφ. 106.) 7. Τότε δὲ πεμφθεὶς ὑπὸ τῶν ςρατηγῶν ὁ Φειδιππίδης οὗτος, ὅτε πέρ οἱ ἔφη καὶ τὸν Πᾶνα φανῆναι, δευτεραῖος ἐκ τοῦ Αθηναίων ἄςεος ἦν ἐν Σπάρτῃ. Απικόμενος δὲ ἐπὶ τοὺς ἄρχοντας ἔλεγε. „ Ω Λακεδαιμόνιοι, Αθηναῖοι ὑμέων δέονται σφίσι βοηθῆσαι, καὶ μὴ περιϊδεῖν πόλιν ἀρχαιοτάτην ἐν τοῖσι Ελλησι δουλοσύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν βαρβάρων· καὶ γὰρ Ερετρίη τε νῦν ἠνδραπόδιςαι, καὶ πόλι λογίμῳ ἡ Ελλὰς γέγονε ἀσθενεςέρη. „ Ο μὲν δή σφι τὰ ἐντεταλμένα ἀπήγγειλε. Τοῖσι δὲ ἕαδε μὲν βοηθέειν Αθηναίοισι, ἀδύνατα δέ σφι ἦν τοπαραυτίκα ποιέειν ταῦτα, οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱςαμένου τοῦ μηνὸς εἰνάτη· εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν, μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου. Οὗτοι μέν νυν τὴν πανσέληνον ἔμενον.

(κεφ. 107.) 9. Τοῖσι δὲ βαρβάροισι κατηγέετο Ιππίης ὁ Πεισιςράτου ἐς τὸν Μαραθῶνα, τῆς παροιχομένης νυκτὸς ὄψιν ἰδὼν ἐν τῷ ὕπνῳ τοιήνδε. Εδόκεε ὁ Ιππίης τῇ μητρὶ τῇ ἑωϋτοῦ ξυνευνηθῆναι· ξυνεβάλετο ὦν ἐκ τοῦ ὀνείρου, κατελθὼν ἐς τὰς Αθήνας καὶ ἀνασωσάμενος τὴν ἀρχήν, τελευτήσειν ἐν τῇ ἑωϋτοῦ γηραιός. 10. Εκ μὲν

§. 4. ἀποπέμπ.) Παράβ. Κορν. Νέπ. ἐν βίῳ Μιλτιάδ. κεφ. 4. — καὶ τοῦτο) τὸ ἡμεροδρομεῖν. — Παρθέν. οὖρος.) ὄρος, μεταξὺ Τεγέας καὶ Αργους, εἰς τὰ σύνορα τῆς Αρκαδίας. — περιπίπ.) περιπίπτειν τινί, τουτέςιν ἀπαντᾷν.

§. 5. βώσαντα) βοήσαντα. — διότι) τουτέςι διὰ τί. — τὸ δ' ἔτι) ὡς νὰ προηγήθη πολλὰ μὲν ἤδη.

§. 6. καταςᾶ. εὖ τῶν πρ.) τουτέςι τῶν βαρβάρων νικηθέντων. — πιςεύσ. εἶναι ἀλ.) τοῦ ἔργου τὸν λόγον βεβαιώσαντος δηλονότι. — ὑπὸ τῇ ἀκρ.) εἰς τοὺς πρόποδας τοῦ ὄρους, παρακάτω τῶν Προπυλαίων ἔν τινι ἄντρῳ. — ἀπὸ (Ιδ. ΑΓ'. §. 3ι.) ταύτης τῆς ἀγγ.) ἣν αὐτοῖς τότε ἔπεμψε δηλ. — λαμπάδι) δρόμῳ λαμπαδηφόρων. Τοιοῦτοι ἀγῶνες δρόμου μετὰ λαμπάδων (Ιδ. Παυσαν. Α'. 30) ἦσαν εἰς πολλοὺς θεοὺς τεταγμένοι.

§. 7. δευτεραῖος) Ιδ. Γραμ. Βουτ. §. ΡΘ'. Σημ. β'. Βιγέρ. σελ. 71. XV. — ἀσθενεςς. γέγονε) τουτέςιν ἀπεςέρητο δοκίμου πόλεως.



§. 8. ἕαδε) ἐκ τοῦ Ανδάνω. — ἱςαμένου μηνός.) οἱ μῆνες παρὰ τοῖς παλαιοῖς διῃροῦντο εἰς τρεῖς δεκάδας· αἱ ἡμέραι τῆς πρώτης δεκάδος ἐσημαίνοντο διὰ τοῦ, μηνὸς ἱςαμένου· τῆς δευτέρας διὰ τοῦ, μην. μεσοῦντος· καὶ τῆς τρίτης διὰ τοῦ, μην. λήγοντος. — τοῦ κύκλου) τῆς σελήνης.

§. 9. ξυνεβάλετο. . . κατελθών. . . τελευτήσειν) Ονομας. μετὰ Απαρεμφ. Ιδ. Γραμ. Βουτ. §. ΡΚΘ'. β'. Α'. Βιγέρ. σελ. 73. 15.

§. 10. τοῦτο μέν. . . τοῦτο δέ) Ιδ. ΑΔ'. §. 5. Παράβ. καὶ §. 20. — ἀπέβησε) μεταβατικῶς ἀπεβίβασεν αὐτά. — Στυρ.) τῶν κατοίκων τῆς Στύρας πόλεως ἐπὶ τῆς μεσημβρινῆς ἄκρας τῆς Εὐβοίας. — Αἰγίλ.) Αἰγίλεια τις νῆσος ἔκειτο μεταξὺ Κυθήρων καὶ Κρήτης· ἐνταῦθα ὅμως δὲν εἶναι βέβαια περὶ αὐτῆς ὁ λόγος. Εκτὸς τῆς πλησίον τῶν Κυθήρων Αἰγιλείας, ἄλλης μὲ τοιοῦτον ὄνομα νήσου μνεία δὲν γίνεται πλὴν κατὰ τὸ. 115. κεφ. πρέπει αὕτη νὰ κεῖται μεταξὺ Εὐβοίας καὶ Σουνίου, ἐπειδὴ ὁ Περσικὸς

10446

δὴ τῆς ὄψιος ξυνεβάλετο ταῦτα. Τότε δὲ κατηγεόμενος, τοῦτο μὲν, τὰ ἀνδράποδα τὰ ἐξ Ερετρίης ἀπέβησε ἐς τὴν νῆσον τὴν Στυρέων, καλεομένην δὲ Αἰγίλειαν· τοῦτο δὲ, καταγομένας ἐς τὸν Μαραθῶνα τὰς νέας ὅρμιζε οὗτος· ἐκβάντας δὲ ἐς τὴν γῆν τοὺς βαρβάρους διέτασσε. Καὶ οἱ ταῦτα διέποντι ἐπῆλθε πταρεῖν τε καὶ βῆξαι μεζόνως ἢ ὡς ἐώθεε. Οἷα δὲ οἱ πρεσβυτέρῳ ἐόντι, τῶν ὀδόντων οἱ πλεῦνες ἐσείοντο. Τουτέων ὦν ἕνα τῶν ὀδόντων ἐκβάλλει ὑπὸ βίης βήξας· ἐκπεσόντος δὲ ἐς τὴν ψάμμον αὐτοῦ, ἐποιέετο πολλὴν σπουδὴν ἐξευρεῖν. Ως δὲ οὐκ ἐφαίνετο οἱ ὁ ὀδὼν, ἀναστενάξας, εἶπε πρὸς τοὺς παρεστεῶτας, „ἡ γῆ ἥδε οὐκ ἡμετέρη ἐστὶ, οὐδέ μιν δυνησόμεθα ὑποχειρίην ποιήσασθαι· ὁκόσον δὲ τί μοι μέρος μετῆν, ὁ ὀδὼν μετέχει.“

(κεφ. 108.) 11. Ιππίης μὲν δὴ ταύτῃ τὴν ὄψιν ξυνεβάλετο ἐξεληλυθέναι. Αθηναίοισι δὲ τεταγμένοισι ἐν τεμένεϊ Ηρακλέος ἐπῆλθον βοηθέοντες Πλαταιέες πανδημεί·

στόλος, ὅς τις ἤθελε νὰ πλακώσῃ τὰς Αθήνας ἔξαφνα, δὲν ἔπλευσε πρῶτον κάτω τῆς Πελοποννήσου, καὶ ἔπειτα ἐγύρισε πάλιν ἐπάνω. Επὶ τοῦ χάρτου τῆς Ελλάδος παρὰ τοῦ Λαμβίλλου εὑρίσκεται μία νῆσος Αἰγίλεια κάτωθεν τῶν Πεταλίων νήσων, μεταξὺ Μαραθῶνος καὶ Στύρας (ἐν Εὐβοίᾳ), καὶ ταύτην ἐννοεῖ βέβαια ἐνταῦθα ὁ Ηρόδ. — ἐπῆλθε) μετα Απαρεμφ. Βιβλ. Η'. 137. „τὸν δὲ ἀκούσαντα ἐσῆλθε αὐτίκα, ὡς εἴη τέρας.“ Λουκιαν. Θ. Λ. ΙΖ'. α. „ἐπέρχεταί μοι καγχάζειν.“ — πταρεῖν) ὁ πταρνισμὸς ἐθεωρεῖτο ὡς προσημαντικόν τι· ὅθεν καὶ ἡ ἐπὶ τούτου συνήθεια τοῦ εὔχεσθαι· Ζεῦ σῶσον! — οἷα δὲ . . . ἐόντι) Ιδ. ΑΒ'. §. 9. — ὑπὸ βίης) Βιγήρ. σελ. 669. V. — ὀδὼν) ἀντὶ ὀδούς. — ὁκόσον . . . μετῆν) κατὰ τὸ ὄνειρον, ἐν ᾧ τὸ μήτηρ ἐξήγει ὁ Ιπ. μὲ τὸ πατρὶς, καθὼς ποτὲ ὁ Βροῦτος ἐπὶ τῆς ἐκ τῶν Δελφῶν ἐπιστροφῆς του. Επειδὴ δὲ τὸ χαθὲν ὀδόντιον ἐνυμφεύθη τὴν γῆν, διὰ τοῦτο τὸ ὄνειρόν του φαίνεται ὅτι ἐπληρώθη, καὶ ἡ ἐλπίς του ἐματαιώθη.

§. 11. ταύτῃ) οὕτως. — ἀναιρέατο) ἀνῄρηντο· Ιδ. ΑΓ'. §. 11.



καὶ γὰρ καὶ ἐδεδώκεσαν σφέας αὐτοὺς τοῖσι Αθηναίοισι οἱ Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτέων οἱ Αθηναῖοι συχνοὺς ἤδη ἀναιρέατο.

(κεφ. 109.) 12. Τοῖσι δὲ Αθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶμαι· τῶν μὲν οὐκ ἐώντων ξυμβάλλειν· ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων ξυμβαλέειν· τῶν δὲ, καὶ Μιλτιάδεω, κελευόντων. Ως δὲ δίχα τε ἐγίνοντο, καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Αθηναίων πολεμαρχέειν· τοπαλαιὸν γὰρ Αθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι· ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Αφιδναῖος· πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης ἔλεγε τάδε. 13. „Εν σοὶ νῦν, Καλλίμαχε, ἐστι ἢ καταδουλῶσαι Αθήνας, ἢ ἐλευθέρας ποιήσαντα, μνημόσυνα λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον, οἷα οὐδὲ Αρμόδιός τε καὶ

§. 12. οὐκ ἐώντων) Ιδ. ΑΓ'. §. 38. — δίχα) ὡς παρὰ Ξενοφ. Απομν. Δ'. δ'. 8. „εἰ δικασταὶ δίχα ψηφιζόμενοι.“ καὶ παρὰ Στοβαίῳ Εκλογ. σελ. 41. „νῦν οὐκέτι μοι δίχα θυμὸς (γίνεται).“ — ὀλίγους . . . ξυμβαλέειν) Οὕτω βιβλ. Ζ'. 207. „ἐόντων αὐτέων ὀλίγων στρατὸν τῶν Μήδων ἀλέξασθαι.“ Θουκυδ. Α'. 50. „δείσαντες μὴ . . . . αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι.“ — ἐνθαῦτα . . . . τάδε) αἱ διάφοροι παρενθέσεις καὶ ἐξηγήσεις ἔδωκαν ἀφορμὴν ἐνταῦθα εἰς τὸ ὑπερβατὸν, καθὼς πολλάκις. Η δὲ συνέχεια τοῦ λόγου ἔχει οὕτως ἐνταῦθα· Μιλτιάδης, ἐλθὼν πρὸς Καλλίμαχον τὸν τότε πολέμαρχον, οὗτος γὰρ ἑνδέκατος ἦν ψηφιδοφόρος. κ. τ. λ. — ἦν γὰρ) Ιδ. ΔΑ'. §. 3. — ἑνδέκατος) Ιδ. §. 3. — τῷ κυάμῳ λαχ.) οἱ Αθηναῖοι ἐμεταχειρίζοντο εἰς τὰς ἐκλογάς ἄσπρα καὶ μαῦρα κουκκία· — πολεμαρ.) ὁ πολέμαρχος ἦτον εἷς τῶν ἐννέα ἀρχόντων, ὁ ὁποῖος ἐν τῷ πολέμῳ ἐσυντρόφευε τοὺς δέκα στρατηγούς. — Αφιδν.) Αφίδνα, δῆμος τῆς Αττικῆς.

§. 13. ἐν σοί ἐστι) Ιδ. ΑΣ'. §. 19. Βιβλ. Γ'. 85. „εἰ μὲν δὴ ἐν τούτῳ τοί ἐστι ἢ βασιλέα εἶναι ἢ μή.“ βιβλ. Η'. 118. „ἐν ὑμῖν γὰρ οἶκε ἐμοὶ εἶναι ἡ σωτηρίη.“ — ἐς τὸν . . . βίον) ἀντὶ αἰῶ-

Αριστογείτων λείπουσι. Νῦν γὰρ δὴ ἐξ οὗ ἐγένοντο Ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον. 14. Καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ· ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, οἵη τε ἐστὶ πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι. 15. Κῶς ὦν δὴ ταῦτα οἷά τέ ἐστι γενέσθαι, καὶ κῶς ἐς σέ τι τουτέων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. 16. Ἡμέων τῶν στρατηγῶν ἐόντων δέκα δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν, κελευόντων ξυμβαλέειν, τῶν δὲ, οὐ ξυμβαλέειν. Ἢν μέν νυν μὴ ξυμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Ἀθηναίων φρονήματα, ὥστε μηδίσαι· ἢν δὲ ξυμβάλωμεν, πρίν τι καὶ σαθρὸν Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων, οἷοί τέ εἰμεν περιγενέσθαι τῇ ξυμβολῇ. 17. Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει, καὶ ἐκ σέο ἄρτηται.

---

νια. — ἐξ οὗ) πλήρης ἤθελεν εἶναι ὁ λόγος οὕτω· Νῦν γὰρ δὴ οἱ Ἀθηναῖοι ἥκουσιν ἐς μέγιστον κίνδυνον πάντων, εἰς περιέπεσον ἐξ οὗ ἐγένοντο.

§. 14. ὑποκύψωσι) ὑποβάλωσιν ἑαυτούς. Βιβλ. Α΄. 130. « Μῆδοι ὑπέκυψαν Πέρσῃσι. » καὶ Ϛ΄. 25. « τὰς μὲν ἐθελοντὴν τῶν πολίων ὑποκυψάσας, τὰς δὲ ἀνάγκῃ προσηγάγοντο. » — δέδοκται) ἀπεφασίσθη ἡ τύχη αὐτῶν, δηλ. ὡς ἀποφασισμένον νὰ θεωρῶσιν, ἠξεύροντες πολλὰ καλὰ τί ἠμποροῦσι νὰ ἐλπίσωσι παρὰ τοῦ Ἱππίου.

§. 15. κῶς ὦν) ἀντὶ πῶς οὖν. — ἐς σέ. . . ἔχειν) ἡ Σύνταξ. πῶς ἀνήκει ἐς σὲ ἔχειν το κῦρος τουτέων των πρηγ.

§. 16. ἔλπομαι) ὡς μέσον ῥῆμα, φοβοῦμαι. — σαθρόν τι) κυρίως περὶ ἀγγείων, τὰ ὁποῖα εἶναι ῥαγισμένα καὶ ἐπομένως εὐκόλως τζακίζονται· ὥστε ἡ, τὴν ἔννοιαν ἐν τῷ διασείειν ἀρχίσασα μεταφορὰν, ἐξακολουθεῖται διὰ τοῦ σαθρόν. — τὰ ἴσα νεμ.) τουτέστι τὰ δίκαια διδόντων, εὐφρονούντων. — περιγεν. τῇ ξυμ.) τουτέστι κρατεῖν ἐν τῇ μάχῃ.

§. 17. ἐς σὲ τείνει) τουτέστι ἀνήκει. Εὐριπ. Φοίν. 438. « ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν. » — ἄρτηται) ἀντὶ ἤρτηται. Βιβλ.



Ην γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι σοι πατρίς τε ἐλευθέρη, καὶ πόλις πρώτη τῶν ἐν τῇ Ἑλλάδι· ἢν δὲ τῶν ἀποσπευδόντων τὴν ξυμβουλὴν ἕλῃ, ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν τὰ ἐναντία. » (κεφ. 110.) 18. Ταῦτα λέγων ὁ Μιλτιάδης προσκτᾶται τὸν Καλλίμαχον. Προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης, ἐκεκύρωτο ξυμβάλλειν. Μετὰ δὲ, οἱ στρατηγοὶ, τῶν ἡ γνώμη ἔφερε ξυμβάλλειν, ὡς ἑκάστου αὐτέων ἐγίνετο πρυτανηΐη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ, δεκόμενος, οὔτε κω ξυμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηΐη ἐγένετο.

(κεφ. 111.) 19. Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε Ἀθηναῖοι ὡς ξυμβαλέοντες. Τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου, ἐξεδέκοντο ὡς ἀριθμέοντο αἱ φυλαὶ, ἐχόμεναι ἀλληλέων· τελευταῖοι δὲ ἐτάσσοντο, ἔχοντες τὸ εὐώνυμον κέρας, Πλαταιέες. 20. Ἀπὸ ταύτης γάρ σφι τῆς μάχης, θυσίας Ἀθηναίων

---

Γ΄. 16. « καὶ πᾶς ἐκ Φοινίκων ἤρτητο ὁ ναυτικὸς στρατός. » Θ΄. 68 « πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσέων. » — ἢν δὲ ἕλῃ τὴν ξυμβουλὴν (τὴν γνώμην) τῶν ἀποσπευδ.) ἀπὸ τῆς μάχης δηλ.

§. 18. πρυτανηΐη) ἡ ἀρχιστρατηγία, ἡ ὁποία ἄλλαζε καθ' ἡμέραν. — δεκόμενος) ἀντὶ ὁ δὲ ἐδέχετο μὲν αὐτὴν, ἀλλ' οὐκ ἐποιεῖτο τὴν ξυμβ.

§. 19. περιῆλθε) κυρίως περὶ ἀξιωμάτων καὶ τιμῶν. Βιβλ. Α΄. 7. « ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθε ἐοῦσα Ἡρακλειδέων ἐς τὸ γένος τοῦ Κροίσου. » — ὡς ἀριθμ.) αἱ φυλαὶ εἶχον λοιπὸν κάποιαν τάξιν. — ἐχόμεναι) οὕτω Βιβλ. Ε΄. 49. « κατοίκηνται ἀλλήλων ἐχόμενοι. »

§. 20. ἀπὸ ταύτης γάρ) ὁ Γὰρ τίθεται πολλάκις εἰς βεβαίωσιν τοῦ προηγουμένου, ἐπιφέρων τὸν λόγον τῆς βεβαιώσεως, καθὼς καὶ ἐνταῦθα· διότι, ὅτι τῷόντι αὐτοὶ ἔλαβον μέγα μέρος εἰς αὐτὴν τὴν

ἀναγόντων καὶ πανηγύριας τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κήρυξ ὁ Ἀθηναῖος, ἅμα τε Ἀθηναίοισι λέγων γίνεσθαι ἀγαθὰ καὶ Πλαταιεῦσι. 21. Τότε δὲ τασσομένων τῶν Ἀθηναίων ἐν τῷ Μαραθῶνι, ἐγίνετο τοιόνδε τι. Τὸ ςρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ ςρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέςατον τὸ ςρατόπεδον· τὸ δὲ κέρας ἑκάτερον ἔῤῥωτο πλήθεϊ.

(κεφ. 112.) 22. Ὡς δέ σφι διετέτακτο, καὶ τὰ σφάγια ἐγίνετο καλὰ, ἐνθαῦτα ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους· ἦσαν δὲ ςάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτέων ἢ ὀκτώ. 23. Οἱ δὲ Πέρσαι, ὁρέωντες δρόμῳ ἐπιόντας, παρεσκευάζοντο ὡς δεξόμενοι· μανίην δὲ τοῖσι Ἀθηναίοισι ἐπέφερον, καὶ πάγχυ ὀλεθρίην, ὁρέωντες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους, οὔτε ἵππου ὑπαρχούσης σφι, οὔτε τοξευμάτων. 24. Ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον. Ἀθηναῖοι δὲ, ἐπεί τε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων

μάχην, δῆλον ἐκ τούτου, καθότι ἀπὸ ταύτης τῆς μάχης κτλ. — πεντετηρ.) ἐν ταῖς μεγάλοις βέβαια Παναθηναίοις, τὰ ὁποῖα ἑωρτάζοντο κατὰ πᾶν πέμπτον ἔτος.

§. 21. ἐξισούμ.) ἐξ ἴσου κατὰ μάκρος ἐκτεινόμενον. — ἐπὶ τάξ. ὀλίγ.) ἐπὶ ὀλίγων ἀνδρῶν τὸ πάθος. Συνηθεςέρα εἶναι ἡ Γενική, ὅταν ἦναι λόγος περὶ τακτικῆς διατάξεως.

§. 22. ἀπείθησαν) ἀντὶ ἀφείθησαν.

§. 23. ἐπέφερον) τουτέςι μαίνεσθαι αὐτοὺς ἐνόμιζον. Οὕτω Βιβλ. Α'. 167. » αἰτίην οἱ ἄλλοι ἐπένεικαν. » Η'. 10. » ὁρέωντες δὲ σφέας . . . ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες. » — καὶ τούτους) Ἰδ. Ηιγέρ. σελ. 117.

§. 24. προσέμ.) συνηθέςερον τὸ συμμίξαι. Βιβλ. Α'. 127. Θ'. Β. 68. — ἴδμεν) ἴσμεν. Ἰδ. Γραμ. Βουτ. §. 95'. Γ'. γ'. σελ. 56: π. 240. ν. — φόβος ἀκοῦσαι) ἀντὶ φοβερόν.



τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέωντες, καὶ τοὺς ἄνδρας ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

(κεφ. 113.) 25. Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι, χρόνος ἐγίνετο πολλός· καὶ τὸ μὲν μέσον τοῦ ςρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο· κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες ἐδίωκον ἐς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες· νικῶντες δὲ τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτέων, ξυναγαγόντες τὰ κέρεα ἀμφότερα, ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ τὴν θαλασσαν ἀπικόμενοι πῦρ τε αἴτεον, καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

(κεφ. 114.) 26. Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· ἀπὸ δ' ἔθανε τῶν ςρατηγῶν Στησίλεως ὁ Θρασύ-

§. 25. ἐγίνετο) ἀντὶ πολὺν χρόνον ἐμάχοντο. Παράβ. ἀριθ. Λς'. §. 13. 28. καὶ Βιβλ. Γ'. 76. » ἔν τε δὴ τῇ ὁδῷ μέσῃ ςείχοντες ἐγίνοντο, καὶ τὰ . . . γεγονότα ἐπυνθάνοντο. » — Σάκαι) ἔθνος κατὰ τὸ Ιμαον ὄρος πρὸς ἀνατολὰς τῆς Βακτριανῆς καὶ Σογδιανῆς κατοικοῦν. — ἐτετάχατο) τεταγμένοι ἦσαν. Ἰδ. ΛΓ'. §. 11. — πῦρ αἴτεον) διὰ νὰ καύσωσι τὰ πλοῖα. Τοῦτο μᾶς ἐνθυμίζει καὶ τὴν ναυμαχίαν (Ιλ. Ο. ςίχ. 718.), ὅπου ὁ Ἕκτωρ φωνάζει:

Οἴσετε πῦρ . . . . . . . . . . . . . . . . . . . . . .
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
νῆας ἑλεῖν . . . . . . . . . . . . . . . . . . . . . .

§. 26. τοῦτο μὲν . . . τοῦτο δὲ) Ἰδ. §. 10. — τῷ πόνῳ) τῆς μάχης δηλ. — ἀνὴρ ἀγαθὸς γενόμ.) ἀφ' οὗ ἔδωκε πολλὰ σημεῖα τῆς ἀρετῆς. Ἰδ. §. 30. καὶ ἀριθ. ΚΓ'. §. 22. — Κυναίγ.) Κυναίγειρος, υἱὸς τοῦ Εὐφορίωνος, καὶ ἀδελφὸς Αἰσχύλου τοῦ ποιητοῦ, ὅςτις ἦτον καὶ αὐτὸς εἰς τὴν μάχην. — Τὴν ἱςορίαν τοῦ Κυναιγ.

λεω· τοῦτο δὲ, Κυναίγειρος ὁ Εὐφορίωνος, ἐνθαῦτα ἐπιλαβόμενος τῶν ἀφλάςων νηὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Αθηναίων πολλοί τε καὶ ὀνομαςοί.

(κεφ. 115.) 27. Επτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ Αθηναῖοι· τῇσι δὲ λοιπῇσι οἱ βάρβαροι ἐξανακρουσάμενοι, καὶ ἀναλαβόντες ἐκ τῆς νήσου, ἐν τῇ ἔλιπον, τὰ ἐξ Ερετρίης ἀνδράποδα, περιέπλωον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Αθηναίους ἀπικόμενοι ἐς τὸ ἄςυ. Αἰτίη δὲ ἔσχε ἐν Αθηναίοισι ἐξ Αλκμαιωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ ξυνθεμένους τοῖσι Πέρσῃσι ἀναδέξαι ἀσπίδα, ἐοῦσι ἤδη ἐν τῇσι νηυσί.

(κεφ. 116) 28. Οὗτοι μὲν δὴ περιέπλωον Σούνιον. Αθηναῖοι δ' ὡς ποδῶν εἶχον, τάχιςα ἐβοήθεον ἐς τὸ ἄςυ· καὶ ἔφθησάν τε ἀπικόμενοι, πρὶν ἢ τοὺς βαρβάρους ἥκειν, καὶ ἐςρατοπεδεύσαντο ἀπιγμένοι ἐξ Ηρακληΐου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ηρακληΐῳ τῷ ἐν Κυνοσάργεϊ. Οἱ δὲ

διηγεῖται ὁ Ιουςῖν. βιβλ. Β'. 9. — τῶν ἀφλάςων) ἄφλαςον, ςολίδιόν τι τῆς πρύμνης τοῦ πλοίου ὡσὰν πτέρυξ, τὸ ὁποῖον φαίνεται ὅτι ἐπεῖχε τὸν τόπον σημαίας, ἡ ὁποία δεικνύει τὸν ἄνεμον.

§. 27. ἐξανακρ.) ἐτραβίχθησαν μὲ τὰ πλοῖα ὀπίσω, χωρὶς νὰ τὰ ςρίψωσι πρότερον. — ἐκ τῆς νήσου) Ιδ. §. 10. — Σούνιον) τὸ μεσημβρινὸν ἀκρωτήριον τῆς Αττικῆς. Ο δὲ Μαραθὼν ἔκειτο εἰς τὰ ἀνατολικὰ παραθαλάσσια, ἀντικρὺ τῆς Εὐβοίας. — αἰτίη ἔσχ.) ἡ Σύνταξ. αἰτίη ἔσχε αὐτοὺς ἐν Αθην. ἐπινοηθ. ταῦτα ἐκ μηχ. Αλκμ. — Αἰτίαν ἔχειν, μετὰ Αἰτιατικῆς τοῦ προσώπου, περὶ τοῦ ὁποίου τις λέγει τι. ἀριθμ. ΚΓ'. §. 17. — ἀναδέξαι ἀσπ.) ὡς σημεῖον, ὅτι ἠμποροῦσι νὰ προσβάλωσι τὴν πόλιν. Ο Ηρόδ. πολεμεῖ τὸν λόγον τοῦτον Βιβλ. ς'. 121. καὶ ἑξ.

§. 28. ὡς ποδ. εἶχον) ΛΒ'. §. 10. Βιγέρ. σελ. 248. σημ. 56. — ἐν (πλησίον, περί. Ιδ. ἀριθ. ΙΙΙ'. §. 75.) ἀλλ. Ηρακλ.) Ιδ. §. 11. Περὶ τοῦ Κυνοσάργους Ιδ. ἀριθμ. ΛΓ'. §. 9. — ὑπεραιωρ.) συνηθέςερον εἶναι περὶ πλεόντων τὸ ὑπεραίρειν. — ὑπὲρ τούτου) οἱ βάρβαροι ἀράξαν παρεπάνω τοῦ λιμένος εἰς τὸ πέλαγος. — ἀνακωχ.) ἀνεκώχευσαν, ἐσάλευον ἐπὶ ταῖς ἀγκύραις.



βάρβαροι τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου, τοῦτο γὰρ ἦν ἐπίνειον τότε τῶν Αθηναίων, ὑπὲρ τούτου ἀνακωχεύσαντες τὰς νῆας, ἀπέπλωον ὀπίσω ἐς τὴν Ασίην.

(κεφ. 117.) 29. Εν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας· Αθηναίων δὲ, ἑκατὸν ἐννενήκοντα καὶ δύο· ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι· ξυνήνεικε δὲ αὐτόθι θῶμα τοιόνδε γενέσθαι. 30. Αθηναῖον ἄνδρα Επίζηλον τὸν Κουφαγόρεω ἐν τῇ συςάσει μαχόμενόν τε, καὶ ἄνδρα γινόμενον ἀγαθὸν, τῶν ὀμμάτων ςερηθῆναι, οὔτε πληγέντα οὐδὲν τοῦ σώματος, οὔτε βληθέντα· καὶ τὸ λοιπὸν τῆς ζόης διατελέειν ἀπὸ τούτου τοῦ χρόνου ἐόντα τυφλόν. 31. Λέγειν δὲ αὐτὸν ἤκουσα περὶ τοῦ πάθεος τοιόνδε τινὰ λόγον· ἄνδρα οἱ δοκέειν ὁπλίτην ἀντιςῆναι μέγαν, τοῦ τὸ γένειον τὴν ἀσπίδα πᾶσαν σκιάζειν· τὸ δὲ φάσμα τοῦτο ἑωϋτὸν μὲν παρεξελθεῖν, τὸν δὲ ἑωϋτοῦ παραςάτην ἀποκτεῖναι. Ταῦτα μὲν δὴ Επίζηλον ἐπυθόμην λέγειν.

(κεφ. 118.) 32. Δᾶτις δὲ πορευόμενος ἅμα τῷ ςρατῷ ἐς τὴν Ασίην, ἐπεί τε ἐγένετο ἐν Μυκόνῳ, εἶδε ὄψιν ἐν τῷ ὕπνῳ· καὶ ἥτις μὲν ἦν ἡ ὄψις, οὐ λέγεται· ὁ δὲ, ὡς ἡμέρη τάχιςα ἐπέλαμψε, ζήτησιν ἐποιέετο τῶν νεῶν.

§. 29. ξυνήνεικε γεν.) Βιβλ. Α'. 19. « ξυνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα. » Παράβ. ἀριθμ. ΔΖ'. §. 6. 9.

§. 31. ἤκουσα) ἂς μὴ πιςεύσῃ τις, ὅτι ὁ Ηρόδ. ἤκουσε τὴν ἱςορίαν ἐκ τοῦ ςόματος αὐτοῦ τοῦ Επιζήλου, καθὼς τινες ἐσφαλμένως ἐννοοῦσι τὸ χωρίον τοῦτο. — τοῦ τὸ γ. . . σκιάζειν) ἀντὶ καὶ τούτου τὸ γέν. Περὶ τοῦ Απαρεμφ. εἰς τὸν πλάγιον λόγον Ιδ. ἀριθμ. ΛΓ'. §. 43. — ἑωϋτὸν) τὸν Επίζηλον.

§. 32. Δᾶτις καὶ Αρταφέρνης ἦσαν οἱ ἀρχιςράτηγοι τοῦ Περσικοῦ ςρατοῦ. — Μυκόνῳ) μιᾷ τῶν Κυκλάδων νήσων, οὐ μακρὰ τῆς Δήλου. — ὡς ἡμέρη τάχιςα) Ιδ. ΑΓ'. §. 2.

33. Εὑρὼν δὲ ἐν Φοινίσσῃ νηῒ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον, ἐπυνθάνετο ὁκόθεν σεσυλημένον εἴη· πυθόμενος δὲ ἐξ οὗ ἦν ἱροῦ ἔπλεε τῇ ἑωϋτοῦ νηῒ ἐς Δῆλον· καὶ, ἀπίκατο γὰρ τηνικαῦτα οἱ Δήλιοι ὀπίσω ἐς τὴν νῆσον, κατατίθεταί τε ἐς τὸ ἱρὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλίοισι ἀπαγαγεῖν τὸ ἄγαλμα ἐς Δήλιον τὸ Θηβαίων· τὸ δ' ἐστι ἐπὶ θαλάσσῃ, Χαλκίδος καταντίον. 34. Δᾶτις μὲν δὴ ταῦτα ἐντειλάμενος ἀπέπλεε· τὸν δὲ ἀνδριάντα τοῦτον Δήλιοι οὐκ ἀπήγαγον, ἀλλά μιν δι' ἐτέων εἴκοσι Θηβαῖοι αὐτοὶ ἐκ θεοπροπίου ἐκομίσαντο ἐπὶ Δήλιον.

(κεφ. 119.) 35. Τοὺς δὲ τῶν Ἐρετριέων ἀνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφέρνης ὡς προσέσχον ἐς τὴν Ἀσίην πλέοντες, ἀνήγαγον ἐς Σοῦσα. Βασιλεὺς δὲ Δαρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας, ἐνεῖχέ σφι δεινὸν χόλον, οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπεί τε δὲ εἶδέ σφεας ἀπαχθέντας παρ' ἑωϋτὸν, καὶ ὑποχειρίους ἑωϋτῷ ἐόντας, ἐποίησε κακὸν ἄλλο οὐδὲν, ἀλλά σφεας τῆς Κισσίης χώρης κατοίκισε ἐν

§. 33. ἀπίκατο ὀπίσω) Βιβλ. Ε'. 107. παραγίνεσθαι ὀπίσω, τουτέστι κατέρχεσθαι. Οἱ Δήλιοι πλησιάζοντος τοῦ Περσικοῦ στρατοῦ κατέλιπον τὴν νῆσον αὐτῶν. Βιβλ. ϛ'. 97. — ἀπίκατο γάρ) ἰδ. ΛΑ'. §. 3. — Δήλιον) πόλις τῆς Βοιωτίας ἐν τῇ χώρᾳ τῶν Ταναγραίων, ὅπου ἦν καὶ ναὸς τοῦ Ἀπόλλωνος κατὰ μίμησιν τοῦ ἐν Δήλῳ κτισμένος.

§. 35. τοὺς ἀνδραποδισμ.) Παράβ. §. 1. 10. 27. — ἀνήγαγ.) αἱ μετατοπίσεις ὁλοκλήρων ἐθνῶν ἦσαν συνειθισμέναι εἰς τὸ Περσικὸν βασίλειον. — οἷα) πρβ. Γενικὴν ἀπλ. ΛΓ'. §. 4. — ἀρξ. ἀδικ.) ἰδ. ΛΓ'. §. 58. — τῆς Κισσ. χώρ. ἐν σταθμ.) ἰδ. ΛΓ'. §. 41. — Κισσία, ἡ δυτικωτέρα ἐπαρχία τῆς κυρίως Περσίας. — ἐν σταθμῷ) σταθμοὶ ἐλέγοντο εἰς τὸ Περσικὸν βασίλειον διαστήματά τινα ἐπὶ τῶν μεγάλων δρόμων. Ἰδ. Βιβλ. Ε'. 52. — τριφασ.) τουτέστι τρισσάς. — ἀρύσσονται) ὁ Μέλλων δὲν ἔχει τὸν τόπον του ἐνταῦθα, καὶ πρέπει νὰ μεταβληθῇ εἰς τὸ ἀρύονται.



σταθμῷ ἑωϋτοῦ, τῷ οὔνομά ἐστι Ἀρδέρικκα, ἀπὸ μὲν Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι, τεσσεράκοντα δὲ ἀπὸ τοῦ φρέατος, τὸ παρέχεται τριφασίας ἰδέας· καὶ γὰρ ἄσφαλτον καὶ ἅλας καὶ ἔλαιον ἀρύσσονται ἐξ αὐτοῦ.— 36. Ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσσοντες τὴν ἀρχαίην γλῶσσαν. Τὰ μὲν δὴ περὶ Ἐρετριέας ἔσχε οὕτω.

(κεφ. 120.) 37. Λακεδαιμονίων δὲ ἧκον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβεῖν οὕτω, ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο ἐν τῇ Ἀττικῇ. Ὕστεροι δὲ ἀπικόμενοι τῆς ξυμβολῆς ἱμείροντο ὅμως θεήσασθαι τοὺς Μήδους· ἐλθόντες δὲ ἐς τὸν Μαραθῶνα ἐθεήσαντο. Μετὰ δὲ, αἰνέσαντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτέων, ἀπαλλάσσοντο ὀπίσω.

## ΛΕ'.

## Τὰ πλησίον ἐπακόλουθα τῆς ἐν Μαραθῶνι μάχης. Τύχη τοῦ Μιλτιάδου.

(Ηρόδ. ϛ'. 132.)

1. Μετὰ δὲ τὸ ἐν Μαραθῶνι τρῶμα γενόμενον, Μιλτιάδης, καὶ πρότερον εὐδοκιμέων παρὰ Ἀθηναίοισι, τότε μᾶλλον αὔξετο. Αἰτήσας δὲ νέας ἑβδομήκοντα, καὶ στρα-

§. 37. ἔχ. σπουδὴν) ἡ Σύνταξ. οὕτω πολλὴν σπ. ἔχ. καταλαβεῖν, τοὺς Πέρσας δηλ. — τριταῖοι) Ἰδ. §. 7. — ὕστεροι . . τῆς ξυμβ.) τουτέστι μετὰ τὴν ξυμβ.

ΛΕ'.

§. 1. τὸ τρῶμα) Βιβλ. Α'. 18. » ἐπολέμεε ἔτεα ἕνδεκα· ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο. » βιβλ. Θ'. 90 »

τιήν τε καὶ χρήματα τοὺς Αθηναίους, οὐ φράσας σφι ἐπ' ἣν ἐπιςρατεύεται χώρην, ἀλλὰ φὰς αὐτοὺς καταπλουτιεῖν, ἤν οἱ ἕπωνται· ἐπὶ γὰρ χώρην τοιαύτην δή τινα ἄξειν, ὅθεν χρυσὸν εὐπετέως ἄφθονον οἴσονται· λέγων τοιαῦτα, αἴτεε τὰς νέας. Αθηναῖοι δὲ, τούτοισι ἐπαρθέντες, παρέδοσαν.

(κεφ. 133.) 2. Παραλαβὼν δὲ ὁ Μιλτιάδης τὴν ςρατιὴν, ἔπλεε ἐπὶ Πάρον, πρόφασιν ἔχων ὡς οἱ Πάριοι ὑπῆρξαν πρότεροι ςρατευόμενοι τριήρεϊ ἐς Μαραθῶνα ἅμα τῷ Πέρσῃ. Τοῦτο μὲν δὴ πρόσχημα λόγου ἦν, ἀτάρ τινα καὶ ἔγκοτον εἶχε τοῖσι Παρίοισι διὰ Λυσαγόρεα τὸν Τισίεω, ἐόντα γένος Πάριον, διαβαλόντα μιν πρὸς Υδάρνεα τὸν Πέρσην. 3. Απικόμενος δὲ ἐς τὴν ἔπλεε ὁ Μιλτιάδης τῇ ςρατιῇ, ἐπολιόρκεε Παρίους, κατειλημένους ἐντὸς τεί-

τῆς αὐτῆς ἡμέρης τῆς περ ἐν Πλαταιῇσι τὸ τρῶμα ἐγένετο.» καὶ συχνάκις. — αὔξετο) ἔτι μᾶλλον ἐτιμᾶτο. — αἰτήσας . . . τοὺς Αθην.) αἰτεῖν τινά τι. Ιδ. Γραμ. Βουτ. §. ΡΗΙ'. δ'. — φὰς αὐτ. καταπλ.) Ιδ. Γραμ. Βουτ. §. ϛΘ'. — ἐπαρθέντ.) ἀναπεισθέντες· Βιβλ. Α'. 87. «αἴτιος δὲ τουτέων ἐγένετο ὁ Ελλήνων θεός, ἐπάρας ἐμὲ ςρατεύεσθαι.»

§. 2. Πάρον) μίαν τῶν Κυκλάδων. — ὑπῆρξαν πρότεροι) ἀριθμ. ΑΔ'. §. 15 «ἀρξάντων ἀδικίης προτέρων.» — πρόσχ. λόγου) Βιβλ. Γ'. 168. «αὕτη μὲν νῦν αἰτίη πρόσχημα λόγου ἐγένετο. Παραβ. ἀριθμ. ΙΙΙ'. §. 33. — Υδάρν.) Υδάρνεως τινὸς, σατράπου τῶν Ασιατικῶν παραθαλασσίων, μέμνηται Ηρόδ. Ζ'. 135.

§. 3. κατειλημ.) ἐκ τοῦ Κατειλέω. Βιβλ. Θ'. 34. «οἱ δὲ Αργεῖοι ἀπειληθέντες ἐς ςεινόν.» — οὐκ ἀπανς.) κατὰ τὴν γραφὴν αὐτὴν φυλάττεται καὶ ἡ ἑνότης τοῦ ὑποκειμένου, καὶ ἡ ἔννοια εἶναι ἁρμοδιωτέρα παρὰ τὴν ἐν τῷ ἀπονοςήσειν. Διότι ἀπὸ τὸν Μιλτιάδην, καὶ ὄχι ἀπὸ τὸ ςράτευμά του, ἐξήρτετο τὸ νὰ σηκωθῇ ἡ πολιορκία. Τὸ ῥῆμα τοῦτο κυριολεκτεῖται ἐπὶ τοιούτων πραγμάτων. Βιβλ. Θ'. 86. «ἢν δὲ μὴ ἐκδιδῶσι, μὴ ἀπανίςασθαι ἀπὸ τῆς πόλιος πρότερον ἢ ἐξέλωσι.» Παράβ. καὶ κεφ. 87. Πολύβ. Α'. 11 . . . πειςμένος . . . τὸν Φίλιππον ἀναςήσειν ἀπὸ τῆς πολιορκίας.»



χεος· καὶ ἐσπέμπων κήρυκα, αἴτεε ἑκατὸν τάλαντα, φὰς, ἢν μή οἱ δῶσι, οὐκ ἀπαναςήσειν τὴν ςρατιὴν, πρὶν ἢ ἐξέλῃ σφέας. 4. Οἱ δὲ Πάριοι, ὅκως μέν τι δώσουσι Μιλτιάδῃ ἀργυρίου, οὐδὲν διενοεῦντο· οἱ δὲ ὅκως διαφυλάξουσι τὴν πόλιν, τοῦτο ἐμηχανῶντο· ἄλλα τε ἐπιφραζόμενοι, καὶ τῇ μάλιςα ἔσκε ἑκάςοτε ἐπίμαχον τοῦ τείχεος, τοῦτο ἅμα νυκτὶ ἐξήρετο διπλήσιον τοῦ ἀρχαίου.

(κεφ. 134.) 5. Ες μὲν δὴ τοσοῦτο τοῦ λόγου οἱ πάντες Ελληνες λέγουσι· τὸ ἐνθεῦτεν δὲ αὐτοὶ Πάριοι γενέσθαι ὧδε λέγουσι. Μιλτιάδῃ ἀπορέοντι ἐλθεῖν ἐς λόγους αἰχμάλωτον γυναῖκα, ἐοῦσαν μὲν Παρίην γένος, οὔνομα δέ οἱ εἶναι Τιμοῦν· εἶναι δὲ ὑποζάκορον τῶν χθονίων θεῶν. 6. Ταύτην δὲ ἐλθοῦσαν ἐς ὄψιν Μιλτιάδεω, συμ-

§. 4. οἱ δὲ Πάρ.) ἡ Σύντ. οἱ δὲ Πάρ. οὐδὲν διεν. ὅκως τι δώσουσι. Οὕτως ἔχει ἡ γραφὴ ἐν πολλοῖς χειρογράφοις. Η δὲ κοινὴ γραφὴ, δώσωσι, εἶναι σόλοικος, καθὼς καὶ τὸ ὀλίγον μετὰ ταῦτα διαφυλάξωσι. — ὅκως μέν. . . οὐδὲν) Σημείωσαι τὸν Μὲν μετὰ τῆς ἀρνήσεως! ὡς Βιβλ. Α'. 36. «ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ.» — καὶ τῇ (ᾗ) . . . τοῦτο) ἡ Σύνταξις ὡς καὶ ἐν βιβλ. Α'. 84. «κατὰ τοῦτο τῆς ἀκροπόλιος τῇ οὐδεὶς ἐτέτακτο φύλακος.» Ως τόσον πρέπει ἤτοι νὰ συντάξῃ τις, ᾗ τοῦ τείχεος, ἢ νὰ ἀναγνώσῃ κατὰ τὸν Βαλκεναῖρον, τὰ τοῦ τειχ. — ἑκάςοτε) ἤξευρον λοιπὸν τοῦτο ἐκ τῆς πείρας. — ἅμα νυκτί) Βιγέρ. σελ. 379 IV.

§. 5. ἐς τοσ. τοῦ λόγου) κατὰ τὸν ὅμοιον τρόπον καὶ Βιβλ. Δ'. 150. «μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραίοισι κατὰ ταὐτὰ λέγουσι· τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θηραῖοι ὧδε γενέσθαι λέγουσι.» Η Σύνταξ. πάντες οἱ Ελληνες λέγ. (ταὐτὸ) ἐς τοσ. (ἐς τοσ. τοῦ λόγου, ὅσον εἰς τὸ μέρος τοῦτο τῆς ἱςορίας ἀποβλέπει). — αὐτοὶ) ἀντικειμένως εἰς τὸ πάντες Ελληνες· ἀντὶ μόνοι. — ἐλθεῖν ἐς λόγους) Βιβλ. Γ'. 68. καὶ Θ'. 44. — οὔνομα δὲ οἱ εἶναι) καὶ αἱ δύο τελευταῖαι λέξεις ἐδύναντο νὰ λείψωσιν· ὁ Ηρόδ. ὅμως συνειθίζει νὰ διακόπτῃ τὸν λόγον διὰ ἀνακολούθων συντάξεω

§. 6. περὶ πολλοῦ ποιέετ.) Ιδ. Βιγέρ. σελ. 653. III.

βουλεῦσαι οἱ, εἰ περὶ πολλοῦ ποιέεται Πάρον ἑλεῖν, τὰ ἂν αὐτὴ ὑποθῆται, ταῦτα ποιέειν. 7. Μετὰ δὲ, τὴν μὲν ὑποθέσθαι· τὸν δὲ, ἀπικόμενον ἐπὶ τὸν κολωνὸν τὸν πρὸ τῆς πόλιος ἐόντα, τὸ ἕρκος θεσμοφόρου Δήμητρος ὑπερθορέειν, οὐ δυνάμενον τὰς θύρας ἀνοῖξαι· ὑπερθορόντα δὲ, ἰέναι ἐπὶ τὸ μέγαρον, ὅ,τι δὴ ποιήσοντα ἐντὸς, εἴτε κινήσοντά τι τῶν ἀκινήτων, εἴτε ὁτιδήποτε πρήξοντα· πρὸς τῇσι θύρῃσί τε γενέσθαι, καὶ πρόκα τε, φρίκης αὐτὸν ὑπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἵεσθαι· καταθρώσκοντα δὲ τὴν αἱμασιὴν τὸν μηρὸν σπασθῆναι· οἱ δὲ, αὐτὸν τὸ γόνυ προςπταῖσαι λέγουσι.

(κεφ. 135.) 8. Μιλτιάδης μὲν νῦν φλαύρως ἔχων, ἀπέπλεε ὀπίσω, οὔτε χρήματα Αθηναίοισι ἄγων, οὔτε Πάρον προςκτησάμενος, ἀλλὰ πολιορκήσας τε ἓξ καὶ εἴκοσι ἡμέρας, καὶ δηϊώσας τὴν νῆσον. 9. Πάριοι δὲ πυθόμενοι ὡς ἡ ὑποζάκορος τῶν θεῶν Τιμὼ Μιλτιάδῃ κατηγήσατο, βουλόμενοί μιν ἀντὶ τουτέων τιμωρήσασθαι, θεοπρόπους πέμπουσι ἐς Δελφοὺς, ὥς σφεας ἡσυχίη τῆς πολιορκίης ἔσχε. 10. Επεμπον δὲ ἐπειρησομένους εἰ καταχρήσονται τὴν ὑποζάκορον τῶν θεῶν, ὡς ἐξηγησαμένην τοῖσι ἐχθροῖσι τῆς πατρίδος ἅλωσιν, καὶ τὰ ἐς ἔρσενα γόνον ἄῤῥητα ἱρὰ ἐκφήνασαν Μιλτιάδῃ. 11. Η δὲ Πυθίη οὐκ ἔα, φᾶσα οὐ Τιμοῦν εἶναι τὴν αἰτίην τουτέων, ἀλλὰ, δεῖν γὰρ Μιλτιάδεα τελευτᾷν μὴ εὖ, φανῆναί οἱ τῶν κακῶν κατηγεμόνα. Παρίοισι μὲν δὴ ταῦτα ἡ Πυθίη ἔχρησε.

(κεφ. 136.) 12. Αθηναῖοι δὲ ἐκ Πάρου Μιλτιάδεα ἀπονοςήσαντα ἔσχον ἐν ςόματι, οἵ τε ἄλλοι καὶ μάλιςα Ξάνθιππος ὁ Αρίφρονος, ὃς θανάτου ὑπαγαγὼν ὑπὸ τὸν δῆμον Μιλτιάδεα ἐδίωκε τῆς Αθηναίων ἀπάτης εἵνεκεν. 13. Μιλτιάδης δὲ, αὐτὸς μὲν παρεὼν οὐκ ἀπελογέετο, ἦν γὰρ ἀδύνατος, ὥςτε σηπομένου τοῦ μηροῦ· προκειμένου δὲ αὐτοῦ ἐν κλίνῃ, ὑπεραπολογέοντο οἱ φίλοι, τῆς μάχης τε τῆς ἐν Μαραθῶνι γενομένης πολλὰ ἐπιμεμνημένοι, καὶ τὴν Λήμνου αἵρεσιν, ὡς, ἑλὼν Λῆμνόν τε καὶ τισάμε-

§. 7. τὸ ἕρκος) καὶ παρακατ. τὴν αἱμασιὴν, τὸν περίβολον. — τὸ μέγαρον) τὸ ἄδυτον, τὸ ἱερὸν, ἀνδράσι καὶ ἀμυήτοις ἄβατον μέρος τοῦ ναοῦ. — ὅ,τι δὴ ποιήσ.) ἀγνοῶ ὅ,τι ποιῆσαι ἔμελλε. — τῶν ἀκιν.) ἴσως κἀνὲν ἀπὸ τὰ ἱερὰ (κειμήλια), ἀπὸ τὰ ὁποῖα οἱ παλαιοὶ ἐνόμιζον ὅτι ἐκρέματο ἡ τύχη τῶν πόλεών των. — πρόκα) αἰφνιδίως.

§. 8. φλαύρως) φαύλως, κακῶς.

§. 9. ἡσυχ. τῆς πολ. ἔσχε) ἀντὶ ἡσυχίαν εἶχεν, τῆς πολιορκίας ἀπεληγούσης.

§. 10. ἐξηγησαμ.) ἐξηγεῖσθαι λέγεται κυρίως περὶ ἱερέων καὶ μάντεων, οἱ ὁποῖοι κάμνουσι γνωστὸν τὸν κεκρυμμένον νοῦν καὶ τὴν θέλησιν τῶν θεῶν. — ἔρσενα γόνον) κυρίως τῶν ἀρρένων γένος, ἄνδρας. Βιβλ. Γ'. 66. » ἄπαιδα. . . ἔρσενος καὶ θήλεος γόνου. » Αἰσχύλ. Χοηφ. 500. » οἴκτειρε θῆλυν, ἀρσενός θ' ὁμοῦ γόνον. » Εὐριπιδ. Ανδρ. 23. » ἄρσεν' ἐντίκτω γόνον. »

§. 11. οὐκ ἔα) Ιδ. ἀριθμ. ΛΓ'. §. 38. — δεῖν γάρ.) Ιδ. ΛΑ'. §. 33. Τὴν ἰδίαν ἔννοιαν περὶ μιᾶς ἀτυχοῦς εἱμαρμένης ἐκφράζει συνεχῶς ὁ Ηρόδ. μὲ αὐτὸν τὸν τρόπον. Βιβλ. Α'. 8 » χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς. » Α'. 79. » ἐπεί τε ἔδεέ οἱ κακῶς γενέσθαι. » Θ'. 109. » τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι. » Παράβ. βιβλ. Β'. 161.

§. 12. ἐν ςόματι) ἐν ςόματι (ἢ κατ' ἄλλους, ἐν ςόμασι), καὶ, διὰ ςόματος ἔχειν, πολλὰ περί τινος λέγειν, ἐπὶ καλῷ καὶ κακῷ. Βιβλ. Γ'. 157. » πάντες Ζώπυρον εἶχον ἐν ςόμασι αἰνέοντες. » — ὑπὸ τὸν δῆμ.) οὕτω βιβλ. Α'. 72. » ὑπὸ δικαςήριον ὑπαχθείς. » καὶ 82. » νοςήσαντα δέ μιν ὑπῆγον οἱ ἐχθροὶ ὑπὸ τοὺς Εφόρους. » Β'. 93. » ὑπαγάγοντό μιν ὑπὸ δικαςήριον. »

§. 13. ἦν ἀδύνατ.) οὐ γὰρ ἐδύνατο. — ὥς τε) μετὰ Γενικῆς ἀπολ. καθὼς καὶ τὸ οἷα. ΛΓ'. §. 4. — προκειμ.) ἐνώπιον τῆς ἐκκλησίας. Βιγέρ. σελ. 658. σημ. — γενομένης) τὸ γενομένης ἐλήφθη ἔκ τινων καλῶν χειρογράφων, καὶ εἶναι εἰς τὸ ἰδίωμα τῆς γλώσσης τοῦ Ηροδ. κατάλληλον.

νος τοὺς Πελασγοὺς, παρέδωκε Ἀθηναίοισι. 14. Προσγινομένου δὲ τοῦ δήμου αὐτῷ κατὰ τὴν ἀπόλυσιν τοῦ θανάτου, ζημιώσαντος δὲ κατὰ τὴν ἀδικίην πεντήκοντα ταλάντοισι, Μιλτιάδης μὲν μετὰ ταῦτα, σφακελίσαντός τε τοῦ μηροῦ καὶ σαπέντος, τελευτᾷ· τὰ δὲ πεντήκοντα τάλαντα ἐξέτισε ὁ παῖς αὐτοῦ Κίμων.

(κεφ. 137. 15. Λῆμνον δὲ Μιλτιάδης ὁ Κίμωνος ὧδε ἔσχε. Πελασγοὶ, ἐπεί τε ἐκτὸς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξελάθησαν, εἴτε ὦν δὴ δικαίως, εἴτε ἀδίκως; τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα, ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως. 16. Ἐπεί τε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τὴν σφίσι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι, μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἐληλαμένου· ταύτην ὡς ἰδεῖν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι



κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε καὶ ἵμερον τῆς γῆς, καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίην ἄλλην πρόφασιν προϊσχομένους τοὺς Ἀθηναίους. 17. Ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως ἐξελάσαι. Κατοικημένους γὰρ τοὺς Πελασγοὺς ὑπὸ τῷ Ὑμησσῷ, ἐνθεῦτεν ὁρμεωμένους, ἀδικέειν τάδε. 18. Φοιτᾶν γὰρ αἰεὶ τὰς σφετέρας θυγατέρας ἐπ' ὕδωρ ἐπὶ τὴν Ἐννεάκρουνον· οὐ γὰρ εἶναι τοῦτον τὸν χρόνον σφίσι κω, οὐδὲ τοῖσι ἄλλοισι Ἕλλησι, οἰκέτας. Ὅκως δὲ ἔλθοιεν αὗται, τοὺς Πελασγοὺς ὑπὸ ὕβριός τε καὶ ὀλιγωρίης βιᾶσθαί σφεας· καὶ ταῦτα μέν τοι σφίσι οὐκ ἀποχρᾶν ποιέειν, ἀλλὰ τέλος καὶ ἐπιβουλεύοντας ἐπιχειρήσειν, ἐπ' αὐτοφώρῳ φανῆναι. 19. Ἑωϋτοὺς δὲ γενέσθαι τοσοῦτο ἐκείνων ἄνδρας ἀμείνονας, ὅσῳ παρεὸν αὐτοῖσι ἀποκτεῖναι τοὺς Πελασγοὺς, ἐπεί σφεας ἔλαβον ἐπιβουλεύοντας, οὐκ ἐθελῆσαι, ἀλλά σφι

---

§. 14. κατα τὴν ἀδικίην) ὡς πρὸς τὴν ζημίαν. Παραβ. Κορν. Νέπ. ἐν βίῳ Μιλτ. κεφ. 7. ὁ ὁποῖος ὅμως εἰς ὅλην τὴν ἱστορίαν ἀκολουθεῖ ἄλλας μαρτυρίας.

§. 15. Πελασγοὶ) Ὑπερβατὸν μεγάλον. Ο λόγος ἐξακολουθεῖται. §. 20. μὲ τὰς λέξεις «οἱ δὲ Πελασγοὶ» ἀφ' οὗ παρενθέτει πρότερον ὁ Ηροδ. τὴν ἱστορίαν τῆς ἀποδιώξεως τῶν Πελασγῶν ἐκ τῆς Ἀττικῆς, καὶ τοὺς διαφόρους περὶ τῆς ὑποθέσεως ταύτης λόγους. — εἴτε ὦν δὴ) Ἰδ. ἀριθμ. Δϛ'. §. 10. — Μετὰ τὸ, πλὴν τὰ λεγόμενα, τὸ πλῆρες τοῦ λόγου ἤθελεν ἦναι ὅτι Ἑκαταῖος μὲν λέγει, ἀδίκως, οἱ δὲ Ἀθηναῖοι, δικαίως. Πλὴν διὰ τῆς παρενθήκης τῆς διηγήσεως τοῦ Ἑκαταίου διακόπτεται ὁ λόγος ἐκ νέου. Παβλ. Β'. 130. » αἵτινες μέν τοι εἰσὶ, οὐκ ἔχω εἰπεῖν, πλὴν ἢ τὰ λεγόμενα. » — Ἑκαταῖος, ὁ Μιλήσιος, σύγχρονος Δαρείου τοῦ Ὑστάσπου, συνέγραψε, » Περιήγησιν Ἀσίας » καὶ ἄλλα ἱστορικὰ συγγράμματα.

§. 16. ἐπεί τε ἰδεῖν) Ἰδ. ΑΓ'. §. 43. — τὴν σφίσι) τοῖς Πελασγοῖς δηλ. — τὸν Ὑμησ.) Ὑμησσὸς, καὶ ἀττικῶς Ὑμηττὸς, ὄνομα ὄρους, πρὸς τὸ μεσημβρινοανατολικὸν μέρος τῆς Ἀττικῆς κειμένου. — τοῦ τείχ.) Ἰδ. ΑΓ'. §. 40. — ἐληλαμ.) Αἰσχύλ. Πέρσ. 869. » πόλεις . . . αἵ κατὰ χέρσον ἐληλαμέναι περὶ πύργον. » — ταύτην (τὴν χώρην) ὡς ἰδεῖν) συνδέει τὴν συνέχειαν τοῦ λόγου, ἥτις διὰ τῆς παρενθέσεως διεκόπη. — τὴν πρότερον εἶναι) ὁ Ηρόδ. προστίθησιν ἐνίοτε τὸ Εἶναι πλεοναστικῶς (Ἰδ. ΛΓ'. §. 58.), πλὴν ὄχι κατὰ τοῦτον τὸν τρόπον. Ἴσως ἔγραψεν ἐνταῦθα, τὴν πρότερον ἰδεῖν, ἤ, ἰδέσθαι κακήν.

§. 18. σφετέρ.) τουτέστι τὰς Ἀθηναίων. — Ἐννεάκρ.) πηγὴν, παρὰ τοὺς πρόποδας τοῦ Ὑμηττοῦ, τὴν ὁποίαν ὁ Πεισίστρατος μετωχετεύσατο εἰς τὴν πόλιν. — Αἱ λέξεις « τε καὶ παῖδας », αἱ ὁποῖαι εὑρίσκονται εἴς τινας ἐκδόσεις μετὰ τὸ θυγατέρας, δὲν συμφωνοῦσι μὲ τὰς ἑπομένας ὅκως (ὁσάκις) ἔλθοιεν αὗται· ὅθεν καὶ παρελείφθησαν. — οὐκ ἀποχρᾶν) οὐκ ἀρκεῖν. — ἀλλὰ . . . φανῆναι) ἡ Σύνταξ. ἀλλὰ φανῆναι ἐπ' αὐτοφ. (τουτέστιν ἐμφανῶς) ἐπιβ. ἐπιχειρήσειν.

§. 19. τοσοῦτο . . . ὅσῳ) τοιαύτην τῶν λέξεων σύνθεσιν Ἰδ. ἀριθμ. ΚΖ'. §. 2. 5. 8. — προειπεῖν) παῤῥησίᾳ εἰπεῖν. Ἰδ. Βιγέρ. σελ. 658. σημ. 4. καθὼς καὶ τὸ προκεῖσθαι. §. 13. — ἄλλα χωρία καὶ δὴ καὶ) Ἰδ. ΚΓ'. §. 40.

προειπεῖν ἐκ τῆς γῆς ἐξιέναι. Τοὺς δὲ, οὕτω δὴ ἐκχωρήσαντας, ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον.

(κεφ. 138.) 20. Εκεῖνα μὲν δὴ Εκαταῖος ἔλεξε, ταῦτα δὲ Αθηναῖοι λέγουσι. Οἱ δὲ Πελασγοὶ οὗτοι, Λῆμνον τότε νεμόμενοι, καὶ βουλόμενοι τοὺς Αθηναίους τιμωρήσασθαι, εὖ τε ἐξεπιςάμενοι τὰς Αθηναίων ὁρτὰς, πεντηκοντέρους ϛησάμενοι, ἐλόχησαν Αρτέμιδι ἐν Βραυρῶνι ἀγούσας ὁρτὴν τὰς τῶν Αθηναίων γυναῖκας. 21. Ενθεῦτεν δὲ ἁρπάσαντες τουτέων πολλὰς οἴχοντο ἀποπλέοντες· καί σφεας ἐς Λῆμνον ἀγαγόντες παλλακὰς εἶχον. Ως δὲ τέκνων αὗται αἱ γυναῖκες ὑπεπλήσθησαν, γλῶσσάν τε τὴν Αττικὴν καὶ τρόπους τῶν Αθηναίων ἐδίδασκον τοὺς παῖδας. Οἱ δὲ οὔτε ξυμμίσγεσθαι τοῖσι ἐκ τῶν Πελασγίδων γυναικῶν παισὶ ἤθελον, εἴτε τύπτοιτό τις αὐτέων ὑπ᾽ ἐκείνων τινὸς, ἐβοήθεόν τε πάντες, καὶ ἐτιμώρεον ἀλλήλοισι· καὶ δὴ καὶ ἄρχειν τε τῶν παίδων οἱ παῖδες ἐδικαίευν, καὶ πολλὸν ἐπεκράτεον. 22. Μαθόντες δὲ ταῦτα οἱ

§. 20. οἱ Πελασγοὶ) Παράβ. §. 16. — νεμόμενοι) τουτέςι κατέχοντες. — ϛησάμενοι) τοῦτο εἶναι οἰκειότερον εἰς τὴν συνέχειαν τῆς διηγήσεως παρὰ τὸ κοινῶς κτησάμενοι, ἐπειδὴ ὡς νοοῦται δὲν ἠμπόρουν νὰ ἔχωσιν ἔλλειψιν πλοίων καὶ πρότερον. — Βραυρῶνι) Βραυρὼν, δῆμος τῆς Αττικῆς, πρὸς ἀνατολὰς τῶν Αθηνῶν, περίφημος διὰ τὸ ἄγαλμα καὶ τὸν ναὸν τῆς Ταυρικῆς Αρτέμιδος. Η ἑορτὴ τῆς θεᾶς (Αρτέμιδος Βραυρωνίας) ἑωρτάζετο κατὰ πᾶν πέμπτον ἔτος ὑπὸ παρθένων.

§. 21. ὑπ᾽ ἐκείνων) τῶν ἐκ τῶν Πελασγίδων γυναικῶν. — ἐδικαίευν) ἤθελον, ἠξίουν. — πολλὸν ἐπεκρ.) τουτέςι πολλῷ κρείττονες ἦσαν. Βιβλ. Η΄. 136. » πολλὸν κρέσσων. » Ιδ. ΑΓ΄. §. 34 καὶ 65.

§. 22. ἑωϋτ. λόγ. ἐδίδ.) ἐβουλεύοντο ἐν ἑαυτοῖς. Βιβλ. Α΄. 209. » ὁ δὲ Κῦρος ἐδίδου λόγον ἑωϋτῷ περὶ τῆς ὄψιος. » Παράβ. καὶ ΑΓ΄. §. 27. — ἐςέδυνε) ἐςῆλθεν αὐτοῖς. Τὸ δεινὸν τοῦτο εἶναι ἡ ἀπόφασις, τὴν ὁποίαν ἔκαμαν οἱ Πελασγοὶ ὡς πρὸς τοὺς παῖδας, τῆς ὁποίας τὴν ἀνάμνησιν ὅμως ἀναβάλλει ὁ Ηρόδ. ἕως εἰς τὸν



Πελασγοὶ ἑωϋτοῖσι λόγους ἐδίδοσαν· καί σφισι βουλευομένοισι δεινόν τι ἐςέδυνε, εἰ δὴ διαγινώσκοιεν σφίσι τε βοηθέειν οἱ παῖδες πρὸς τῶν κουριδιέων γυναικῶν τοὺς παῖδας, καὶ τουτέων αὐτίκα ἄρχειν πειρῴατο, τί δὴ ἀνδρωθέντες δῆθεν ποιήσουσι. Ενθαῦτα ἔδοξέ σφι κτείνειν τοὺς παῖδας τοὺς ἐκ τῶν Αττικέων γυναικῶν. Ποιεῦσι δὴ ταῦτα· προςαπολλύουσι δὲ σφέων καὶ τὰς μητέρας. 23. Απὸ τούτου δὲ τοῦ ἔργου, καὶ τοῦ προτέρου τούτων τὸ ἐργάσαντο αἱ γυναῖκες, τοὺς ἅμα Θόαντι ἄνδρας σφετέρους ἀποκτείνασαι, νενόμιςαι ἀνὰ τὴν Ελλάδα τὰ σχέτλια ἔργα πάντα Λήμνια καλέεσθαι.

(κεφ. 139.) 24. Αποκτείνασι δὲ τοῖς Πελασγοῖσι τοὺς σφετέρους παῖδάς τε καὶ γυναῖκας οὔτε γῆ καρπὸν ἔφερε, οὔτε γυναῖκές τε καὶ ποῖμναι ὁμοίως ἔτικτον καὶ πρὸ τοῦ. Πιεζόμενοι δὲ λιμῷ τε καὶ ἀπαιδίῃ ἐς Δελφοὺς ἔπεμπον, λύσιν τινὰ αἰτησόμενοι τῶν παρεόντων κακῶν. 25. Η δὲ Πυθίη σφέας ἐκέλευε Αθηναίοισι δίκας διδόναι

ἑπόμενον §., ἐπειδὴ, κατὰ τὴν συνήθειάν του, προτίθησι τὴν αἰτίαν αὐτῆς. — Πρὸ τοῦ, εἰ δὴ, προςυπακουςέον τὸ λογιζόμενοι. — Η Σύνταξ. πρὸς τῆς παῖδας τῶν κουρ. γυναικῶν· αἱ κουρίδιαι γυναῖκες ἀντίκεινται ταῖς παλλακαῖς. Βιβλ. Α΄. 135 » γαμέουσι δ᾽ ἕκαςος αὐτέων πολλὰς κουριδίας γυναῖκας, πολλῷ δὲ πλεῦνας παλλακὰς κτῶνται. » — τί δὴ ἀνδρ. δῆθεν) Ιδ. Βιγὲρ. φελ. 499. σημ.

§. 23. ἅμα Θόαντι) ἄλλοι διηγοῦνται, ὅτι ἐπὶ τοῦ γενικοῦ φόνου τῶν ἀνδρῶν, μόνος Θόας, ὁ βασιλεὺς, ἐσώθη ὑπὸ τῆς ἑαυτοῦ θυγατρός. Ο Ηρόδ. ἀκολουθεῖ κατὰ τοῦτο ἄλλους λόγους.

§. 24. ὁμοίως καὶ) Ιδ. ΑΓ΄. §. 13.

§. 25. ςρώσ.) οἱ πλούσιοι ἐσυνήθιζον νὰ σκεπάζωσι τὰς κλίνας ἐπὶ τῶν ὁποίων ἔκειντο παρὰ τὴν τράπεζαν, μετὰ πολυτελῶν ταπήτων. — ὡς εἶχον κάλλιςα) Παράβ. ΑΓ΄. §. 2. — τὴν χώρην) αὐτῶν, τὴν Λῆμνον δηλ. — οὕτω ἔχ.) τουτέςι πάντων ἀγαθῶν πεπληρωμένην.

ταύτας τὰς ἂν αὐτοὶ Ἀθηναῖοι δικάσωσι. Ἦλθόν τε δὴ ἐς τὰς Ἀθήνας οἱ Πελασγοὶ, καὶ δίκας ἐπαγγέλλοντο βουλόμενοι διδόναι παντὸς τοῦ ἀδικήματος. Ἀθηναῖοι δὲ ἐν τῷ πρυτανηΐῳ κλίνην ςρώσαντες, ὡς εἶχον κάλλιςα, καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν πάντων παραθέντες, ἐκέλευον τοὺς Πελασγοὺς τὴν χώρην σφίσι παραδιδόναι οὕτω ἔχουσαν. 26. Οἱ δὲ Πελασγοὶ ὑπολαβόντες εἶπαν. „ Ἐπεὰν βορέῃ ἀνέμῳ αὐτημερὸν νηῦς ἐξανύσῃ ἐκ τῆς ὑμετέρης ἐς τὴν ἡμετέρην, τότε παραδώσομεν. " τοῦτο εἶπαν, ἐπιςάμενοι τοῦτο εἶναι ἀδύνατον γενέσθαι· ἡ γὰρ Ἀττικὴ πρὸς νότον κέεται πολλὸν τῆς Λήμνου (κεφ. 140.) 27. Τότε μὲν τοιαῦτα. Ἔτεσι δὲ κάρτα πολλοῖσι ὕςερον τουτέων, ὡς ἡ Χερσόνησος ἡ ἐπ' Ἑλλησπόντῳ ἐγένετο ὑπ' Ἀθηναίοισι, Μιλτιάδης ὁ Κίμωνος, ἐτησιέων ἀνέμων κατεςηκότων, νηῒ κατανύσας ἐξ Ἐλαιοῦντος τοῦ ἐν Χερσονήσῳ ἐς τὴν Λῆμνον, προηγόρευε ἐξιέναι ἐκ τῆς νήσου τοῖσι Πελασγοῖσι, ἀναμιμνήσκων σφέας τὸ χρηστήριον, τὸ οὐδαμὰ ἤλπισαν σφίσι οἱ Πελασγοὶ ἐπιτελέεσθαι. 28. Ἡφαιςιέες μὲν νῦν ἐπείθοντο. Μυριναῖοι δὲ, οὐ ξυγγινωσκόμενοι εἶναι τὴν Χερσόνησον Ἀττικὴν, ἐπολιορκέοντο, ἐς ὃ καὶ οὗτοι παρέςησαν. Οὕτω δὴ τὴν Λῆμναν ἔσχον Ἀθηναῖοι τε καὶ Μιλτιάδης.

§. 26. ἐξανύσῃ) τὴν ὁδὸν, τὸν πλοῦν· δηλ. — ἀδύνατον γενέσθαι)· τὸ Ἀπαρέμφατον αὐξάνει τὴν δύναμιν τῆς ἐκφράσεως. — ἡ γὰρ Ἀττ.) Παράβ. Κορν. Νέπ. ἐν Βίῳ Μιλτ. κεφ. ά., ὁ ὁποῖος ἐν γένει ἄλλέως διηγεῖται τὴν ἱςορίαν. — πολλόν) ἀπό· δηλ. ὥςε καὶ ἡ ἐκπλήρωσις τῆς δευτέρας συνθήκης (ὥςε τῇ αὐτῇ ἡμέρᾳ ἐξανύειν) ἐφαίνετο ἀδύνατος.

§. 27. τότε μέν τοι.) ἔλεξαν δηλ. ἢ, ἐγένετο. — ἐτησ) ἐτησίαι ἄνεμοι λέγονται οἱ ἐν μέρος τοῦ θέρους ἀδιακόπως ἐκ τῆς ἄρκτου εἰς τὸ Αἰγαῖον πέλαγος πνέοντες (μελτέμ τουρκιςί). — κατεςηκ.) καθεςηκέναι, περὶ ἀνέμων, οἱ ὁποῖοι λαμβάνουσι μίαν βεβαίαν διεύθυνσιν. Θουκυδ. ς'. 104. » ἀνέμου κατὰ βορρᾶν ἑςηκώς. » ὅθεν » καθεςηκὸς πνεῦμα » παρ' Ἀριςοφάνει Βατρ. 1034. ἄνεμος ςαθερός. — προηγόρ.) προεῖπε. Ἰδ. §. 19. — ἀναμιμν.) μετὰ δύο Αἰτιατικῶν. Ξενοφ. Ἀνάβ. Γ'. β'. ? » ἀναμνήσω ὑμᾶς τοὺς τῶν προγόνων κινδύνους. » . . .

§. 28. Η Λῆμνος εἶχε δύο πόλεις τὴν Ηφαιςίαν ἐπὶ τῶν ἀνατολικῶν παραθαλασσίων, καὶ τὴν Μυρίναν ἐπὶ τῶν δυτικῶν. — παρέςησαν) παρεδόθησαν. Βιβλ. Β'. 13. » πολιορκεύμενοι χρόνῳ παρέςησαν. » ς'. 99. » ἐς ὃ καὶ οἱ Καρύςιοι παρέςησαν ἐς τῶν Περσέων τὴν γνώμην. » Ἰδ. ΛΓ'. §. 13.



## ΛϚ'.

## Τὰ πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας τοῖς Ἕλλησι διαπεπραγμένα. Ἀθηνῶν ἅλωσις.

(Ηρόδ. Η'. κεφ. 49.)

1. Ὡς δὲ ἐς τὴν Σαλαμῖνα ξυνῆλθον οἱ ςρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο, προθέντος Εὐρυβιάδεω, γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀφεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. 2. Αἱ γνῶμαι δὲ τῶν λεγόντων

ΛϚ'.

§. 1. ὅκου . . . εἰσί) ἡ Σύνταξ. ὅκου τῶν χωρέων, τῶν αὐτοὶ ἐγκρ. εἰσί, ἐπιτηδ. εἶναι δοκοῖ ποιεῖσθαι ναυμ. Γραμ. Βουτ. §. ΡΙΘ'. γ'. β. β. σελ. 416. π. 382. ν. — ἀφεῖτο ἤδη) Παράβ. ἀριθμ. Δ'. — προετίθεε) (ἐκ τοῦ Προτιθέω) βουλεύεσθαι δηλ.

§. 2. συνεξέπ.) τὸ Ῥῆμα τοῦτο εἶναι ἐν χρήσει κυρίως ὡς πρὸς τὰς ψήφους, τὰς ὁποίας ἐμεταχειρίζοντο ὅταν ἔδιδον γνώμην. Βιβλ. Η'. 123. » πᾶς τις αὐτέων ἑωυτῷ ἐτίθετο τὴν ψῆφον . . δεύτερα

αἱ πλεῖςαι συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου· ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες, πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμίη ἐπιφανήσεται· πρὸς δὲ τῷ Ἰσθμῷ, ἐς τοὺς ἑωϋτῶν ἐξοίσονται.

(κεφ. 50.) 3. Ταῦτα τῶν ἀπὸ Πελοποννήσου ςρατηγῶν ἐπιλεγομένων, ἐληλύθε ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος ςρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν, αὐτέων ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡςαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας, καὶ πάντα ἐκεῖνα ἐδήϊου. Ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν, πυθόμενος Θηβαίων ὅτι οὐκ ἐμήδιζον.

(κεφ. 51.) 4. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μήνεσι ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι. 5. Καὶ αἱρέουσι ἔρημον τὸ ἄςυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ, καὶ πένητας ἀνθρώπους· οἳ, φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας· ἅμα μὲν ὑπ' ἀσθενίης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα· πρὸς δὲ, αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι· καὶ αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς νῆας.

(κεφ. 52.) 6. Οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήϊον πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως ςυππεῖον περὶ τοὺς οἰςοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. 7. Ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καί περ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι, καὶ τοῦ φρά-

δὲ αἱ πολλαὶ συνεξέπιπτον Θεμιςοκλῆα κρίνοντες. » Α'. 206. » τῶν δὲ κατὰ τὠϋτὸ αἱ γνῶμαι συνεξέπιπτον. » — πολιορκ.) πολιορκεῖν, περικλείειν ἐν γένει, ςενοχωρεῖν· ὥςε ἡ σημασία τοῦ πόλις ἀφανίζεται διόλου· καθὼς καὶ εἰς πολλὰ σύνθετα (π. χ. Βιβλ. Α'. 129. τοῖς σκέλεσι ἐχειρονόμησε). — τιμωρίη) βοήθεια. — πρὸς τῷ Ἰσθμ.) ὄντες δηλ.

§. 3. αὐτέων ἐκλελ.) τῶν κατοίκων, ἀντικειμένως εἰς τὸ τῇ πόλει. ἀριθμ. ΑΓ'. §. 59. — ἐκλελ. ἐς Πελ.) ἀντὶ ἐκλ. τὴν πόλιν καὶ πεφευγότων ἐς Πελ. — Πλάταιαν) συνηθέςερον τὸ Πλαταιάς. — πυθόμ. Θηβ.) τουτέςι παρὰ τῶν Θηβ.

§. 4. αὐτοῦ) ἐν τοῖς περὶ τὸν Ἑλλήςποντον τόποις. — ἐν τῷ (ᾧ) διέβ.) συναριθμουμένων λοιπὸν καὶ τῶν ἡμερῶν, αἳ ὁποῖαι ἐπέρασαν ἐπὶ τῆς διαβάσεως (Ἰδ. Βιβλ. Ζ'. 56).



§. 5. ταμ. τοῦ ἱροῦ) τὸ θησαυροφυλάκιον τῶν Ἀθηναίων ἔκειτο ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς ἐπὶ τῆς ἀκροπόλεως. Ἰδ. ἀριθμ. ΚΖ'. §. 5. — ἀσθεν. βίου) τουτέςι πενίας. Βιβλ. Β. 47. » οἱ δὲ πένητες ὑπ' ἀσθενίης τοῦ βίου. » — αὐτοὶ (μόνοι) ἐξευρ.) τουτέςι τὸν νοῦν τοῦ μαντείου εἰδέναι. Τὸ ἐνταῦθα μνημονευόμενον μαντεῖον καὶ τὰς περὶ τούτου διαφορὰς ἀναφέρει ὁ Ἡρόδ. ἐν τῷ Ζ'. βιβλ. 141. καὶ ἑξ. Κορν. Νέπ. ἐν βίῳ Θεμις. κεφ. β'. » Deliberantibus Pythia respondit, ut moenibus ligneis se munirent. Id responsum quo valeret cum intelligeret nemo, Themistocles persuasit, consilium esse Apollinis, ut in naves se suaque conferrent; cum enim a deo significari murum ligneum."

§. 6. Ἀρήϊον πάγον) Ἰδ. ΚΕ'. §. 2. — ὅκως) Ἰδ. ΑΕ'. §. 18. — τὸ φράγμα) τὸ ξύλινον ἕρκος τῆς ἀκροπόλεως.

§. 7. προδεδοκ.) προδιδόναι, περὶ πραγμάτων, τὰ ὁποῖα δὲν χρησιμεύουσι πλέον εἴς τι, ἐγκαταλείπουσιν. Βιβλ. Η'. 187. » οὐδέν μοι θῶϋμα παρίςαται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν. » — ὀλοιτρόχους) ὀλοοὺς ἐν τῷ τρέχειν λίθους, τουτέςι μεγάλους. Ξενοφ. Ἀνάβ. Δ'. β'. 3. » ἐκυλίνδουν οἱ βάρβαροι ὀλοιτρόχους ἁμαξιαίους. »

γματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο· ἀμυνόμενοι δὲ, ἄλλα τε ἀντεμηχανέοντο, καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὀλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίησι ἐνέχεσθαι, οὐ δυνάμενόν σφεας ἑλεῖν.

(κεφ. 53.) 8. Χρόνῳ δὲ ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Αττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. Εμπροσθεν ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθεν δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Αγλαύρου, καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. 9. Ως δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Αθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐῤῥίπτεον ἑωϋτοὺς κατὰ τοῦ τείχεος κάτω, καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον· τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες, ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

(κεφ. 54.) 10. Σχὼν δὲ παντελέως τὰς Αθήνας Ξέρξης, ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα, Αρταβάνῳ ἀγ-

§. 8. ἔσοδος) ἐς τὴν ἀκρόπολιν δηλ. — ἔδεε (Ιδ. ΑΕ'. §. 11.) . . . Πέρσ.) ἀναφέρεται πρὸς τὸν χρησμὸν Βιβλ. Ζ'. 141. — οὔτ' ἂν ἤλπισε) τις δηλ. — κατὰ ταῦτα) ἐν τῷδε τῷ τόπῳ. — Αγλαύρ.) τὸ ἱερὸν τῆς Αγλαύρου, τὴν ὁποίαν ἄλλοι ὀνομάζουσιν Αγραύρου, ἦτον εἰς τὸ πλέον ἀπότομον μέρος τῆς ἀκροπόλεως. Παυσ. Α'. 18. — τὸ μέγαρον) Ιδ. ΑΕ'. 7.

§. 10. Αρταβάνῳ) θείῳ τοῦ Ξέρξου, τὸν ὁποῖον ἄφησεν ὁ βασιλεὺς διοικητὴν τοῦ βασιλείου. — ἀγγελέοντα) ἡ Μετοχὴ τελι-



γελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. Απὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ ξυγκαλέσας Αθηναίων τοὺς φυγάδας, ἑωϋτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν· εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. Οἱ δὲ φυγάδες τῶν Αθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

(κεφ. 55.) 11. Τοῦ δὲ εἵνεκεν τουτέων ἐπεμνήσθην, φράσω. Εστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ερεχθῆος τοῦ γηγενέος λεγομένου εἶναι νηὸς, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι· τὰ λόγος παρ' Αθηναίων Ποσειδέωνά τε καὶ Αθηναίην, ἐρίσαντας περὶ τῆς χώρης, μαρτύρια θέσθαι. 12. Ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος, Αθηναῖοι οἱ θύειν ὑπὸ βασιλῆος κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρὸν ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

(κεφ. 56.) 13. Οἱ δ' ἐν Σαλαμῖνι Ελληνες, ὥς σφι ἐξαγγέλθη ὡς ἔσχε τὰ περὶ τὴν Αθηναίων ἀκρόπολιν, ἐς

κὴ, συνήθης μάλιστα μετὰ τὰ ῥήματα ἔρχομαι, πέμπω· — εἴτε δὴ ὦν) Ιδ. ΑΒ'. §. 15. — ἐνθύμ. οἱ ἐγέν.) μετ ἐμφατικῆς σημασίας, ἐλυπήθη, τὸν ἔτυπτεν ἡ συνείδησις· καθὼς καὶ τὸ ἐνθυμεῖσθαι ἐνίοτε — ἐμπρήσαντι) ἀντὶ ὅτι ἐνέπρησε. Γραμ. Βουτ. §. ΡΚΘ'. Ϛ'. Β'.

§. 11, Ερεχθ.) Ιδ. ΑΓ'. §. 39. — θάλασσα) φρέαρ, ἁλμυρὸν ὕδωρ ἔχον, ἐν ᾧ ἐπίστευον ἐνίοτε ὅτι ἀκούουσι τὸν ἦχον τῶν κυμάτων. Παυσ. Α'. κϛ'.

§. 12. κατέλαβε) Ιδ. ΑΔ'. §. 2. — ὅσον τε) σχεδόν. Ο Τὲ κεῖται ἐνταῦθα, καθὼς καὶ μετὰ τὸν Επεὶ, Ος κ. ἀλ. πλεοναστικῶς. Βιβλ. Δ'. 122. « ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας.

§. 13. πρὸ τοῦ (ιθ.) Ιδ. §. 2.

τοσοῦτον θόρυβον ἀπίκοντο, ὥςτε ἔνιοι τῶν ςρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νῆας ἐςέπιπτον, καὶ ἱςία ἀείροντο ὡς ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι αὐτέων ἐκυρώθη πρὸ τοῦ Ισθμοῦ ναυμαχέειν. Νύξ τε ἐγίνετο, καὶ οἱ διαλυθέντες ἐκ τοῦ ξυνεδρίου ἐςέβαινον ἐς τὰς νῆας.

(κεφ. 57.) 14. Ενθαῦτα δὴ Θεμιςοκλῆα ἀπικόμενον ἐπὶ τὴν νῆα εἴρετο Μνησίφιλος, ἀνὴρ Αθηναῖος, ὅ,τι σφι εἴη βεβουλευμένον. Πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς εἴη δεδογμένον, ἀνάγειν τὰς νῆας πρὸς τὸν Ισθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε. 15. ,, Οὔτοι ἄρα ἢν ἀπαίρωσι τὰς νῆας ἀπὸ Σαλαμῖνος, περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις. Κατὰ γὰρ πόλις ἕκαςοι τρέψονται· καὶ οὔτε σφέας Εὐρυβιάδης κατέχειν δυνήσεται, οὔτε τις ἀνθρώπων ἄλλος, ὥςτε μὴ οὐ διασκεδασθῆναι τὴν ςρατιήν· ἀπολέεταί τε ἡ Ελλὰς ἀβουλίῃσι· ἀλλ' εἴτις ἐςὶ μηχανή, ἴθι, καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι, ὥςτε αὐτοῦ μενέειν. ‟

(κεφ. 58.) 16. Κάρτα δὴ τῷ Θεμιςοκλέϊ ἤρεσε ἡ ὑποθήκη· καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ἤϊε ἐπὶ τὴν νῆα τὴν Εὐρυβιάδεω. Απικόμενος δὲ ἔφη θέλειν οἱ κοι-

§. 14. ἀνάγειν) ἰδ. §. 27.

§. 15. περὶ οὐδεμ.) ἐπειδὴ ἡ Αττικὴ ἐκυριεύθη, καὶ ἐσὺ λοιπὸν δὲν ἠμπορεῖς, καθὼς οἱ ἄλλοι, νά ὑπάγῃς εἰς τὴν πατρίδα σου, διά νά τὴν ὑπερασπισθῇς. — διαχέαι) συγχέαι. — ἀναγνῶσαι) κατὰ τὴν γλῶσσαν τοῦ Ηρ. ταὐτὸν τῷ πείθειν. Οὕτω. §. 16. Βιβλ. Α'. 68 » χρόνῳ δ' ὡς ἀνέγνωσε. » Λ'. 75 » ὅτι τὴν Πυθίην ἀνέγνωσε τὰ περὶ Δημάρητον γενόμενα λέγειν. »

§. 16. ξυμμίξαι) κοινῶσαι. Οὕτω καὶ κεφ. 67. » κατέβη Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι ξυμμίξαι. » καὶ κεφ. 79. » Αριςείδης . . . ἐξεκαλέετο Θεμιςοκλῆα. . . θέλων αὐτῷ ξυμμίξαι. »



νόν τι πρῆγμα ξυμμίξαι. Ο δ' αὐτὸν ἐς τὴν νῆα ἐκέλευε ἐσβάντα λέγειν εἴ τι θέλει. Ενθαῦτα ὁ Θεμιςοκλέης παριζόμενος οἱ καταλέγει κεῖνά τε πάντα τὰ ἤκουσε Μνησιφίλου, ἑωϋτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προςτιθείς· ἐς ὃ ἀνέγνωσε χρηΐζων ἔκ τε τῆς νηὸς ἐκβῆναι, ξυλλέξαι τε τοὺς ςρατηγοὺς ἐς τὸ ξυνέδριον.

(κεφ. 59.) 17. Ως δὲ ἄρα ξυνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι τὸν λόγον, τῶν εἵνεκα ξυνήγαγε τοὺς ςρατηγοὺς, πολὺς ἦν ὁ Θεμιςοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος. Λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος ςρατηγὸς Αδείμαντος ὁ Ωκύτου εἶπε. ,, Ω Θεμιςόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιςάμενοι ῥαπίζονται. ‟ Ο δὲ, ἀπολυόμενος, ἔφη. ,, Οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ ςεφανεῦνται. ‟

(κεφ. 60.) 18. Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο. Πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν ξυμ-

§. 17. πολὺς ἦν) ἀντὶ πολλὰ ἔλεξε. Βιβλ. Θ', 91. » πολλὸς ἦν λισσόμενος ὁ ξεῖνος. » — ὁ Κορίνθ. ςρατηγ.) μοὶ φαίνεται, ὅτι ὁ Ηρ. ἔγραψεν ὁ τῶν Κορινθίων ςρατηγός. — προεξανις.) τουτέςι προπηδῶντες, πρὸ τοῦ χρόνου εἰς τὸ ςάδιον εἰςπηδῶντες. — ῥαπίζονται) μαςιγοῦνται. — ἀπολυόμενος) ἀπολύομαι, ἀντιθέτω τι εἰς τὴν ὁμιλίαν ἑνὸς ἄλλου, τὸ ὁποῖον ἀφανίζει τὴν ἔμφασιν αὐτῆς. Αλλέως διηγεῖται τὸ συμβὰν τοῦτο ὁ Πλούταρχος. Ιδ. ἀριθμ. Δ'. §. 20.

§. 18. οὐδὲν τῶν πρότ.) οὐδὲν τούτων ἃ πρότερον ἔλεξεν, ὅτι. . . διαδρήσονται (ἐκ τοῦ διαδιδράσκω). — οὐκ ἔρεε κόσμον (ὡς τὸ αἰσχύνην φέρει) οὐδένα) οὐ προσήκειν ἐδόκει. Βιβλ. Η'. [illegible] 142. » οὔτ γὰρ δίκαιον οὐδαμῶς, οὔτε κόσμον φέρον. » κατηγορέειν) κατηγορεῖν ἐν γένει κακῶς λέγειν περί τινος, καὶ χωρὶς τοῦ σκοποῦ, τοῦ κατηγορῆσαι αὐτὸν ἐπὶ κριτηρίου.

μάχων, οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν. 19. Ο δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε. „ Εν σοὶ νῦν ἐςὶ σῶσαι τὴν Ελλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος τουτέων τοῖσι λέγουσι ἀναζεύξῃς πρὸς τὸν Ισθμὸν τὰς νῆας. Αντίθες γὰρ ἑκάτερον, ἀκούσας. Πρὸς μὲν τῷ Ισθμῷ ξυμβάλλων ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, ἐς ὃ ἥκιςα ἡμῖν ξύμφορόν ἐςι, νῆας ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν ἐλάσσονας· τοῦτο δὲ, ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν, ἤνπερ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. Αμα γὰρ τῷ ναυτικῷ ςρατῷ αὐτέων ἕψεται καὶ ὁ πεζὸς ςρατός· καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις δὲ ἁπάσῃ τῇ Ελλάδι. 20. Ην δὲ τὰ ἐγὼ λέγω ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηςὰ εὑρήσεις. Πρῶτα μὲν ἐν ςεινῷ ξυμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλὰς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν. Τὸ γὰρ ἐν ςεινῷ ναυμαχέειν, πρὸς ἡμέων ἐςί· ἐν εὐρυχωρίῃ δὲ, πρὸς ἐκείνων. Αὖτις δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπέκ-

§. 19. εἴχετο) μετὰ Γενικῆς. — ἐν σοὶ νῦν ἐςὶ) Ιδ. ΛΔ'. §. 14. — ἀναζεύξῃς) τὸ ἀνωτέρω Ανάγειν. §. 14· Βιβλ. Θ'. 41. „ ἀναζεύξαντας πάντα τὸν ςρατόν. — ἑκάτερον) τῶν λόγων. — ἀναπεπτ.) τουτέςι εὐρεῖ. — ἐς ὃ) ἀντὶ ἐν ᾧ. — τοῦτο δὲ) τὸ τοῦτο δὲ, προϋποθέτει κυρίως τὸ τοῦτο μὲν· ἀντὶ τούτου ὅμως κεῖται μόνον ὁ Μὲν εἰς τὸ προηγούμενον κῶλον. Ως καὶ τὸ ἀνάπαλιν μετὰ τό, τὸ μὲν, καὶ, τοῦτο μὲν, ἀκολουθεῖ πολλάκις μόνον ὁ Δὲ. — αὐτέων) τῶν Περσῶν.

§. 20. τοσάδε.) τα ἑξῆς· ἐννοεῖται δὲ τὸ μεγάλα καὶ ἀξιόλογα. — ἐκβαίνῃ) τυγχάνῃ — πολλὸν κρατησ.) Ιδ. ΛΓ'. §. 14. — πρὸς ἡμέων) Ιδ. Βιγέρ. σελ. 609. Η. Κορν. Νέπ. ἐν Θεμ. 4. „ barbarus alienissimo sibi loco, contra opportunissimo hostibus, adeo angusto mari conflixit, ut ejus multitudo navium explicari non potuerit. „ — αὖτις) εἶτα, σύμφωνα τῷ πρῶτα μέν. — ἐς τὴν) ἀντὶ ἐν ᾗ.



κειται τέκνα τε καὶ γυναῖκες. 21. Καὶ μὴν καὶ τόδε ἐν αὐτοῖσι ἔνεςι, τοῦ καὶ περιέχεσθε μάλιςα· ὁμοίως αὐτοῦ τε μένων, προναυμαχήσεις Πελοποννήσου, καὶ πρὸς τῷ Ισθμῷ· οὐδέ σφεας, εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόννησον. 22. Ην δέ γε καὶ τὰ ἐγὼ ἐλπίζω γένηται, καὶ νικήσωμεν τῇσι νηυσὶ, οὔτε ἡμῖν ἐς τὸν Ισθμὸν παρέσονται οἱ βάρβαροι, οὔτε προβήσονται ἑκαςέρω τῆς Αττικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ, Μεγάροισί τε κερδανέομεν περιεοῦσι, καὶ Αἰγίνῃ καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐςι τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. Οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι, ὡς τοεπίπαν ἐθέλει γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομένοισι, οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προςχωρέειν πρὸς τὰς ἀνθρωπηΐας γνώμας. “

(κεφ. 61.) 23. Ταῦτα λέγοντος Θεμιςοκλέους, αὖτις ὁ Κορίνθιος Αδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων τῷ

§. 21. ἐν αὐτοῖσι) τοῖς ὑπ' ἐμοῦ λεχθεῖσι. — ὁμοίως αὐτοῦ) αὐτοῦ (ἐνταῦθα) μὲν, ὁμοίως προν. Πελοπον. καὶ πρὸς τῷ Ισθμῷ. Ο μετὰ τὸ „ αὐτοῦ “ Τε πλεονάζει. Ιδ. §. 12. — Περὶ τοῦ Καὶ μετὰ τὸ Ομοίως· Ιδ. ΛΕ'. §. 24.

§. 22. ἀπίασι.) ἔχει σημασίαν Μέλλοντος. Ιδ. ΚΓ'. §. 9. — οὐδενὶ κόσμῳ) Αἰσχύλ. Πέρσ. 468.

πεζῷ παραγγείλας ἄφαρ ςρατεύματι,
ἧξ' ἀκόσμῳ ξὺν φυγῇ· ·

καὶ ςίχ. 479. „ οὐκ εὔκοσμον αἱροῦνται φυγήν. “ — λόγιον) χρηςήριον. Ιδ. Βιβλ. Ζ'. 142. ὅπου γίνεται μνεία τῆς τοῦ Θεμιςοκλέους ἐξηγήσεως τοῦ Δελφικοῦ χρησμοῦ. — κατύπ. γεν.) ἀντὶ κρατῆσαι. Βιβλ. Α'. 67. „ κατύπερθε τῷ πολέμῳ Τεγεητέων γενέατο. “ Ζ'. 233. „ ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γενόμενα τὰ πρήγματα. “ Η'. 136. „ ἐλογίζετο κατύπερθέ οἱ τὰ πρήγματα ἔσεσθαι τῶν Ελληνικῶν. “ — οἰκότα) ἃ τῷ λόγῳ εἰσὶ σύμφωνα. — ἐθέλει (Βιγέρ. σελ. 264. σημ.) γίν.) ἐοικότα δηλ. — πρὸς τὰς ἀνθρ. γν.) ἡ συνηθεςέρα συνάφεια ἤθελεν εἶναι· προςχ. πρὸς τὰς γνώμας τῶν οὐκ ἐοικότα βουλευομένων.

§. 23. ἐπεφέρετο) ὑβριςικῶς ὡμίλει, ὠργίζετο. — οὐκ ἐῶν) Ιδ. ΑΓ'. §. 38. — ἐπιψ. ἀπόλι ἀνδρί.) ψήφους συνάγειν περὶ τοῦ πρ

μή ἐςι πατρίς, καὶ Εὐρυβιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιςοκλῆα παρεχόμενον, οὕτω ἐκέλευε γνώμας ξυμβάλλεσθαι. Ταῦτα δὲ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Αθῆναι. 24. Τότε δὴ ὁ Θεμιςοκλέης κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε· ἑωϋτοῖσί τε ἐδήλου λόγῳ, ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἤπερ κείνοισι, ἔςʼ ἂν διηκόσιαι νῆές σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ελλήνων αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι.

(κεφ. 62.) 25. Σημαίνων δὲ ταῦτα τῷ λόγῳ, διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα. „ Σὺ εἰ μενέεις αὐτοῦ, καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· — εἰ δὲ μή, ἀνατρέψεις τὴν Ελλάδα. Τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νῆες· ἀλλʼ ἐμοὶ πείθεο. 26. Εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μὲν ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας,

---

ϐλήματος ἀνδρὸς, ὅς τις πατρίδα οὐκ ἔχει. — οὕτω) τὸ οὕτω ἐπανκλαμβάνει τὴν ἐν τῷ πρώτῳ κώλῳ περιεχομένην συνθήκην.

§. 24. πολλά τε καὶ κακὰ) Ιδ. ἀριθμ. ΚΓ΄. §. 54. — ἑωϋτοῖσι . . γῆ) ἡ Σύνταξ. καὶ ἐδήλου λόγῳ ὡς εἴη (εἶναι) ἑωϋτοῖσι (Αθηναίοις) καὶ πόλις καὶ γῆ. Μετὰ τὰ ἀφηγηματικά, αἰσθήσεων σημαντικὰ κ. τ. τ. ῥήματα συνειθίζει ὁ Ηρόδ. πολλάκις νὰ θέτῃ ὡς εἴη. Βιβλ. Α΄. 24. » φαμένων δὲ ἐκείνων ὡς εἴη σόος. » Η΄. 137. » τὸν δὲ ἀκούσαντα ἐςῆλθε αὐτίκα, ὡς εἴη τέρας. » Γ΄. 36. » ἐπηγγέλλοντο αὐτῷ ὡς περιείη. »

§. 25. ἐπεστραμ.) αὐςηρά, ἐμφατικὰ λόγια· κυρίως μετὰ δυνάμεως πρός τινα σκοπὸν ῥιπτόμενα, ἐκ τοῦ ἐπιςρέφειν. Ιδ. ἀριθμ. Λ΄. §. 23. Οθεν καὶ » ἐπιςροφὴ τοῦ λόγου » τὸ μετʼ ἰσχύος καὶ τόνου λέγειν. — ἀνὴρ ἀγαθὸς) Ιδ. ἀριθμ. ΛΑ΄. §. 26. Ο λόγος ἐςὶν ἐλλειπής, καθὼς πολλάκις πρὸ τοῦ » εἰ δὲ μή. » Ιδ. Βιγέρ. σελ. 509. σημ. καὶ σελ. 792. 308 — τὸ πᾶν τοῦ πολέμου) ἀντὶ ὁ πᾶς πόλεμος ἤρτηται ἐκ τῶν νεῶν.

§. 26. ὡς ἔχομεν) Ιδ. ΛΓ΄. §. 10. — ἐς Σίριν) ἐν τῇ κάτω Ιταλίᾳ, ἐν τῇ Λευκανίᾳ παρὰ τὸν Ταραντῖνον κόλπον. — ἡμετέρη) ἐπειδὴ ἐκατοικεῖτο ὑπὸ Ιώνων. Τὸ ἐνταῦθα μνημονευόμενον μαν-



κομιεύμεθα ἐς Σίριν τὴν ἐν Ιταλίῃ, ἥπερ ἡμετέρη τέ ἐςι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει, ὑπʼ ἡμέων αὐτὴν δέειν κτισθῆναι, ὑμεῖς δὲ ξυμμάχων τοιῶνδε μουνωθέντες, μεμνήσεσθε τῶν ἐμῶν λόγων. "

(κεφ. 63.) 27. Ταῦτα Θεμιςοκλῆος λέγοντος, ἀνεδιδάσκετο Εὐρυβιάδης· δοκέειν δέ μοι, ἀρρωδήσας μάλιςα τοὺς Αθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ισθμὸν ἀνάγῃ τὰς νῆας. Απολιπόντων γὰρ Αθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. Ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαμαχέειν.

(κεφ. 64.) 28. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα, ἔπεσι ἀκροβολισάμενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ημέρη δὲ ἐγίνετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. Εδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας ξυμμάχους. Ως δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα. Εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο· ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νῆα ἀπέςελλον ἐς Αἴγιναν.

---

τεῖον ἔγινεν αἰτία ὑςερώτερα νὰ ςαλῇ ἀποικία Αθηναίων εἰς τὸ Θούριον, ἐν τῇ Σιριτικῇ χώρᾳ.

§. 27. δοκέειν) ἀπολύτως· καὶ, ὡς ἐμοὶ δοκεῖν, καὶ, ὡς ἐγὼ δοκῶ (Βιβλ. Α΄. 186). Βιγέρ. σελ. 732. 154.

§. 28. ἡμέρη ἐγίνετο) Ιδ. ΛΑ΄. §. 25. — Αἰακίδ.) Ιδ. Δ΄. §. 38. — αὐτόθεν) ἐξ αὐτῆς τῆς χώρας. — Αἰακ.) τὸ Αἰάκειον (τὸν ναὸν τοῦ Αἰακοῦ) ἐν Αἰγίνῃ περιγράφει Παυσαν. Βιβλ. Β΄. 29. Παραβ. Ηρόδ. Ε΄. 80. 81.

# ΛΖ'.

## Η ἐν Σαλαμῖνι μάχη.

(Ηρόδ. Η'. 84. καὶ ἑξ.)

1. Αναγομένοισι δὲ τοῖσι Ελλησι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. Οἱ μὲν δὴ ἄλλοι Ελληνες ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας· Αμεινίης δὲ Παλληνεύς, ἀνὴρ Αθηναῖος, ἐξαναχθείς, νηΐ ἐμβάλλει. Ξυμπλακείσης δὲ τῆς νηός, καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Αμεινίῃ βοηθέοντες ξυνέμισγον. Αθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν. Αἰγινῆται δέ, τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. 2. Λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη· φανεῖσαν δὲ διακελεύσασθαι, ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ ςρατόπεδον τῶν Ελλήνων, ὀνειδίσασαν πρότερον τάδε. » Ω δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούεσθε « ;

§. 1. ἀναγομέν.) εὐθὺς ὅτε ἔμαθον οἱ Ελλῆνες, ὅτι οἱ Πέρσαι ἑτοιμάζονται νὰ τοὺς περικυκλώσωσιν, ἑτοιμάσθησαν καὶ αὐτοὶ εἰς μάχην. — ἐπεκέατο) ἀντί, ἐπέκειντο. — ὤκελλον) ἐτραβίζοντο ὀπίσω εἰς τὰ παραθαλάσσια, ἀπὸ φόβον ζίβαια. — Παλλην.) Ιδ. ΛΒ'. §. 14. — Τὸν Αμεινίαν τοῦτον λέγουσιν οἱ παλαιοὶ ἀδελφὸν τοῦ ποιητοῦ Αἰσχύλου. — ἐξαναχθ.) τουτέςιν, ἔξω τῆς τάξεως ἀναχθείς. — νηΐ) Περσικῇ δηλ. — τὴν κατὰ τοὺς Αἰακ.) Ιδ. Λϛ'. §. 28. — ταύτην εἶναι) προσετέθη τὸ « ταύτην » διὰ νὰ δώσῃ τόνον περισσότερον εἰς τὸν λόγον, εἶναι κατὰ τὸ πνεῦμα τῶν Αἰγινητῶν. Ιδ. ΛΓ' §. 3. 45.

§. 2. φανεῖσαν) ὁ Ηρόδ. ἐξακολουθεῖ τὸν λόγον, ὡς νὰ εἶπε πρότερον, γυναῖκά σφι φανῆναι. — διακελ.) τῆς Αιὰ τὴν δύναμιν σχηματίζει ἡ προςθήκη, ὥςτε .... Ελλήνων. — πρότερον) τὰ ἀκόλουθα λόγια ἦταν ἡ ἀρχὴ μόνον τῆς ὁμιλίας αὐτῆς.



(κεφ. 85.) 3. Κατὰ μὲν δὴ Αθηναίους ἐτετάχατο Φοίνικες. οὗτοι γὰρ εἶχον τὸ πρὸς Ελευσῖνός τε καὶ ἑσπέρης κέρας· κατὰ δὴ Λακεδαιμονίους, Ιωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Εθελοκάκεον μέντοι αὐτέων, κατὰ τὰς Θεμιςοκλέους ἐντολάς, ὀλίγοι, οἱ δὲ πλεῦνες, οὔ. 4. Εχω μέννυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι, τῶν νῆας Ελληνίδας ἑλόντων· χρήσομαι δὲ αὐτοῖσι οὐδέν, πλὴν Θεομήςορός τε τοῦ Ανδροδάμαντος, καὶ Φυλάκου τοῦ Ιςιαίου, Σαμίων ἀμφοτέρων. τοῦ δὲ εἵνεκα μέμνημαι τουτέων μούνων, ὅτι Θεομήςωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε, καταςησάντων τῶν Περσέων· Φύλακος δὲ εὐεργέτης βασιλῆος ἀνεγράφη, καὶ χώρη οἱ ἐδωρήθη πολλή. Οἱ δ' εὐεργέται τοῦ βασιλῆος, ὀροσάγγαι καλέονται Περσιςί. Περὶ μέν νυν τούτους οὕτως εἶχε.

(κεφ. 86.) 5. Τὸ δὲ πλῆθος τῶν νηῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μέν, ὑπ' Αθηναίων διαφθειρόμεναι, αἱ

§. 3. κατὰ) Βιγέρ. σελ. 632. IV. — Οἱ Πέρσαι εἶχον τοὺς πορθμοὺς τοῦ μικροῦ κόλπου τῆς Ελευσῖνος, πρὸ τῆς ὁποίας κεῖται ἡ Σαλαμίς, καὶ ἀπὸ τὰ δύο μέρη ἀποκλεισμένους. Η μάχη ἔγινεν εἰς τὸ ἀνατολικὸν μέρος. Εντaῦθα ἐκτείνετο τὸ μὲν δεξιὸν κέρας τοῦ Περσικοῦ ςόλου πρὸς τὸν Πειραιᾶ, τὸ δὲ ἀριςερὸν πρὸς τὴν Σαλαμῖνα, ὥςε ἡ Ελευσὶς ἦτον κατὰ πρόσωπον αὐτοῦ. — αὐτέων) τῶν Ιώνων. — κατὰ τὰς Θ. ἐντ.) ὁ Θεμιςοκλῆς ἐχάραξεν ἐπὶ λίθων γράμματα, διὰ τῶν ὁποίων παρεκίνει τοὺς Ιωνας, ἐνθυμουμένους τὴν καταγωγήν των, νὰ μὴ βοηθῶσι τοὺς Πέρσας. Βιβ. Η'. 22. ὅπου μεταξὺ τῶν ἄλλων μετεχειρίσθη καὶ τὰ ἑξῆς « ὑμέες γὰρ ἐν τῷ ἔργῳ, ἐπεὰν ξυμμίσγωμεν, ἐθελοκακέετε».

§. 4. τοῦ δὲ εἵν.) τουτέςι, τούτου. — ἐτυράν.) ἀντί, τύραννος ἐγένετο. — εὐεργέτης) οὕτως ὠνομάζοντο ὅσοι ἔδειξαν εἰς τὸν βασιλέα καμμίαν δούλευσιν, ἡ ὁποία ἀπῄτει ἀνταμοιβήν. Ιδ. Βιβλ. Γ'. 140.

§. 5. ἅτε) καθὼς τὸ εἶχε, φανερόνον αἰτίαν· Ιδ. §. 10. — οὐ τεταγμ. ἔτι) ἐπειδὴ οἱ Πέρσαι δὲν κατεπλακώθησαν ἔξαφνα, ἀλλὰ

δὲ, ὑπὸ Αἰγινητέων. Ατε γὰρ τῶν μὲν Ελλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτέ σφι ξυνοίσεσθαι οἷόν περ ἀπέβη. Καί τοι ἔσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωϋτῶν, ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην· ἐδόκεέ τε ἕκαςος ἑωϋτὸν θεήσεσθαι βασιλῆα.

(κεφ. 87.) 6. Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω μετεξετέρους εἶπαι ἀτρεκέως, ὡς ἕκαςοι τῶν βαρβάρων ἢ τῶν Ελλήνων ἠγωνίζοντο· κατὰ δὲ Αρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλῆϊ· ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλῆος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Αρτεμισίης ἐδιώκετο ὑπὸ νηὸς Αττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγέειν, ἔμπροσθεν γὰρ αὐτῆς ἔσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιςα ἐτύγχανε ἐοῦσα, ἔδοξε οἱ τόδε

---

προσέβαλον αὐτοὶ πρῶτον, ὅθεν αἱ λέξεις αὗται εἶναι ὀλίγον τι ὕποπτοι· διὸ καὶ νομίζουσί τινες, καθὼς καὶ ὁ Κοῖνος (Kuen), ὅτι πρέπει νὰ γραφῶσιν, οὐ τεταγμένως τι.... ποιεόντων οὐδέν. — ξυνοίσεσθαι) Ιδ. ΛΑ'. §. 29. — ἀμείνονες αὐτοὶ ἑωϋτῶν) οὕτω παραβάλλει ὁ Ηρόδοτ. πρόσωπα καὶ πράγματα πρὸς ἑαυτά. Οὕτω βιβλ. Α'. 203. « ἡ Κασπίη.... τὸ εὖρος, τῇ εὐρυτάτη ἐςὶ αὐτὴ ἑωϋτῆς. » Δ. 50. » ὀλίγῳ δὲ μέζων τῆς ἑωϋτοῦ φύσιος γίνεται. » — ἢ πρὸς Εὐβοίῃ) (ἐν τῇ παρὰ τὸ Αρτεμίσιον μάχῃ) δευτέρα παραβολὴ, ἡ ὁποία πρέπει νὰ θεωρηθῇ ὡς προσθήκη κατ' ἐπεξήγησιν.

§. 6. μετεξ..... εἶπαι) τουτέςι, εἶπαι ὡς τῶν ἑτέρων ἕκαςος .. ἠγωνίζετο. — Αρτεμισ.) Αρτεμισία, βασίλισσα τῆς Αλικαρνασσοῦ, καὶ σύζυγος τοῦ Μαυσώλου. — μᾶλλον ἔτι) τοῦτο ἀναφέρεται εἰς προτέρας ἀποδείξεις τῆς παρὰ τοῦ βασιλέως τιμῆς. Βιβλ. Η'. 69. — ἐς θόρ. πολλ.) τουτέςι πολλῆς ταραχῆς οὔσης ἐν ταῖς τῶν Περσῶν ναυσί. — καὶ ἣ) καὶ αὕτη. — ἡ δὲ αὐτῆς) ναῦς δηλ. — πρὸς τῶν πολ. μάλιςα) τουτέςιν, ἄγχιςα λν. — ξυνήνεικε) τουτέςι, καλῶς ἀπέβη.



ποιῆσαι, τὸ καὶ ξυνήνεικε ποιησάσῃ. 7. Διωκομένη γὰρ ὑπὸ τῆς Αττικῆς, φέρουσα ἐνέβαλε νηῒ φιλίῃ, ἀνδρῶν τε Καλυνδέων, καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλῆος Δαμασιθύμου. Εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ελλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἶπαι, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ ξυνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. 8. Ως δὲ ἀνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη, διπλᾶ ἑαυτὴν ἀγαθὰ ἐργάσατο. Ο, τε γὰρ τῆς Αττικῆς νηὸς τριήραρχος, ὡς εἶδέ μιν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα τὴν Ατεμισίης ἢ Ελληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποςρέψας, πρὸς ἄλλας ἐτράπετο. (κεφ. 88.) 9. Τοῦτο μὲν τοιοῦτο αὐτῇ ξυνήνεικε γενέσθαι, διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ, ξυνέβη, ὥςτε, κακὸν ἐργασαμένην, ἀπὸ τουτέων αὐτὴν μάλιςα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. Λέγεται γὰρ βασιλῆα θηεύμενον μαθεῖν τὴν νῆα ἐμβαλοῦσαν· καὶ δή τινα εἰπεῖν τῶν παρεόντων· « Δέσποτα,

---

§. 7. φέρουσα ἐνέβ.) ἡ Μετοχὴ ἐνταῦθα αὐξάνει τὴν δύναμιν τοῦ Ῥήματος. Βιγέρ σελ. 353. Παράβ. §. 12. — Καλυνδ.) Κάλυνδος, πόλις εἰς τὰ σύνορα τῆς Λυκίας. — εἰ μὲν καὶ) Βιγέρ. σελ. 792. 508. — εἶπαι) εἰς ἐμφατικὴν ἔννοιαν, ἀντὶ, μετὰ βεβαιότητος εἰπεῖν. — ἐκ προνοίης) ὅσον ἠμπορεῖ τις νὰ ὑποπτευθῇ ἐκ τῆς προϋπαρξάσης διαφορᾶς, τὴν ὁποίαν αὕτη εἶχε τῷ ὄντι μὲ τὸν βασιλέα.

§. 8. νομίσας) ἄλλοι προςθέτουσι καὶ τὴν περίςασιν, ὅτι δηλαδὴ ἡ Αρτεμισία ἐσήκωσεν ἀπὸ τὸ πλοῖόν της τὰ Περσικὰ παράσημα.

§. 9. τοῦτο μὲν.... τοῦτο δὲ) Ιδ. ΛΑ'. §. 5. — ἀπὸ τουτέων) ὁ Ηρόδ. βάλλει πολλάκις Αντωνυμίαν ἀναφορικὴν εἰς πληθυντικὸν ἀριθμὸν, ἂν καὶ τὸ προηγούμενον οὐσιαςικὸν (καθὼς ἐνταῦθα, κακὸν) εἶναι ἑνικοῦ ἀριθμοῦ. — καὶ τοὺς (τούτους) φάναι) βεβαιῶσαι. — οἱ μὲν ἄνδρες.) Οὕτω καὶ Ennius.

Vos etenim juvenes animum geritis muliebrem,
Illa virago viri.

ὁρᾷς Αρτεμισίην, ὡς εὖ ἀγωνίζεται, καὶ νῆα τῶν πολεμίων κατέδυσε; « καὶ τὸν ἐπείρεσθαι εἰ ἀληθέως ἐςὶ Αρτεμισίης τὸ ἔργον· καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νηὸς ἐπιςαμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιςέατο εἶναι πολεμίην. Τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ ξυνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νηὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι λέγεσθαι πρὸς τὰ φραζόμενα· » οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες· αἱ δὲ γυναῖκες, ἄνδρες. « Ταῦτα μὲν Ξέρξην φασὶ εἶπαι.

(κεφ. 89.) 10. Εν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ ςρατηγὸς Αριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός· ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ ὀνομαςοὶ Περσέων καὶ Μήδων, καὶ τῶν ἄλλων ξυμμάχων· ὀλίγοι δέ τινες καὶ Ελλήνων. Ατε γὰρ νέειν ἐπιςάμενοι, τοῖσι αἱ νῆες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. Τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιςάμενοι. 11. Επεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖςαι διεφθείροντο. Οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλεῖ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

§. 10. ἀπὸ μὲν ἔθανε) ὁ Ηρόδ. χωρίζει πολλάκις τὴν Πρόθεσιν, ὡς ἐπὶ τὸ πλεῖςον δὲ διὰ μονοσυλλάβων μορίων, ἀπὸ τοῦ Ῥήματος αὐτῆς. — ἀπὸ δὲ ἄλλ.) ἡ Πρόθεσις ἐπαναλαμβάνει τὸ Ῥῆμα, ἀπέθανον. — ἄτε) Ιδ. §. 4. 13. — ἐν χειρῶν νόμῳ) ἀντὶ, ἐν τῇ συμβολῇ, ἐν χερσὶ, φράσις συνειθισμένη μὲν, ἀλλὰ κατὰ τὴν ἀρχαίαν αὐτῆς σημασίαν σκοτεινή.

§. 11. ἀποδεξόμενοι) ἀντὶ, ἀποδειξόμενοι.



(κεφ. 90.) 12. Εγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. Τῶν τινες Φοινίκων, τῶν αἱ νῆες διεφθαρέατο, ἐλθόντες παρὰ βασιλῆα, διέβαλλον τοὺς Ιωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νῆες, ὡς προδόντων. Ξυνήνεικε ὦν οὕτω, ὥςε Ιώνων τε τοὺς ςρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβεῖν τοιόνδε μισθόν. 13. Ετι τουτέων ταῦτα λεγόντων, ἐνέβαλε νηὶ Αττικῇ Σαμοθρηϊκίη νηῦς. Ητε δὴ Αττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηΐκων τὴν νῆα. Ατε δὴ ἐόντες ἀκοντιςαὶ οἱ Σαμοθρήϊκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδησάσης νηὸς βάλλοντες ἀπήραξαν, καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. Ταῦτα γενόμενα τοὺς Ιωνας ἐῤῥύσατο. 14. Ως γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιώμενος· καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ, κακοὶ γενόμενοι, τοὺς ἀμείνονας διαβάλλωσι. 15. Οκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωϋτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σα-

§. 12. διεφθαρέατο) ἀντὶ, διεφθαρμένοι ἦσαν. — τῶν τινες Φοινίκων) Σημείωσαι τὴν θέσιν τῆς Αντωνυμίας, τινές. — ὡς προδόντων) ἐκείνων.

§. 13. κατέδυσε) τὸ κατέδυσε φανερόνει ἴσως μόνον ὅτι τῶν Σαμοθρακῶν τὸ πλοῖον τόσον ἐβλάβη, ὥςε ὀλίγον μετὰ ταῦτα ἔπρεπε νὰ καταβυθισθῇ. — βάλλ. ἀπήρ.) βάλλοντες τοῖς ἀκοντίοις ἔῤῥιπτον ἔξω τῆς νηός. Απαράσσειν, ἀποβάλλειν, ἀπελαύνειν.

§. 14. πάντας) τοὺς Φοίνικας δηλ. οὐ μόνον τοὺς παρεςῶτας.

§. 15. ὄκως) Ιδ. ΛΕ'. §. 18. — ἔργον τι) μετ' ἐμφάσεως, ἔργον μέγα, ἀξιόλογον. — Αἰγάλ.) τὸ ὄρος Αἰγάλεως ἔκειτο εἰς τὰ σύνορα τῆς Αττικῆς καὶ Μεγαρίδος. — πατρόθεν) τὸ αὐτοῦ τοῦ τριηράρχου καὶ τὸ τοῦ πατρὸς αὐτοῦ ὄνομα. — πρὸς δὲ ἔτι) ἐκτὸς τοῦ ἐν §. 13. ἀναφερθέντος συμβάντος. — προςεβάλετο τούτου τοῦ φ. πάθ.) τὸ ῥῆμα ἐνταῦθα φαίνεται ὅτι κεῖται ἀντὶ τοῦ συμπρᾶξαι, συνερ-

λαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα· καὶ οἱ γραμματισαὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν. Πρὸς δὲ καὶ ἔτι προσεβάλετο, φίλος ἐὼν, Αριαράμνης, ἀνὴρ Πέρσης, παρεὼν τούτου τοῦ Φοινικηΐου πάθεος.

(κεφ. 91.) 16. Οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο· τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ ἐκπλεόντων πρὸς τὸ Φάληρον, Αἰγινῆται, ὑποσάντες ἐν τῷ πορθμῷ, ἔργα ἀπεδέξαντο λόγου ἄξια. Οἱ μὲν γὰρ Αθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισαμένας καὶ τὰς φευγούσας τῶν νηῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς Αθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας. — —

(κεφ. 93) 17. Οἱ δὲ Βάρβαροι, τῶν αἱ νῆες περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν σρατόν. Εν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ελλήνων ἄρισα Αἰγινῆται· ἐπὶ δὲ, Αθηναῖοι· ἀνδρῶν δὲ, Πολύκριτός τε ὁ Αἰγινήτης, καὶ Αθηναῖοι, Εὐμένης τε ὁ Αναγυράσιος, καὶ Αμεινίης Παλληνεὺς, ὃς καὶ Αρτεμισίην ἐπεδίωξε. 18. Εἰ μέν νυν ἔμαθεν ὅτι ἐν ταύτῃ πλώει ἡ Αρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν, ἢ καὶ αὐτὸς ἥλω. Τοῖσι γὰρ Αθηναίων τριηράρχοισι παρακεκέλευσο· πρὸς δὲ, καὶ ἄεθλον ἔκειτο μύριαι δραχμαὶ, ὅς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τοι ἐποιεῦντο, γυναῖκα ἐπὶ τὰς Αθήνας σρατεύεσθαι. Αὕτη μὲν δὴ, ὡς πρότερον εἴρηται, διέφυγε. Εσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νῆες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ. (κεφ. 94.) 19. Αδείμαντον δὲ τὸν Κορίνθιον σρατηγὸν λέγουσι Αθηναῖοι, αὐτίκα κατ' ἀρχὰς ὡς ξυνέμισγον αἱ νῆες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱσία ἀειράμενον, οἴχεσθαι φεύγοντα· ἰδόντας δὲ τοὺς Κορινθίους τὴν σρατηγίδα φεύγουσαν, ὡσαύτως οἴχεσθαι. 20. Ως δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Αθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ· τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς σρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. Τῇδε δὲ ξυμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα. 21. Ως γὰρ ἀγχοῦ γενέσθαι τῶν νηῶν τοὺς ἀπὸ τοῦ κέλητος, λέ-

---

γῆσαι, βοηθῆσαι. Ο Αριαράμνης συνεβοήθει τὴν ἀπόρκισιν τοῦ βασιλέως, εἰς τὸ νὰ τιμωρήσῃ τοὺς Φοίνικας. — φίλος ἐὼν) εἰ μὲν ὀρθῶς ἔχει ἡ γραφὴ, προςυπακουσέον πρὸς τούτῳ, τοῦ βασιλέως· Ορθότερον δὲ φαίνεται ὅτι ἀναγινώσκει ὁ Αβρέσχιος (Abresch), φίλος ἐὼν Ιώνων.

§. 16. οἱ μέν) Ξέρξης καὶ Αριαράμνης. — ἐν τῷ θορύβῳ) τουτέστιν, ἐν τῇ μάχῃ. — ἐκπλωούσας) τὰς ἐκ τοῦ πόρου φυγούσας καὶ πρὸς τῇ γῇ σωτηρίαν ζητούσας. — φερόμενοι) Ιδ. §. 7.

§. 17. ὑπὸ τὸν π. σρ.) κατέφυγον πλησίον τοῦ πεζοῦ σρατοῦ διὰ νὰ εὕρωσι βοήθειαν. — ἄρισα ἤκουσαν) ἐπῃνέθησαν. — ἐπὶ δέ) ἀπολύτως, ὡς καὶ, μετὰ δὲ, πρὸς δὲ, κ. ἄλλ. — Αναγυράσ.) Αναγυροῦς, δῆμος τῆς Αττικῆς· ὁμοίως καὶ Παλλήνη.

§. 18. ἐν ταύτῃ) τῇ νηΐ. — παρακεκέλ.) (ἀναυξήτως. Ιδ. Γραμ. Βουτ. §. ΟΔʹ. Σημ. 5. σελ. 115. π. 118. ν.) δηλ. ζωὴν αἱρεῖν αὐτήν. Ο δὲ Ηρόδ. διακόπτει τὸν λόγον διά τινος παρεμπιπτούσης προτάσεως, μετὰ τῆς ὁποίας συνενόνει τὴν πρότασιν ταύτην. Συνήθως ἔπρεπε νὰ εἴπῃ, τοῖς Αθην. τριηράρχοις παρεκεκέλευσο ζῶσαν αἱρεῖν τὴν Αρτεμισίαν, ἄθλου προτεθέντος μυρίων δραχμῶν. — ὅς ἄν) τουτέστι, τούτῳ ὃς ἄν. — οἱ ἄλλοι) τῶν βαρβάρων.

§. 19. κατ' ἀρχάς....νῆες) ἀντὶ, ἐν τῇ ἀρχῇ τῆς ξυμβολῆς. — οἴχ. φεύγ.) Ιδ. Βιγέρ. σελ. 349. — τὴν σρατηγ.) ναῦν δηλ.

§. 20. ὡς..γίνεσθαι) Ιδ. ΑΓʹ. §. 43. — τῆς Σαλ. κατὰ) Ιδ. τὴν αὐτὴν τῶν λέξεων θέσιν. 25. ΑΒʹ. §. 12. ΑΓʹ. §. 41. — κατὰ τὸ) ἐνώπιον, ἀντικρύ. Ιδ. §. 3. — Αθην. Σκιρ.) τὸ ἱερὸν τοῦτο ἐπὶ τῆς μεσημβρινῆς ἄκρας τῆς Σαλαμῖνος, ἐπὶ τοῦ ἀκρωτηρίου Σκιράδιον καλουμένου. Ολη ἡ νῆσος ὠνομάζετο τὸ πάλαι Σκιράς. — οὔτε τι....Κορινθ.) ἀντὶ, καὶ προσφ. τοῖς Κορινθ. οὐδὲν ἀπὸ τῆς σρ. εἰδόσι. — τῇδε) ἀπὸ τούτων.

§. 21. τοὺς ἀπὸ τοῦ κέλ.) τουτέστι, τοὺς ἐν τῷ κέλητι πλέοντας. Βιγέρ. σελ. 579. — ὅσον αὐτοὶ ἠρῶντο (ἐκ τοῦ ἀρᾶσθαι).) ὅμοιον τῷ τοῦ Θεοκρίτου (Εἰδύλ. Ηʹ. σίχ. 7.) „ φαμί τυ νικαξεῖν ὅσ

γειν τάδε. « Αδείμαντε, σὺ μέν, ἀποςρέψας τὰς νέας, ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ελληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν. » Ταῦτα λεγόντων, ἀπιςέειν γὰρ τὸν Αδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἴεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ελληνες. 22. Οὕτω δὴ ἀποςρέψαντα τὴν νῆα, αὐτόν τε καὶ τοὺς ἄλλους, ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ ςρατόπεδον. Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Αθηναίων. Οὐ μέν τοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ελλάς.

(κεφ. 95.) 23. Αριςείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Αθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τουτέων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίςου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε. Παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Αθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας.

---

θέλω αὐτὸς ἀείδων.» — ἀπιςέειν γάρ) πρέπει νὰ ἀναχθῇ εἰς τὸ ἑπόμενον, αὖτις (εἶτα. Ιδ. Λς'. §. 22.) — οἷοί τε εἴεν) τουτέςιν, ἕτοιμοι.

§. 22. ἐπ' ἐξεργασμ.) Οὕτω Βιβλ. Α'. 164. « μαθὼν ἐπ' ἐξεργασμένοισι τὸ μαντήϊον ἐὸν τοῦτο.» Αἰσχύλ. Πέρσ. 523. « ἐπίςαμαι μὲν ὡς ἐπ' ἐξεργασμένοις.» — τούτους φάτις ἔχει) τουτέςι, τοιαῦτα οἱ Αθηναῖοι περὶ τῶν Κορινθίων λέγουσι. Βιβλ. Ζ'. 3. « οὗτος ὡνὴρ.... ἐλθὼν, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ ξυνεβούλευε.» τοιοῦτον καὶ τὸ ἐν ἀριθμ. ΑΓ'. §. 14. « Κλεισθένης.... ὅσπερ δὴ λόγον ἔχει.»

§. 23. Αριςείδης) Ιδ. ἀριθμ. Β'. — ὀλίγῳ πρότερον) δηλαδὴ Βιβλ. Η'. 79. 80. — Ψυττάλ.) μικράν τινα νῆσον μεταξὺ Σαλαμῖνος καὶ Αττικῆς, εἰς τὸν ἀνατολικὸν πορθμὸν τοῦ Ελευσινίου κόλ-



(κεφ. 96.) 24. Ως δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ελληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἕτοιμοι ἔσαν ἐς ἄλλην ναυμαχίην· ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλῆα. 25. Τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ὁ ἄνεμος ζέφυρος, ἔφερε τῆς Αττικῆς ἐπὶ τὴν ἠϊόνα τὴν καλεομένην Κωλιάδα· ὥςτε ἀποπλῆσαι τὸν χρησμόν, τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τουτέων ἐν χρησμῷ, Λυσιςράτῳ Αθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ελληνας,

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι.

τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλῆος ἔσεσθαι.

---

που. — οἳ... πάντας.) Ιδ. Βιβλ. Η'. 76. Παράβ. καὶ Αἰσχύλ. Πέρσ. στίχ. 445. καὶ ἑξ.

§. 24. τῶν ναυηγίων) Ιδ. Θουκυδ. ἀριθμ. ΚΒ'. §. 37.

§. 25. Κωλιάδ.) Κωλιάς, ἀκρωτήριον τῆς Αττικῆς, πρὸς τὸ μεσημβρινὸν μέρος τοῦ Φαλήρου. — ὥςε ἀποπλῆσαι) τουτέςι, καὶ αὕτη ἡ συμφορά, ἢ, ταῦτα τὰ ναυάγια ἀπέπλησαν τὸν χρησμόν. Βιβλ. Α'. 43. « ὁ μὲν δὴ βληθεὶς ἐξέπλησε τοῦ ὀνείρου τὴν φάσιν.» — Βάκιδι) Βάκις, ἀρχαῖός τις Αθηναῖος μάντις, τοῦ ὁποίου οἱ χρησμοί, καθὼς αἱ προφητεῖαι τῶν Σιβυλλῶν εἰς τὴν Ρώμην, εἶχον μεγάλην ὑπόληψιν. Τὸν ἐνταῦθα ἀνήκοντα χρησμὸν ἀναφέρει ὁ Ηρ. εἰς τὸ Η'. Βιβλ. κεφ. 77. Παρόμοιοι χρησμοὶ περιεφέροντο καὶ ἀπὸ τοῦ ἀρχαίου ἀοιδοῦ Μουσαίου, ἐξ ἀβεβαίων χρόνων. Περὶ τοῦ Λυσιςράτου δὲν εἶναι τίποτε ἄλλο γνωςόν. — πρότερον τουτέων) τῶν ἔργων δηλ. — ἐλελήθ.) Βιβλ. Α'. 39. « τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον.» — φρύξ.) προτοῦ νὰ ἀλέσωσι τὸ κριθάρι ἐσυνείθιζον οἱ παλαιοὶ νὰ τὸ τηγανίζωσι. Τοῦτο δὲ ἐγίνετο μὲ ξύλα τῶν κωπίων καὶ συντρίμματα τῶν πλοίων. Η συνήθης ἀνάγνωσις « φρίξουσι » εἶναι κατὰ πάντα τρόπον ἀνάρμοςος.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

10446